BIBLIOTECA

DE LA

Universidad de Salamanca.

Est. 3ª Tab. 9ª Núm. [illegible]

APPÍANOY EPIK

1ª
B3980

b16643513

1ª
33980

# ΑΡΡΙΑΝΟΥ ΕΡΙΚΤΗΤΟΣ.

## ARRIANI EPICTETVS.

Es de Collegio Trilingue CIS n. 11.

σὺν θεῷ

Οὐ μετὰ πολὺ



ἀμφορεύσομεν.

Ἀρχὴ δὲ ἥμισυ παντός.

Non sine priuilegio.

M D XXXV

GEORGIO A SELVA VAVRENSI Epiſcopo, ac Chriſtianiſſimi Gallorum Regis ad Senatum uenetũ Oratori ampliſſimo, Victor Trincauellus, felicitatem.

HOMO, qui inter utrunq; mundum, orator ampliſſime, ſuperiorem.ſ. illum a ſempiternis illis, ſemperq; beatis, & ab oĩ uitio mortaliq; concretione ſegregatis mentibus, rectũ. & inferiorem hunc continue fere ortu & interitu exagitatũ & erroribus, uitiiſq; oĩbus affatim ſcatenté, medius & quaſi utriuſq; cõmunis quidam nexus a primo rerum omnium opifice conſtitutus eſt, ut medium locum inter res penitus contrarias ſortitus eſt, ita etiam ancipitem naturam eſt cõſecutus. ut qui in quam parté conuerſus fuerit, in illius naturam ſtatim etiam uertatur. cum enim ex mente conſtet, & ſenſu, mens quidé (utpote quæ quaſi igniculus quidã aut germen ſit a ſuperioribus mentibus deducta quantũ in ſe eſt, ad affines ſibi naturas euolare nititur, ac ſi magis etiam magiſq; colatur ita ſublimis rapitur, ut ſupernæ illius beatitudinis iam particeps, tandé non modo terrenus quidam (ita dixerim) deus, ſed cœleſtis etiã efficiatur. Senſu uero mundi huius inferioris filio contra luxuria quadam geſtiẽte, niſi cõtentis ille refrenetur habenis, in turpiſſimã uitiorum colluuiem deiectus tandẽ in efferam & immanem belluam uertitur. unde fit ut in nobis genuinũ inteſtinũq; bellum continue habeamus. in quo ſenſus externos etiam habet auxiliares ſocios. ut niſi contra ſemper audentiores contentis animi uiribꝰ iuerimus, & externis pariter auxiliis uſi fuerimus, maximũ immineat periculum, ne mens ſenſuum uoluptatibus deuicta, tandẽ ſuccũbat. ſunt enim & bona corporis, & fortunæ commoda, malæ conſuetudines, praua colloquia, laſciuorum quorundam librorum iugis lectio, quæ ſenſum in effrenẽ quãdam petulantiam exagitant & impellunt, ut niſi uitæ frugalitate, externorum cõmodorum moderatione. optimis inſtitutis. temperatis collocutionibus, optimorum uirorũ exemplis, ac bonorum librorum qui ſalubribus præceptis, mortalibus exhortationibus, utiliutumq; exemplis, humanam uitam inſtituãt, cum lectione aſſidua, tum ſtudio indeſeſſo, intrepide occurrerimꝰ, de noſtra procul omni dubio ſalute actum ſit. unde merito diuinus ille Plato libros eos omnes a ſua rep. repellendos cenſuit, qui bonis uitæ inſtitutis aduerſarentur, Itaq; cum in uniuerſo homi-

nũ genere illi maxime cæteris præstare sem-
per optimi cuiusq; uiri cõsensu iudicati sint,
qui se iuuandis hominibus omni alia re post
posita dediderunt, ex his eos ipse non in po-
stremis posuerim, qui tũ uitæ morũq; exem
plis, tum litterarum monumentis, humano
generi prodesse studuerunt. eo. n. opem ferre
impensius conati sunt, ubi maius salutis no-
stræ discrimen uersabatur. His uero auxiliis
si prioribus unq̄ sæculis indiguerunt hoĩes,
his ipsis temporibus maxime uidetur egere,
quibus adeo humanæ uitæ ratio contorta &
deprauata est, ut apud plerosq;, uirtus ipsa tã
q̄ uanum, & inane nomen habeatur. Quam
ob rem & si difficillima iam huiusmodi pro-
uincia uidetur, tamen nunc maxime oĩ ope
optimis quibuscunq; uiris nitendum est, ut
q̄ maxime possunt huic iam inueterato mor
bo presentanea afferant remedia. qua in re
meam polliceri operam, & si ego semper du
bitaui, cum in me nihil aut parum rei tantæ
idoneum agnoscerem. tamẽ ne penitus otio-
sus & supinus degere uidear, decreui ego
quoq; huiuscemodi fortunam subire. unde
cum omnibus fere constitutum sit, plurimũ
hac in re posse optimorum librorum lectio-
nem studiumq;, statui, ut si quæ mihi offer-
rentur optimorum authorum monumẽta,

quæ diutius in tenebris latuissent, quæq; mi
hi uiderentur huic negotio apta, statim cura
re, ut in lucem prodirent, & a mendis quam
maxime fieri posset expurgata, & pulcherri-
mis formulis excusa, ut hac etiã ratione hoĩes
ad sui lectionẽ allicere possint. Cũ igitur uir
clarissime, superioribus forte diebus ad ma-
nus meas peruenisset libellus quidam ex do
ctissima & copiosissima tua biblioteca deprõ
ptus, eius pulchritudine ac elegãtia allectus,
nõ potui me ab illius lectione cõtinere, qua
cũ mirifice delectatus essem. mihi p̄ cæteris
oĩbus liber ille (sacros semp̄ excipio) ꝓposito
negotio nõ modo utilissimus, uerum etiam
in primis necessarius uisus est. unde statim
tua illa liberalitate fretus, qua bonarum lit-
terarum studia continue foues & auges, eũ a
te petere & efflagitare non destiti, donec in
cõmunem studiosorum utilitatem in uulgã
dum mihi tradidisti. is uero erat Arriani li-
ber in quo tum acta, tum aureas sententias,
moraliaq; documenta Epicteti, uiri profecto
optimi & philosophi eximii, eleganter descri
psit. atq; hic cũ iam ab impressoribus ad cal-
cem deductus paulopost sit in publicũ pro-
diturus, operepræcium me facturũ arbitra-
tus sum, si ille tuo nomine exornatus pro-
deat, cum inde & libro non parum gratiæ sit

accessurum, & legentibus utilitatis, quibus tu quasi clarissimū exemplar uideberis propositus, in quo ea omnia, quæ sermone in Arriano Epictetus docuit, opere & effectu expressa optime poterunt contemplari. Quā ob rem eos ego in quorum manus liber hic peruenit rogatos & admonitos uelim, ut si eius lectiōe quippiam se profecisse cognouerint, sicuti plurimum, si diligens studiū adhibuerint, proficere poterunt, ut tibi quas debent, aut quas saltem possunt gratias habeāt. simul enim & librum te fere authore habēt, cuius lectione uitam optime instituant, & te etiā agnoscunt, cuius imitatione mores suos forment & exornent. Sed iam finē huic epistolæ facio. uideo enim me paulatim in amplissimum tuarum laudum pelagus trahi, in quod si lōgius a littore fuero progressus, uereor ne illarum copia & grauitate exigua orationis cimbula obruatur. quare satius fuerit collectis uelis hoc loco persistere. ut tamen prius illud moneā me pro tuis præclaris uirtutibus, ut semper fui, ita in posterum nomini tuo fore deditissimum. Vale.

# ΕΡΙΚΤΗΤΟΥ ΕΓΧΕΙΡΙΔΙΟΝ.

Τῶν ὄντων τὰ μέν ἐστιν ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν. ἐφ' ἡμῖν μὲν, ὑπόληψις, ὁρμὴ, ὄρεξις, ἔκκλισις, καὶ ἑνὶ λόγῳ, ὅσα ἡμέτερα ἔργα. οὐκ ἐφ' ἡμῖν δὲ, τὸ σῶμα, ἡ κτῆσις, δόξαι, ἀρχαὶ, καὶ ἑνὶ λόγῳ, ὅσα οὐχ ἡμέτερα ἔργα. Καὶ τὰ μὲν ἐφ' ἡμῖν ἐστι φύσει ἐλεύθερα, ἀκώλυτα, ἀπαρεμπόδιστα. τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ἀσθενῆ, δοῦλα, κωλυτὰ, ἀλλότρια. Μέμνησο οὖν ὅτι ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς, καὶ τὰ ἀλλότρια ἴδια, ἐμποδισθήσῃ, πενθήσεις, ταραχθήσῃ, μέμψῃ καὶ θεοὺς, καὶ ἀνθρώπους. ἐὰν δὲ τὸ σὸν μόνον οἰηθῇς σὸν εἶναι, τὸ δὲ ἀλλότριον, ὥσπερ ἐστὶν, ἀλλότριον, οὐδείς σε ἀναγκάσει οὐδέποτε, οὐδείς σε κωλύσει, οὐ μέμψῃ οὐδένα, οὐκ ἐγκαλέσεις τινὶ, ἄκων πράξεις οὐδὲ ἕν, οὐδείς σε βλάψει, ἐχθρὸν οὐχ ἕξεις· οὐδὲ γὰρ βλαβερόν τι πείσῃ. Τηλικούτων οὖν ἐφιέμενος, μέμνησο ὅτι οὐ δεῖ οὐδὲ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν, ἀλλὰ τὰ μὲν ἀφιέναι παντελῶς, τὰ δὲ ὑπερτίθεσθαι πρὸς τὸ παρόν. ἐὰν δὲ καὶ ταῦτ' ἐθέλῃς, καὶ ἄρχειν καὶ πλουτεῖν, τυχὸν μὲν οὐδ' αὐτῶν τεύξῃ, διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι. πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ, δι' ὧν μόνων εὐδαιμονία καὶ ἐλευθερία περιγίνεται. Εὐθὺς οὖν πάσῃ φαντασίᾳ τραχείᾳ μελέτα ἐπιλέγειν, ὅτι φαντασία εἶ, καὶ οὐ πάντως τὸ φαινόμενον, ἔπειτα ἐξέταζε τοῖς κανόσι τού-

τοις, οἷς ἔχεις. πρώτῳ δὲ τούτῳ καὶ μάλιστα πότερον περὶ τὰ ἐφ' ἡμῖν ἐστίν, ἢ περὶ τὰ οὐκ ἐφ' ἡμῖν. κἂν περί τι τῶν οὐκ ἐφ' ἡμῖν ᾖ, πρόχειρον ἔστω, τὸ διότι οὐδὲν πρὸς σέ.

Κεφ. β'.

Μέμνησο ὅτι ὀρέξεως μὲν ἐπαγγελία, τὸ ἐπιτυχεῖν, οὗ ὀρέγῃ. ἐκκλίσεως δ' ἐπαγγελία, τὸ μὴ ἐμπεσεῖν ἐκείνῳ, ὃ ἐκκλίνεται. καὶ ὁ μὲν ὀρέξει ἀποτυγχάνων, ἀτυχής. ὁ δὲ ἐκκλίσει περιπίπτων, δυστυχής. ἂν μὲν οὖν μόνα ἐκκλίνῃς τὰ παρὰ φύσιν, τῶν ἐπὶ σοὶ οὐδενὶ ὧν ἐκκλίνεις περιπεσῇ. νόσον δ' ἂν ἐκκλίνῃς, ἢ θάνατον, ἢ πενίαν, δυστυχήσεις. ἆρον οὖν τὴν ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μετάθες ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν, τὴν ὄρεξιν δὲ παντελῶς ἐπὶ τοῦ παρόντος ἄνελε. ἄν τε γὰρ ὀρέγῃ τῶν οὐκ ἐφ' ἡμῖν τινος, ἀτυχεῖν ἀνάγκη. τῶν ἐφ' ἡμῖν, ὅσον ὀρέγεσθαι καλὸν ἄν, οὐδέπω σοι πάρεστι. μόνῳ δὲ τῷ ὁρμᾶν καὶ ἀφορμᾶν χρῶ. κούφως μέντοι, καὶ μεθ' ὑπεξαιρέσεως, καὶ ἀνειμένως.

γ'.

Ἐφ' ἑκάστου τῶν ψυχαγωγούντων, ἢ χρείας παρεχόντων, ἢ στεργομένων, μέμνησο ἐπιλέγειν, ὁποῖόν ἐστιν, ἀπὸ τῶν σμικροτάτων ἀρχόμενος. ἂν χύτραν στέργῃς, ὅτι χύτραν στέργεις. κατεαγείσης γὰρ αὐτῆς, οὐ ταραχθήσῃ. ἂν παιδίον σαυτοῦ καταφιλῇς ἢ γυναῖκα, ὅτι ἄνθρωπον καταφιλεῖς, ἀποθανόντος γὰρ αὐτοῦ, οὐ ταραχθήσῃ.

δ'.

Ὅταν ἅπτεσθαί τινος ἔργου μέλλῃς, ὑπόμνη-

ὁρμᾶν
ἀφορμᾶν



σον σεαυτόν, ὁποῖόν ἐστι τὸ ἔργον. ἐὰν λουσόμενος ἀπίῃς, πρόβαλε σεαυτῷ τὰ γινόμενα ἐν βαλανείῳ, τοὺς ἀπορρέοντας, τοὺς ἐγκρουομένους, τοὺς λοιδοροῦντας, τοὺς κλέπτοντας, καὶ οὕτως ἀσφαλέστερον ἅψῃ τοῦ ἔργου, ἐὰν ἐπιλέγῃς, ὅτι εὐθὺς λούσασθαι θέλω, καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν τηρῆσαι, καὶ ὡσαύτως ἐφ' ἑκάστου ἔργου. οὕτω γὰρ ἄν τι πρὸς τὸ λούσασθαι ἐμποδὼν, πρόχειρον ἔσται, διότι οὐ τοῦτο ἤθελον μόνον, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι. οὐ τηρήσω δ', ἐὰν ἀγανακτῶ πρὸς τὰ γινόμενα.

ε'.

Ταράσσει τοὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα. οἷον, θάνατος οὐδὲν δεινὸν, ἐπεὶ καὶ Σωκράτει ἂν ἐφαίνετο, ἀλλὰ τὸ δόγμα τὸ περὶ θανάτου, ὅτι δεινὸν. ὅταν οὖν ἐμποδιζώμεθα, ἢ ταραττώμεθα, μηδέποτε ἄλλους αἰτιώμεθα, ἀλλ' ἑαυτοὺς, τουτέστι τὰ ἑαυτῶν δόγματα. ἀπαιδεύτου ἔργον, τὸ ἄλλοις ἐγκαλεῖν, ἐφ' οἷς αὐτὸς πράσσει κακῶς. ἠργμένου παιδεύεσθαι, τὸ ἑαυτῷ. πεπαιδευμένου, τὸ μήτ' ἄλλῳ, μήθ' ἑαυτῷ.

ϛ'.

Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἐπαιρόμενος ἔλεγεν ἂν, ὅτι καλός εἰμι, οἰστὸν ἂν ἦν, σὺ δ' ὅταν λέγῃς ἐπαιρόμενος, ὅτι ἵππον καλὸν ἔχω, ἴσθι ὅτι ἐπὶ ἵππῳ ἀγαθῷ ἐπαίρῃ, τί οὖν ἐστὶ σόν; χρῆσις φαντασιῶν. ὥσθ' ὅταν ἐν χρήσει φαντασιῶν κατὰ φύσιν σχῇς, τηνικαῦτα ἐπαρθη-

σῃ. τότε γὰρ ἐπὶ σῷ τινι ἀγαθῷ ἐπαρθήσῃ. ζ.

Καθάπερ ἐν πλῷ, τοῦ πλοίου καθορμισθέντος, εἰ ἐξέλθοις ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργον, καὶ κοχλίδιον ἀναλέξῃ ἢ βολβάριον, τετάσθαι δὲ δεῖ τὴν διάνοιαν ἐπὶ τὸ πλοῖον, καὶ συνεχῶς ἐπιστρέφεσθαι μήποτε ὁ κυβερνήτης καλέσῃ, καὶ τότε πάντα ἐκεῖνα ἀφιέναι, ἵνα μὴ δεδεμένος ἐμβληθῇς, ὡς τὰ πρόβατα. οὕτω καὶ ἐν τῷ βίῳ, ἐὰν διδῶται ἀντὶ βολβαρίου καὶ κοχλιδίου γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει. ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα πάντα, μηδὲν ἐπιστρεφόμενος. ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῇς ποτε τοῦ πλοίου μακράν, μήποτε καλοῦντος ἐλλίπῃς. η.

Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε τὰ γινόμενα ὡς γίνεται, καὶ εὐροήσεις. νόσος, σώματός ἐστιν ἐμπόδιον, προαιρέσεως δὲ οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ. χώλανσις, σκέλους ἐστὶν ἐμπόδιον, προαιρέσεως δὲ οὔ. καὶ τοῦτο ἐφ' ἑκάστου τῶν ἐμπιπτόντων ἐπιλέγε. εὑρήσεις γὰρ αὐτό, ἄλλου τινὸς ἐμπόδιον, σοῦ δὲ οὔ. θ.

Ἐφ' ἑκάστου τῶν προσπιπτόντων, μέμνησο ἐπιστρέφων ἐπὶ σαυτὸν ζητεῖν, τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ. ἐὰν καλὸν ἴδῃς, ἢ καλήν, εὑρήσεις δύναμιν πρὸς ταῦτα ἐγκράτειαν. ἐὰν πόνος προσφέρηται, εὑρήσεις καρτερίαν. ἂν λοιδορία, εὑρήσεις ἀνεξικακίαν. καὶ οὕτως ἐθιζόμενόν σε, οὐ



συναρπάσουσιν αἱ φαντασίαι. ι.

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι ἀπώλεσα αὐτό, ἀλλ' ὅτι ἀπέδωκα. τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. τὸ χωρίον ἀφῃρέθη; οὐκοῦν καὶ τοῦτο ἀπεδόθη. ἀλλὰ κακὸς ὁ ἀφελόμενος. τί δέ σοι μέλει, διὰ τίνος σε ὁ δοὺς ἀπῄτησε; μέχρι δ' ἂν διδῷ, ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ, ὡς τοῦ πανδοχείου οἱ παριόντες. Εἰ προκόψαι θέλεις, ἄφες τοὺς τοιούτους διαλογισμούς. ἐὰν ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφάς. ἐὰν μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται. κρεῖσσον γὰρ λιμῷ ἀποθανεῖν ἄλυπον καὶ ἄφοβον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις ταρασσόμενον. κρεῖττον δὲ τὸν παῖδα κακὸν εἶναι, ἢ σὲ κακοδαίμονα. ἄρξαι τοιγαροῦν ἀπὸ τῶν μικρῶν. ἐκχεῖται ἐλάδιον; κλέπτεται οἰνάριον; ἐπίλεγε, ὅτι τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία. προῖκα δὲ οὐδὲν περιγίνεται. ὅταν δὲ καλῇς τὸν παῖδα, ἐνθυμοῦ ὅτι δύναται μὴ ὑπακοῦσαι, καὶ ὑπακούσας, μηδὲν ποιῆσαι ὧν θέλεις. καὶ οὐχ οὕτως ἐστὶν ἐπ' αὐτῷ καλῶς, ἵνα ἐπ' ἐκείνῳ ᾖ, τό σε ταραχθῆναι. ια.

Εἰ προκόψαι θέλεις, ὑπόμεινον ἕνεκα τῶν ἐκτὸς ἀνόητος δόξαι καὶ ἠλίθιος. μηδὲν βούλου δοκεῖν ἐπίστασθαι. κἂν δόξῃς τισὶν εἶναί τις, ἀπίστει σεαυτῷ. ἴσθι γὰρ ὅτι οὐ ῥᾴδιον, καὶ τὴν προαίρεσιν τὴν σεαυτοῦ κατὰ φύσιν ἔχουσαν φυλάξαι, καὶ τὰ ἐκτός, ἀλλὰ τὸν ἑτέρου ἐπιμελούμενον τοῦ ἑτέρου ἀμε

λῦσαι πᾶσα ἀνάγκη. ιβ΄.

Ἂν θέλῃς τὰ τέκνα σου, καὶ τὴν γυναῖκα, καὶ τοὺς φίλους σου πάντοτε ζῆν, ἠλίθιος εἶ. τὰ γὰρ μὴ ἐπὶ σοὶ, θέλεις ἐπὶ σοὶ εἶναι, καὶ τὰ ἀλλότρια σὰ εἶναι. οὕτω κἂν τὸν παῖδα θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ. θέλεις γὰρ τὴν κακίαν μὴ εἶναι κακίαν, ἀλλ' ἄλλο τι. ἐὰν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι. τοῦτο οὖν ἄσκει, ὃ δύνασαι. κύριος ἑκάστου ἐστὶν ὁ τῶν ὑπ' ἐκείνου θελομένων, ἢ μὴ θελομένων ἔχων τὴν ἐξουσίαν, εἰς τὸ περιποιῆσαι ἢ ἀφελέσθαι. ὅστις οὖν ἐλεύθερος εἶναι βούλεται, μήτε θελέτω τι, μήτε φευγέτω τι τῶν ἐπ' ἄλλοις. εἰ δὲ μὴ, δουλεύειν ἀνάγκη. ιγ΄.

Μέμνησο, ὅτι ὡς ἐν συμποσίῳ δεῖ σε ἀναστρέφεσθαι. περιφερόμενον γέγονέ τι κατὰ σέ; ἐκτείνας τὴν χεῖρα, κοσμίως μετάλαβε. παρέρχεται; μὴ κάτεχε. οὔπω ἥκει; μὴ ἐπίβαλλε πόρρω τὴν ὄρεξιν, ἀλλὰ περίμενε, μέχρι ἂν γένηται κατὰ σέ. οὕτω πρὸς τέκνα, οὕτω πρὸς γυναῖκα, οὕτω πρὸς ἀρχὰς, οὕτω πρὸς πλοῦτον, καὶ ἔσῃ ποτὲ ἄξιος τῶν θεῶν συμπότης. ἂν δὲ καὶ παρατεθέντων σοι μὴ λάβῃς, ἀλλ' ὑπερίδῃς, τότε οὐ μόνον συμπότης τῶν θεῶν ἔσῃ, ἀλλὰ καὶ συνάρχων. οὕτω γὰρ ποιῶν Διογένης καὶ Ἡράκλειτος, καὶ οἱ ὅμοιοι, ἀξίως θεῖοί τε ἦσαν καὶ ἐλέγοντο. ιδ΄.

Ὅταν κλαίοντα ἴδῃς τινὰ ἐν πένθει, ἢ ἀποδημοῦντος τέκνου, ἢ ἀπολωλεκότα τὰ ἑαυτοῦ, πρόσεχε μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς



ὄντος αὐτοῦ τοῖς ἐκτός. ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγειν ἔστω πρόχειρον, ὅτι τοῦτον θλίβει, οὐ τὸ συμβεβηκὸς, ἄλλον γὰρ οὐ θλίβει, ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων. μέχρι μέντοι λόγου, μὴ ὄκνει συμπεριφέρεσθαι αὐτῷ, κἂν οὕτω τύχῃ, συνεπιστενάξαι. πρόσεχε μέντοι μὴ καὶ ἔσωθεν συνεπιστενάξῃς. ιε΄.

Μέμνησο, ὅτι ὑποκριτὴς εἶ δράματος, οἵου ἂν θέλῃ ὁ διδάσκαλος, ἂν βραχὺ, βραχέος, ἂν μακρὸν, μακροῦ, ἂν πτωχὸν ὑποκρίνεσθαί σε θέλῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ, ἂν χωλὸν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. σὸν γὰρ τοῦτ' ἐστὶ, τὸ δοθὲν ὑποκρίνασθαι πρόσωπον καλῶς, ἐκλέξασθαι δ' αὐτὸ, ἄλλου. ις΄.

Κόραξ ὅταν μὴ αἴσιον κεκράγῃ, μὴ συναρπαζέτω σε ἡ φαντασία. ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγε, ὅτι τούτων ἐμοὶ οὐδὲν ἐπισημαίνεται, ἀλλ' ἢ τῷ σωματίῳ μου, ἢ τῷ κτησιδίῳ μου, ἢ τῷ δοξαρίῳ, ἢ τοῖς τέκνοις, ἢ τῇ γυναικί. ἐμοὶ δὲ πάντα αἴσια σημαίνεται, ἐὰν ἐγὼ θέλω. ὅ τι γὰρ ἂν τούτων ἀποβαίνῃ, ἐπ' ἐμοί ἐστιν ὠφεληθῆναι ἀπ' αὐτοῦ. ιζ΄.

Ἀνίκητος εἶναι δύνασαι, ἐὰν μηδένα ἀγῶνα καταβαίνῃς, ὃν οὐκ ἔστιν ἐπὶ σοὶ νικῆσαι. ὅρα μήποτε ἰδών τινα προτιμώμενον, ἢ μεγαλοδυναμοῦντα, ἢ ἄλλως εὐδοκιμοῦντα, μακαρίσῃς ὑπὸ τῆς φαντασίας συναρπασθείς. ἐὰν γὰρ ἐν τοῖς ἐφ' ἡμῖν ἡ οὐσία τοῦ ἀγαθοῦ ᾖ, οὔτε φθόνος, οὔτε ζηλο-

τυπίαν χώραν ἔξει. σὺ δὲ αὐτὸς οὐ στρατηγὸς, οὐ πρύτανις ἢ ὕπατος εἶναι θελήσῃς, ἀλλ᾽ ἐλεύθερος. μία δὲ ὁδὸς πρὸς ταῦτα, καταφρόνησις τῶν οὐκ ἐφ᾽ ἡμῖν.

ιη'.

ΜΕμνησο, ὅτι οὐχ ὁ λοιδορῶν ἢ ὁ τύπτων ὑβρίζει, ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων ὡς ὑβριζόντων. ὅταν οὖν ἐρεθίσῃ σέ τις, ἴσθι ὅτι ἡ σή σε ὑπόληψις ἠρέτικε. τοιγαροῦν ἐν πρώτοις πειρῶ, ὑπὸ τῆς φαντασίας μὴ συναρπασθῆναι. ἂν γὰρ ἅπαξ χρόνου καὶ διατριβῆς τύχῃς, ῥᾷον κρατήσεις σεαυτοῦ.

ιθ'.

ΘΑνατος, καὶ φυγὴ, καὶ πάντα τὰ δεινὰ φαινόμενα, πρὸ ὀφθαλμῶν ἔστω σοι καθ᾽ ἡμέραν, μάλιστα δὲ πάντων ὁ θάνατος, καὶ οὐδὲν οὐδέποτε ταπεινὸν ἐνθυμηθήσῃ, οὔτε ἄγαν ἐπιθυμήσεις τινός.

κ'.

ΦΙλοσοφίας ἐπιθυμεῖς; παρασκευάζου αὐτόθεν ὡς καταγελασθησόμενος, ὡς καταμωκησομένων σου πολλῶν, ὡς ἐρούντων, ὅτι ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθε, καὶ πόθεν ἡμῖν αὕτη ἡ ὀφρῦς; σὺ δὲ ὀφρῦν μὲν μὴ σχῇς. τῶν δὲ βελτίστων σοι φαινομένων οὕτως ἔχου, ὡς ὑπὸ τοῦ θεοῦ τεταγμένος εἰς ταύτην τὴν τάξιν. μέμνησο δὲ, ὅτι ἐὰν μὲν ἐμμένῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σου πρότερον, οὗτοί σε ὕστερον θαυμάσουσιν, ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

κα'.

ΕΑν ποτέ σοι γένηται ἔξω στραφῆναι πρὸς τὸ



βουληθῆναι ἀρέσαι τινὶ, ἴσθι, ὅτι ἀπώλεσας τὴν ἔνστασιν. ἀρκοῦ οὖν ἐν παντὶ τῷ εἶναι φιλόσοφος, εἰ δὲ καὶ δοκεῖν βούλει, τῷ εἶναι σαυτῷ φαίνου, καὶ ἱκανὸς ἔσῃ.

κβ'.

ΟΥτοί σε οἱ διαλογισμοὶ μὴ θλιβέτωσαν, ἄτιμος ἐγὼ βιώσομαι, καὶ οὐδεὶς οὐδαμοῦ. εἰ γὰρ ἀτιμία ἐστὶ κακὸν, οὐ δύνασαι ἐν κακῷ εἶναι δι᾽ ἄλλον, οὐ μᾶλλον ἢ ἐν αἰσχρῷ. μήτι οὖν σόν ἐστιν ἔργον τὸ ἀρχῆς τυχεῖν; ἢ παραληφθῆναι ἐφ᾽ ἑστίασιν; οὐδαμῶς. πῶς οὖν ἔτι τοῦτ᾽ ἐστὶν ἀτιμία; πῶς δὲ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὃν ἐν μόνοις εἶναί τινα δεῖ τοῖς ἐπὶ σοὶ, ἐν οἷς ἔξεστί σοι εἶναι πλείστου ἀξίῳ; ἀλλά σοι οἱ φίλοι ἀβοήθητοι ἔσονται; τί λέγεις τὸ ἀβοήθητοι; οὐχ ἕξουσι παρά σου ἀργύρειον; οὐδὲ πολίτας Ῥωμαίων αὐτοὺς ποιήσεις; τίς οὖν σοι εἶπεν, ὅτι ταῦτα τῶν ἐφ᾽ ἡμῖν ἐστὶν, οὐχὶ δὲ ἀλλότρια ἔργα; τίς δὲ δοῦναι δύναται ἑτέρῳ, ἃ μὴ ἔχει αὐτός; κτῆσαι οὖν φασὶν, ἵνα καὶ ἡμεῖς ἔχωμεν, εἰ δύναμαι κτήσασθαι τηρῶν ἐμαυτὸν αἰδήμονα, καὶ πιστὸν, καὶ μεγαλόφρονα, δεικνύετε τὴν ὁδὸν, καὶ κτήσομαι. εἰ δ᾽ ἐμὲ ἀξιοῦτε τὰ ἀγαθὰ τὰ ἐμαυτοῦ ἀπολέσαι ἵν᾽ ὑμεῖς τὰ μὴ ἀγαθὰ περιποιήσησθε, ὁρᾶτε ὑμεῖς, πῶς ἄνισοί ἐστε καὶ ἀγνώμονες. τί δὲ καὶ βούλεσθε μᾶλλον; ἀργύρειον ἢ φίλον πιστὸν καὶ αἰδήμονα; εἰς τοῦτο οὖν μοι συλλαμβάνετε, καὶ μὴ δι᾽ ὧν ἀποβαλῶ αὐτὸ, ταῦτά με πράσσειν ἀξιοῦτε. ἀλλ᾽ ἡ πατρὶς, ὅσον ἐπ᾽ ἐμοὶ, φησὶν,

ἀβοήθητος ἔσται. πάλιν ποίαν ταύτην βοήθειαν; στοὰς οὐχ ἕξει διὰ σέ, οὔτε βαλανεῖα; καὶ τί τοῦτο, οὐδὲ γὰρ ὑποδήματα ἔχει διὰ τὸν σκυτέα; οὐδ' ὅπλα διὰ τὸν χαλκέα; ἱκανὸν δέ, ἐὰν ἕκαστος ἐκπληρώσῃ τὸ ἑαυτοῦ ἔργον. εἰ δὲ ἄλλον τινὰ αὐτῇ κατεσκεύαζες πολίτην πιστὸν καὶ αἰδήμονα, οὐδὲν ἂν αὐτὴν ὠφέλεις; ναί. οὐκοῦν οὐδὲ σὺ ἂν αὐτὸς ἀνωφελὴς εἴης αὐτῇ. τίνα οὖν ἕξω, φησί, χώραν ἐν τῇ πόλει; ἣν ἂν δύνῃ, φυλάττων ἅμα τὸν πιστὸν καὶ αἰδήμονα. εἰ δὲ ἐκείνην ὠφελεῖν βουλόμενος, ἀποβαλεῖς ταῦτα, τί ὄφελος ἂν αὐτῇ γένοιο, ἀναιδὴς καὶ ἄπιστος ἀποπλᾶσθαι.

κγ'.

Προετιμήθη σου τὶς ἐν ἑστιάσει, ἢ ἐν προσαγορεύσει, ἢ ἐν τῷ παραληφθῆναι εἰς συμβουλίαν; εἰ μὲν ἀγαθὰ ταῦτά ἐστι, χαίρειν σε δεῖ, ὅτι ἔτυχεν αὐτῶν ἐκεῖνος, εἰ δὲ κακά, μὴ ἄχθου, ὅτι σὺ αὐτῶν οὐκ ἔτυχες. μέμνησο δὲ ὅτι οὐ δύνασαι, μὴ ταὐτὰ ποιῶν, πρὸς τὸ τυγχάνειν τῶν οὐκ ἐφ' ἡμῖν, τῶν ἴσων ἀξιοῦσθαι. πῶς γὰρ ἴσον δύναται ὁ μὴ φοιτῶν ἐπὶ θύρας τινὸς τῷ φοιτῶντι; ὁ μὴ παραπέμπων τῷ παραπέμποντι; ὁ μὴ ἐπαινῶν τῷ ἐπαινοῦντι; ἄδικος οὖν ἔσῃ καὶ ἄπληστος, εἰ μὴ προϊέμενος ταῦτα, ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται, προῖκα αὐτὰ βουλήσῃ λαμβάνειν. ἀλλὰ πόσου πιπράσκονται θριδακίναι; ὀβολοῦ, ἂν οὕτω τύχῃ. ἂν οὖν τις προέμενος τὸν ὀβολόν, λάβῃ θριδακίνας, σὺ δὲ μὴ προέμενος, μὴ λάβῃς, μὴ οἴου ἔλαττον

ἔχειν



ἔχειν τοῦ λαβόντος. ὡς γὰρ ἐκεῖνος ἔχει θριδακίνας, οὕτω σὺ ὀβολὸν ὃν οὐκ ἔδωκας. τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα. οὐ παρεκλήθης ἐφ' ἑστίασίν τινος; οὐ γὰρ ἔδωκας τῷ καλοῦντι, ὅσου πωλεῖται τὸ δεῖπνον. ἐπαίνου δ' αὐτὸ πωλεῖ, θεραπείας πωλεῖ. δὸς οὖν τὸ διάφορον, εἴ σοι λυσιτελεῖ, ὅσου πωλεῖται. εἰ δὲ κἀκεῖνα θέλεις μὴ προΐεσθαι, καὶ ταῦτα λαμβάνειν, ἄπληστος εἶ, καὶ ἀβέλτερος. οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις μὲν οὖν τὸ μὴ ἐπαινέσαι τοῦτον, ὃν οὐκ ἤθελες, τὸ μὴ ἀνασχέσθαι αὐτοῦ ἐπὶ τῆς εἰσόδου.

κδ'.

Τὸ βούλημα τῆς φύσεως καταμαθεῖν ἔστιν ἐξ ὧν οὐ διαφερόμεθα πρὸς ἀλλήλους. οἷον ὅταν τοῦ γείτονος ἄλλο παιδάριον κατεάξῃ τὸ ποτήριον, πρόχειρον ἐστὶν εὐθὺς λέγειν, ὅτι τῶν γινομένων ἐστίν. ἴσθι οὖν, ὅτι ὅταν καὶ τὸ σὸν κατεαγῇ, τοιοῦτον εἶναί σε δεῖ, ὁποῖον ὅτε καὶ τὸ τοῦ ἄλλου κατεάγη. οὕτω μετατίθει καὶ ἐπὶ τὰ μείζονα. τέκνον ἄλλου τέθνηκεν, ἢ γυνή; οὐδείς ἐστιν, ὃς οὐκ ἂν εἴποι, ὅτι ἀνθρώπινον, ἀλλ' ὅταν τὸ αὐτοῦ τινος ἀποθάνῃ, εὐθὺς οἴμοι, τάλας ἐγώ. ἐχρῆν δὲ μεμνῆσθαι, τί πάσχομεν περὶ ἄλλων αὐτὸ ἀκούσαντες.

κε'.

Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται, οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται. εἰ μὲν τὸ σῶμά σου τις ἐπέτρεπε τῷ ἀπαντήσαντι, ἠγανάκτεις ἄν. ὅτι δὲ σὺ τὴν γνώμην τὴν σεαυτοῦ ἐπιτρέπεις τῷ τυχόντι, ἵνα ἐὰν λοιδορήσηταί σοι,

παραχθῇς ἐκείνῃ καὶ συγχυθῇς, καὶ αἰσχυνθῇς· τοῦτον οὖν καὶ ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα αὐτοῦ· καὶ οὕτως ἔρχου ἐπ' αὐτό. εἰ δὲ μή, τὴν μὲν πρώτην προθύμως ἥξεις, μηδὲν τῶν ἑξῆς ἐντεθυμημένος· ὕστερον δέ, ἀναφανέντων τινῶν αἰσχρῶν, αἰσχυνθήσῃ.

κϛ'.

Θέλεις ὀλύμπια νικῆσαι; κἀγώ, νὴ τοὺς θεούς. κομψὸν γάρ ἐστιν. ἀλλὰ σκόπει καὶ τὰ καθηγούμενα καὶ τὰ ἀκόλουθα· καὶ οὕτως ἅπτου τοῦ ἔργου. δεῖ σ' εὐτακτεῖν, ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει, μὴ ψυχρὸν πίνειν, μὴ οἶνον, ὡς ἔτυχεν· ἁπλῶς, ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ, εἶτα εἰς τὸν ἀγῶνα παρέρχεσθαι, ἔστι δὲ ὅτε χεῖρα βαλεῖν, σφυρὸν στρέψαι, πολλὴν ἁφὴν καταπιεῖν· ἔσθ' ὅτε μαστιγωθῆναι, καὶ μετὰ τούτων πάντων νικηθῆναι. ταῦτα πάντα ἐπισκεψάμενος, ἐὰν ἔτι θέλῃς, ἔρχου ἐπὶ τὸ ἀθλεῖν. εἰ δὲ μή, ὡς τὰ παιδία ἀναστραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς παίζει, νῦν δὲ αὐλητάς, νῦν δὲ μονομάχους, εἶτα σαλπίζει, εἶτα τραγῳδεῖ· οὕτω καὶ σύ, νῦν μὲν ἀθλητής, νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος, ὅλῃ δὲ τῇ ψυχῇ, οὐδέν· ἀλλ' ὡς πίθηκος, πᾶσαν θέαν, ἣν ἂν ἴδῃς, μιμῇ, καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει. οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπί τι, οὐδὲ περιοδεύσας, ἀλλ' εἰκῇ καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν. οὕτω θεασάμενοί τινες φιλό-



σοφον, καὶ ἀκούσαντές οὕτω τινὸς λέγοντος, ὡς εὖ Σωκράτης λέγει· καίτοι τίς οὕτω δύναται εἰπεῖν, ὡς ἐκεῖνος; θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν.

κζ'.

Ἄνθρωπε, πρῶτον ἐπίσκεψαι, ὁποῖόν ἐστι τὸ πρᾶγμα, εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε, εἰ δύνασαι βαστάσαι. πένταθλος εἶναι βούλει, ἢ παλαιστής; ἴδε σεαυτοῦ τοὺς βραχίονας, τοὺς μηρούς, τὴν ὀσφῦν κατάμαθε. ἄλλος γὰρ πρὸς ἄλλο πέφυκε. δοκεῖς, ὅτι ταῦτα ποιῶν, ὡσαύτως δύνασαι ἐσθίειν, ὡσαύτως πίνειν, ὁμοίως δυσαρεστεῖν; ἀγρυπνῆσαι δεῖ, πονῆσαι, ἀπὸ τῶν οἰκείων ἀπελθεῖν, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ἐν παντὶ ἧττον ἔχειν, ἐν τιμῇ, ἐν ἀρχῇ, ἐν δίκῃ, ἐν πραγματίῳ παντί. ταῦτα ἐπίσκεψαι, εἰ θέλεις ἀντικαταλλάξασθαι τούτων ἀπάθειαν, ἐλευθερίαν, ἀταραξίαν. εἰ δὲ μή, πρόσεχε μὴ ὡς τὰ παιδία, νῦν φιλόσοφος, ὕστερον δὲ τελώνης, εἶτα ῥήτωρ, εἶτα ἐπίτροπος καίσαρος γένῃ. ταῦτα οὐ συμφωνεῖ. ἕνα σε δεῖ ἄνθρωπον ἢ ἀγαθόν, ἢ κακὸν εἶναι, ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ σαυτοῦ, ἢ τὰ ἐκτός, ἢ περὶ τὰ ἔσω φιλοτεχνεῖν, ἢ τὰ ἔξω, τουτέστιν ἢ φιλοσόφου τάξιν ἐπέχειν, ἢ ἰδιώτου.

κη'.

Τὰ καθήκοντα ὡς ἐπίπαν ταῖς σχέσεσι παραμετρεῖται. πατήρ ἐστιν; ὑπαγορεύεται ἐπιμελεῖσθαι, παραχωρεῖν ἁπάντων, ἀνέχεσθαι λοιδοροῦντος, παίοντος. ἀλλὰ πατὴρ κακός ἐστι. μήτι οὖν πρὸς ἀγαθὸν πατέρα φύσει ᾠκειώθης, ἀλλὰ πρὸς πατέ-

ρα. ὁ ἀδελφὸς ἀδικεῖ; τήρει τοιγαροῦν τὴν τάξιν τὴν σεαυτοῦ πρὸς αὐτόν. μηδὲ σκόπει τί ἐκεῖνος ποιεῖ, ἀλλὰ τί σοι ποιήσαντι κατὰ φύσιν ἡ σὴ ἕξει προαίρεσις. σὲ γὰρ ἄλλος οὐ βλάψει, ἂν μὴ σὺ θέλῃς. τότε δὲ ἔσῃ βεβλαμμένος, ὅταν ὑπολάβῃς βλάπτεσθαι. οὕτως οὖν ἀπὸ τοῦ γείτονος, ἀπὸ τοῦ πολίτου, ἀπὸ τοῦ στρατηγοῦ τὸ καθῆκον εὑρήσεις, ἐὰν τὰς σχέσεις ἐθίζῃ θεωρεῖν. κα΄.

Τῆς περὶ τοὺς θεοὺς εὐσεβείας, ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνό ἐστιν, ὀρθὰς ὑπολήψεις περὶ αὐτῶν ἔχειν, ὡς ὄντων καὶ διοικούντων τὰ ὅλα καλῶς καὶ δικαίως, καὶ σαυτὸν εἰς τοῦτο κατατεταχέναι, τὸ πείθεσθαι αὐτοῖς, καὶ εἴκειν πᾶσι τοῖς γινομένοις, καὶ ἀκολουθεῖν ἑκόντα, ὡς ὑπὸ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις. οὕτω γὰρ οὔτε μέμψῃ ποτὲ τοῖς θεοῖς, οὔτε ἐγκαλέσεις, ὡς ἀμελούμενος. ἄλλως τε οὐχ οἷόν τε τοῦτο γίνεσθαι, ἐὰν μὴ ἀποστῇς τῶν οὐκ ἐφ᾽ ἡμῖν, καὶ ἐν τοῖς ἐφ᾽ ἡμῖν μένοις θῇς τὸ ἀγαθὸν καὶ τὸ κακόν. ὡς ἄν γέ τι ἐκείνων ὑπολάβῃς ἀγαθὸν ἢ κακόν, πᾶσα ἀνάγκη ὅταν ἀποτυγχάνῃς ὧν θέλῃς, καὶ περιπίπτῃς οἷς μὴ θέλῃς, μέμψασθαί σε καὶ μισεῖν τοὺς αἰτίους. πέφυκε γὰρ πρὸς τοῦτο πᾶν ζῶον, τὰ μὲν βλαβερὰ φαινόμενα, καὶ τὰ αἴτια αὐτῶν, φεύγειν καὶ ἐκτρέπεσθαι. τὰ δὲ ὠφέλιμα, καὶ τὰ αἴτια αὐτῶν, μετιέναι καὶ τεθηπέναι. ἀμήχανον οὖν βλάπτεσθαί τινα οἰόμενον χαίρειν τῷ δοκοῦντι βλάπτειν, ὅθεν καὶ τὸ αὐτῇ τῇ βλάβῃ χαίρειν, ἀδύνατον. ὅθεν καὶ



πατὴρ ὑπὸ υἱοῦ λοιδορεῖται, ὅταν τῶν δοκούντων ἀγαθῶν εἶναι, τῷ παιδὶ μὴ μεταδιδῷ. καὶ Πολυνείκην καὶ Ἐτεοκλέα τοῦτο πολεμίους ἀλλήλοις ἐποίησε, τὸ ἀγαθὸν οἴεσθαι τὴν τυραννίδα. διὰ τοῦτο ὁ γεωργὸς λοιδορεῖ τοὺς θεούς, διὰ τοῦτο ὁ ναύτης, διὰ τοῦτο ὁ ἔμπορος, διὰ τοῦτο οἱ τὰς γυναῖκας καὶ τὰ τέκνα ἀπολλύντες. ὅπου γὰρ τὸ συμφέρον, ἐκεῖ καὶ τὸ εὐσεβές. ὥστε ὅστις ἐπιμελεῖται τοῦ ὀρέγεσθαι ὡς δεῖ, καὶ ἐκκλίνειν, ἐν τῷ αὐτῷ καὶ εὐσεβείας ἐπιμελεῖται. σπένδειν δὲ καὶ θύειν, καὶ ἀπάρχεσθαι κατὰ τὰ πάτρια, ἑκάστοις προσήκει καθαρῶς, καὶ μὴ ἐπισεσυρμένως, μηδὲ ἀμελῶς, μηδὲ γλίσχρως, μηδὲ ὑπὲρ δύναμιν. λ΄.

Ὅταν μαντικῇ προσίῃς, μέμνησο ὅτι τί μὲν ἀποβήσεται, οὐκ οἶδας, ἀλλὰ ἥκεις, ὡς ἀπὸ τοῦ μάντεως πευσόμενος. ὁποῖον δέ τι ἐστίν, ἐλήλυθας εἰδώς, εἴπερ εἶ φιλόσοφος. εἰ γὰρ ἐστί τι τῶν οὐκ ἐφ᾽ ἡμῖν, πᾶσα ἀνάγκη, μήτε ἀγαθὸν αὐτὸ εἶναι, μήτε κακόν. μὴ φέρε οὖν πρὸς τὸν μάντιν ὄρεξιν, ἢ ἔκκλισιν. εἰ δὲ μή, τρέμων αὐτὸν πρόσει. ἀλλὰ διεγνωκώς, ὅτι πᾶν τὸ ἀποβησόμενον, ἀδιάφορον, καὶ οὐδὲν πρὸς σέ, ὁποῖον δ᾽ ἂν ᾖ. ἔσται γὰρ αὐτῷ χρήσασθαι καλῶς. καὶ τοῦτο οὐδεὶς κωλύσει. θαρρῶν οὖν ὡς ἐπὶ συμβούλους ἔρχου τοὺς θεούς. καὶ λοιπόν, ὅταν τι συμβουλευθῇ, μέμνησο τίνας συμβούλους παρέλαβες, καὶ τίνων παρακούσεις ἀπειθήσας. ἔρχου δὲ ἐπὶ τὸ μαντεύεσθαι, καθάπερ ἠξίου Σωκράτης, ἐφ᾽ ὧν

ἡ πᾶσα σκέψις τὴν ἀναφορὰν εἰς τὴν ἔκβασιν ἔχει, καὶ οὔτε ἐκ λόγου, οὔτε ἐκ τέχνης τινὸς ἄλλης ἀφορμαὶ δίδονται πρὸς τὸ συνιδεῖν τὸ προκείμενον. ὥστε ὅταν δέῃ συγκινδυνεῦσαι φίλῳ, ἢ πατρίδι, μὴ μαντεύεσθαι, εἰ συγκινδυνευτέον. καὶ γὰρ ἂν προσείπῃ σοι ὁ μάντις, φαῦλα γεγονέναι τὰ ἱερά, δῆλον ὅτι ὁ θάνατος σημαίνεται, ἢ πήρωσις μέρους σώματος, ἢ φυγή. ἀλλ' αἱρεῖ λόγος, καὶ σὺν τούτοις παρίστασθαι τῷ φίλῳ καὶ πατρίδι συγκινδυνεύειν. τοιγαροῦν τῷ μείζονι μάντει πρόσεχε τῷ Πυθίῳ, ὃς ἐξέβαλε τοῦ ναοῦ τὸν οὐ βοηθήσαντα ἀναιρουμένῳ τῷ φίλῳ. λα'.

Τάξον τινὰ ἤδη χαρακτῆρα σαυτῷ καὶ τύπον, ὃν φυλάξεις ἐπί τε σεαυτοῦ ὤν, καὶ ἀνθρώποις ἐντυγχάνων. καὶ σιωπὴ τὸ πολὺ ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα, καὶ δι' ὀλίγων. σπανίως δέ ποτε καιροῦ παρακαλοῦντος ἐπὶ τὸ λέγειν τι ἥξομεν, ἀλλὰ περὶ οὐδενὸς τῶν τυχόντων, μὴ περὶ μονομάχων, μηδὲ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ περὶ βρωμάτων, ἢ πομάτων τῶν ἑκασταχοῦ λεγομένων, μάλιστα δέ, μὴ περὶ ἀνθρώπων λέγοντες, ἢ ἐπαινοῦντες, ἢ συγκρίνοντες. λβ'.

Ἂν μὲν οὖν οἷός τε ᾖς, μετάγε τοῖς σοῖς λόγοις τὰ τῶν συνόντων ἐπὶ τὸ προσῆκον. εἰ δὲ ἐν ἀλλοφύλοις ἀπολειφθεὶς τύχοις, σιώπα. λγ'.

Γέλως μὴ πολὺς ἔστω, μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένος. λδ'.



Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰς ἅπαν, εἰ δὲ μή, ἐκ τῶν ὄντων. λε'.

Ἑστιάσεις τὰς ἔξω καὶ ἰδιωτικὰς διακρούου. ἐὰν δέ ποτε γίνηται καιρός, ἐντετάσθω σοι ἡ προσοχή, μήποτε ἄρα ὑπορρυῇς εἰς ἰδιωτισμόν. ἴσθι γὰρ ὅτι ἐὰν ὁ ἑταῖρος ᾖ μεμολυσμένος, καὶ τὸν συνανατριβόμενον αὐτῷ, μολύνεσθαι ἀνάγκη, κἂν αὐτὸς ὢν τύχῃς καθαρός. λϛ'.

Τὰ περὶ τὸ σῶμα, μέχρι τῆς χρείας ψυχῆς παραλαμβάνειν, οἷον τροφάς, πόμα, ἀμπεχόνην, οἰκίαν, οἰκετίαν. τὸ δὲ πρὸς δόξαν, ἢ τρυφὴν, ἅπαν περίγραφε. λζ'.

Περὶ ἀφροδίσια εἰς δύναμιν πρὸ γάμου καθαρευτέον. ἁπτομένῳ δέ, ὡς νόμιμόν ἐστι, μεταληπτέον. μὴ μέντοι ἐπαχθὴς γίνου τοῖς χρωμένοις, μηδὲ ἐλεγκτικός, μηδὲ πολλαχοῦ τὸ ὅτι αὐτὸς οὐ χρῇ, παρέφερε. ἐάν τίς σοι ἀπαγγείλῃ, ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα, ἀλλ' ἀποκρίνου, ὅτι ἠγνόει γὰρ τὰ ἄλλα προσόντα μοι κακά, ἐπεὶ οὐκ ἂν ταῦτα μόνα ἔλεγεν. λη'.

Εἰς τὰ θέατρα πολὺ παριέναι, οὐκ ἀναγκαῖον. εἰ δέ ποτε καιρὸς εἴη, μηδενὶ σπουδάζων φαίνου ἢ σεαυτῷ, τουτέστι θέλε γίνεσθαι μόνα τὰ γινόμενα, καὶ νικᾶν μόνον τὸν νικῶντα. οὕτω γὰρ οὐκ ἐμποδισθήσῃ. βοῆς δὲ καὶ τοῦ ἐπιγελᾶν τινι, ἢ ἐπὶ πολὺ ἐπικινεῖσθαι, παντελῶς ἀπέχου, καὶ μετὰ τὸ ἀπαλλα-

γίνεσθαι, μὴ πολλὰ περὶ τῶν γενομένων διαλέγου, ὅσα μὴ φέρει πρὸς τὴν σὴν ἐπανόρθωσιν· ἐμφαίνεται γὰρ ἐκ τοῦ τοιούτου, ὅτι ἐθαύμασας τὴν θέαν. λθ'.

Εἰς ἀκροάσεις τινῶν μὴ ἧκε, μηδὲ ῥᾳδίως πρόσειθι· παρειὼν δὲ, τὸ σεμνὸν, καὶ εὐσταθὲς, καὶ ἅμα ἀνεπαχθὲς φύλασσε. μ'.

Ὅταν τινὶ μέλλῃς συμβάλλειν, καὶ μάλιστα τῶν ἐν ὑπεροχῇ δοκούντων, πρόβαλε σεαυτῷ, τί ἂν ἐποίησεν ἐν τούτῳ Σωκράτης ἢ Ζήνων, καὶ οὐκ ἀπορήσεις τοῦ χρήσασθαι προσηκόντως τῷ ἐμπεσόντι. μα'.

Ὅταν φοιτᾷς πρός τινας τῶν μέγα δυναμένων, πρόβαλε, ὅτι οὐχ εὑρήσεις αὐτὸν ἔνδον, ὅτι ἀποκλεισθήσῃ, ὅτι ἐκτιναχθήσονταί σοι αἱ θύραι, ὅτι οὐ φροντιεῖ σου. κἂν σὺν τούτοις ἐλθεῖν καθήκῃ, φέρε τὰ γινόμενα, καὶ μηδέποτε εἴπῃς αὐτὸς πρὸς σεαυτὸν, ὅτι οὐκ ἦν τοσούτου. ἰδιωτικὸν γὰρ, καὶ διαβεβλημένου πρὸς τὰ ἐκτός. μβ'.

Ἐν ταῖς ὁμιλίαις ἀπέστω τὸ τινὰ τῶν ἑαυτοῦ ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέτρως μεμνῆσθαι. οὐ γὰρ ὡς σοὶ ἡδὺ ἐστὶ τὸ τῶν σῶν κινδύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδὺ ἐστὶ τὸ τῶν σοι συμβεβηκότων ἀκούειν. ἀπέστω δὲ καὶ τὸ γέλωτα κινεῖν. ὀλισθηρὸς γὰρ ὁ τόπος εἰς ἰδιωτισμὸν, καὶ ἅμα ἱκανὸς τὴν αἰδῶ τὴν πρὸς σὲ τῶν πλησίον ἀνιέναι. ἐπισφαλὲς δὲ καὶ τὸ εἰς αἰσχρολογίαν προελθεῖν. ὅταν



οὖν τι συμβῇ τοιοῦτον, ἂν μὲν εὔκαιρον ᾖ, καὶ ἐπίπληξον τῷ προσελθόντι. εἰ δὲ μὴ, τῷ γε ἀποσιωπῆσαι, καὶ ἐρυθριάσαι, καὶ σκυθρωπῆσαι, δῆλος γίνου δυσχεραίνων τῷ λόγῳ. μγ'.

Ἐὰν ἡδονῆς τινος φαντασίαν λάβῃς, φύλασσε σεαυτὸν, μὴ συναρπασθῇς ὑπ' αὐτῆς, ἀλλ' ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ ἀναβολήν τινα παρὰ σεαυτοῦ λάβε. ἔπειτα μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὅν τε ἀπολαύσεις τῆς ἡδονῆς, καὶ καθ' ὃν ἀπολαύσας ὕστερον μετανοήσεις, καὶ αὐτὸς σεαυτῷ λοιδορήσῃ. καὶ τούτοις ἀντίθες, ὅπως ἀποσχόμενος χαιρήσεις, καὶ ~~ἐπαινέσεις~~ αὐτὸς ἑαυτόν. ἐὰν δέ σοι καιρὸς φανῇ ἅψασθαι τοῦ ἔργου, πρόσεχε μὴ νικήσῃ σε τὸ προσηνὲς αὐτοῦ, καὶ ἡδὺ, καὶ ἐπαγωγόν. ἀλλ' ἀντιτίθει, πόσῳ ἄμεινον τὸ συνειδέναι ταύτην τὴν νίκην νενικηκότι. μδ'.

Ὅταν τι διαγνοὺς, ὅτι ποιητέον ἐστὶ, ποιῇς, μηδέποτε φύγῃς ὀφθῆναι πράσσων αὐτὸ, κἂν ~~ἀλλ'~~ οἷόν τι οἱ πολλοὶ μέλλωσι περὶ αὐτοῦ ὑπολαμβάνειν. εἰ μὲν γὰρ οὐκ ὀρθῶς ποιεῖς, αὐτὸ ἔργον φεῦγε. εἰ δὲ ὀρθῶς, τί φοβῇ τοὺς ἐπιπλήξοντας οὐκ ὀρθῶς; με'.

Ὡς τὸ ἡμέρα ἐστὶ καὶ νύξ ἐστι, πρὸς μὲν τὸ διεζευγμένον μεγάλην ἔχει ἀξίαν, πρὸς
λάπα δὲ τὸ κοινὸν ἐν ἑστιάσει, οἷον μὴ φυλάξαι, ἀπαξίαν ἔχει. ὅταν οὖν συνεσθίῃς ἑτέρῳ, μέμνησο

οὐ μόνον τὴν πρὸς τὸ σῶμα ἀξίαν τῶν παρακειμένων ὁρᾶν, ἀλλὰ καὶ τὴν πρὸς τὸν ἑστιάτορα, οἵαν δεῖ φυλαχθῆναι. μς΄.

Ἂν ὑπὲρ δύναμιν ἀναλάβῃς τι πρόσωπον, καὶ ἐν τούτῳ ἠσχημόνησας, καὶ ὃ ἐδύνασο ἐκπληρῶσαι, παρέλιπες. μζ΄.

Ἐν τῷ περιπατεῖν καθάπερ προσέχεις, μὴ ἐπιβῇς ἥλῳ, ἢ στρέψῃς τὸν πόδα, οὕτω πρόσεχε, μὴ τὸ ἡγεμονικὸν βλάψῃς τὸ σεαυτοῦ. καὶ τοῦτ᾽ ἂν ἐφ᾽ ἑκάστου ἔργου παραφυλάσσωμεν, ἀσφαλέστερον ἁψόμεθα τοῦ ἔργου. μη΄.

Μέτρον κτήσεως τὸ σῶμα ἑκάστῳ, ὡς ὁ πούς ὑποδήματος. ἂν μὲν οὖν ἐπὶ τούτου στῇς, φυλάξεις τὸ μέτρον. ἐὰν δὲ ὑπερβῇς, ὡς κατὰ κρημνοῦ λοιπὸν ἀνάγκη φέρεσθαι. καθάπερ καὶ ἐπὶ τοῦ ὑποδήματος, ἐὰν ὑπὲρ τὸν πόδα ὑπερβῇς, γίνεται κατάχρυσον ὑπόδημα, εἶτα πορφυροῦν, εἶτα κεντητόν. τοῦ γὰρ ἅπαξ ὑπὲρ τὸ μέτρον ὅρος οὐδείς ἐστιν. μθ΄.

Αἱ γυναῖκες εὐθὺς ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν ὑπὸ τῶν ἀνδρῶν κυρίαι καλοῦνται, τοιγαροῦν ὁρῶσαι, ὅτι ἄλλο μὲν οὐδὲν αὐταῖς πρόσεστι, μόνον δὲ συγκοιμᾶσθαι τοῖς ἀνδράσιν, ἄρχονται καλλωπίζεσθαι, καὶ ἐν τούτῳ πάσας ἔχειν τὰς ἐλπίδας. προσέχειν οὖν ἄξιον, ἵνα αἴσθωνται, διότι ἐπ᾽ οὐδενὶ ἄλλῳ τιμῶνται, ἢ τῷ κόσμιαι φαίνεσθαι, καὶ αἰδήμονες ἐν σωφροσύνῃ. ἀφυΐας σημεῖον



τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα. οἷον ἐπὶ πολὺ γυμνάζεσθαι, ἐπὶ πολὺ ἐσθίειν, ἐπὶ πολὺ πίνειν, ἐπὶ πολὺ ἀποπατεῖν, ὀχεύειν. ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ ποιητέον, περὶ δὲ τὴν γνώμην ἡ πᾶσα ἔστω ἐπιστροφή. ν΄.

Ὅταν τὶς κακῶς τι ποιῇ, ἢ κακῶς σε λέγῃ, μέμνησο ὅτι καθήκειν αὐτῷ οἰόμενος ποιεῖ, ἢ λέγει. οὐχ οἷόν τε οὖν ἀκολουθεῖν αὐτὸν τῷ σοὶ φαινομένῳ, ἀλλὰ τῷ ἑαυτῷ. ὥστε εἰ κακῶς αὐτῷ φαίνεται, ἐκεῖνος βλάπτεται, ὅστις καὶ ἐξηπάτηται. καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον αὐτίς ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βέβλαπται, ἀλλ᾽ ὁ ἐξαπατηθείς. ἀπὸ τούτων οὖν ὁρμώμενος, πράως ἕξεις πρὸς τὸν λοιδοροῦντα. ἐπιφθέγγου γὰρ ἑκάστῳ, ἔδοξεν αὐτῷ. να΄.

Πᾶν πρᾶγμα δύο ἔχει λαβάς. τὴν μὲν φορητήν, τὴν δὲ ἀφόρητον. ὁ ἀδελφὸς ἐὰν ἀδικῇ, ἐντεῦθεν αὐτῷ μὴ λάμβανε, ὅτι ἀδικεῖ. αὕτη γὰρ λαβή ἐστιν αὐτοῦ οὐ φορητή. ἀλλ᾽ ἐκεῖθεν μᾶλλον, ὅτι ἀδελφός, ὅτι σύντροφος, καὶ λήψῃ αὐτό, καθὸ φορητόν ἐστιν. νβ΄.

Οὗτοι οἱ λόγοι ἀσύνακτοι, ἐγώ σου πλουσιώτερός εἰμι, ἐγώ σου ἄρα κρείσσων, ἐγώ σου λογιώτερος, ἐγώ σου ἄρα κρείσσων. ἐκεῖνοι δὲ μᾶλλον συνακτοί, ἐγώ σου πλουσιώτερός εἰμι, ἡ ἐμὴ ἄρα κτῆσις τῆς σῆς κρείσσων, ἐγώ σου λογιώτερος, ἡ ἐμὴ ἄρα

:. αὐτῷ. ss. ut paulopost.

συμπεπλεγμένῳ) coniugatū. po

λέξεις τῆς σῆς κρείσσων· σὺ δέ γε οὔτε κτῆσις εἶ, οὔτε λέξις.

νγʹ.

Λούεταί τις ταχέως; μὴ εἴπῃς, ὅτι κακῶς, ἀλλ' ὅτι ταχέως. πίνει τις πολὺν οἶνον; μὴ εἴπῃς, ὅτι κακῶς, ἀλλ' ὅτι πολύν. πρὶν γὰρ διαγνῶναι τὸ δόγμα, πόθεν οἶσθα, εἰ κακῶς; οὕτως οὖν συμβήσεταί σοι ἄλλας μὲν φαντασίας καταληπτικὰς καταλαμβάνειν, ἄλλαις δὲ συγκατατίθεσθαι.

νδʹ.

Μηδαμοῦ σεαυτὸν εἴπῃς φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων· οἷον ἐν συμποσίῳ μὴ λέγε πῶς δεῖ ἐσθίειν, ἀλλὰ ἔσθιε ὡς δεῖ. μέμνησο γὰρ ὅτι οὕτως ἀφῃρήκει πανταχόθεν καὶ Σωκράτης τὸ ἐπιδεικτικόν. ἤρχοντο πρὸς αὐτὸν, βουλόμενοι φιλοσόφοις ὑπ' αὐτοῦ συσταθῆναι, κἀκεῖνος ἀπῆγεν αὐτούς. οὕτως ἠνείχετο παρορώμενος. ὥστε κἂν περὶ θεωρήματός τινος ἐν ἰδιώταις ἐμπίπτῃ λόγος, σιώπα τὸ πολύ· μέγας γὰρ ὁ κίνδυνος, εὐθὺς ἐξεμέσαι, ὃ οὐκ ἔπεψας. καὶ ὅταν εἴπῃ σοί τις, ὅτι οὐδὲν οἶσθα, καὶ σὺ μὴ δηχθῇς, τότε ἴσθι, ὅτι ἄρχῃ τοῦ ἔργου. ἐπεὶ καὶ τὰ πρόβατα οὐ χόρτον φέροντα τοῖς ποιμέσιν ἐπιδεικνύει, πόσον ἔφαγεν, ἀλλὰ τὴν νομὴν ἔσω πέψαντα, ἔριον ἔξω φέρει καὶ γάλα. καὶ σὺ τοίνυν μὴ ταχέως ῥήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλ' ἀπ' αὐτῶν πεφθέντων τὰ ἔργα.

Socrates

νεʹ.

Ὅταν εὐτελῶς ἡρμοσμένος ᾖς κατὰ τὸ σῶμα, μὴ καλλωπίζου ἐπὶ τούτῳ· μηδ' ἂν ὕδωρ πίνῃς, ἐκ πάσης ἀφορμῆς λέγε ὅτι ὕδωρ πίνεις. κἂν ἀσκῆσαί ποτε πρὸς πόνον θέλῃς, σεαυτῷ καὶ μὴ τοῖς ἔξω, μὴ τοὺς ἀνδριάντας περιλάμβανε, ἀλλὰ διψῶν ποτε σφοδρῶς, ἐπίσπασαι ψυχροῦ ὕδατος, καὶ ἔμπτυσον, καὶ μηδενὶ εἴπῃς.



νςʹ.

Ἰδιώτου στάσις καὶ χαρακτὴρ οὐδέποτε ἐξ ἑαυτοῦ προσδοκᾷ ὠφέλειαν ἢ βλάβην, ἀλλ' ἀπὸ τῶν ἔξω. φιλοσόφου στάσις καὶ χαρακτὴρ πᾶσαν ὠφέλειαν καὶ βλάβην ἐξ ἑαυτοῦ προσδοκᾷ.

νζʹ.

Σημεῖα προκόπτοντος, οὐδένα ψέγει, οὐδένα ἐπαινεῖ, οὐδένα μέμφεται, οὐδενὶ ἐγκαλεῖ, οὐδὲν περὶ ἑαυτοῦ λέγει, ὡς ὄντος τινός, ἢ εἰδότος τι. ὅταν ἐμποδισθῇ τι, ἢ κωλυθῇ, ἑαυτῷ ἐγκαλεῖ. κἂν τις αὐτὸν ἐπαινῇ, καταγελᾷ τοῦ ἐπαινοῦντος αὐτὸς παρ' ἑαυτῷ. κἂν ψέγῃ, οὐκ ἀπολογεῖται. περίεισι δὲ καθάπερ οἱ ἄρρωστοι, εὐλαβούμενός τι κινῆσαι τῶν καθεστώτων, πρὶν πῆξιν λαβεῖν. ὄρεξιν ἅπασαν ἦρκεν ἀφ' ἑαυτοῦ. τὴν δ' ἔκκλισιν εἰς μόνα τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν μετατέθεικεν. ὁρμῇ πρὸς ἅπαντα ἀνειμένῃ χρῆται. ἂν ἠλίθιος ἢ ἀμαθὴς δοκῇ, οὐ πεφρόντικεν. ἐνί τε λόγῳ, ὡς ἐχθρὸν ἑαυτὸν παραφυλάσσει καὶ ἐπίβουλον.

νηʹ.

Ὅταν τις ἐπὶ τῷ νοεῖν καὶ ἐξηγεῖσθαι δύνασθαι τὰ Χρυσίππου βιβλία σεμνύνηται,

Chrysipp

i.e. πεφθέντων. ut mox ante τὴν νομὴν ἔσω πέψαντα

μὴ τοὺς ἀνδριάντας περιλάμβανε .i. stultos plebeios

λέγε αὐτὸς πρὸς ἑαυτόν, ὅτι εἰ μὴ Χρύσιππος ἀσαφῶς ἐγεγράφει, οὐδὲν ἂν εἶχεν οὗτος ἐφ' ᾧ ἐσεμνύνετο. ἐγὼ δὲ τί βούλομαι; καταμαθεῖν τὴν φύσιν, καὶ ταύτῃ ἕπεσθαι. ζητῶ οὖν τίς ἐστιν ὁ ἐξηγούμενος· καὶ ἀκούσας, ὅτι Χρύσιππος, ἔρχομαι πρὸς αὐτόν. ἀλλ' οὐ νοῶ τὰ γεγραμμένα. ζητῶ οὖν τὸν ἐξηγούμενον, καὶ μέχρι τούτων οὔπω σεμνὸν οὐδέν. ὅταν δὲ εὕρω τὸν ἐξηγούμενον, ἀπολείπεται χρῆσθαι τοῖς παρηγγελμένοις. τοῦτο αὐτὸ μόνον σεμνόν ἐστιν. ἂν δὲ αὐτὸ τοῦτο ἐξηγεῖσθαι θαυμάσω, τί ἄλλο ἢ γραμματικὸς ἀπετελέσθην ἀντὶ φιλοσόφου; πλήν γε δὴ ὅτι ἀντὶ Ὁμήρου Χρύσιππον ἐξηγούμενος. μᾶλλον οὖν ὅταν τις εἴπῃ μοι, ἐπανάγνωθί μοι Χρύσιππον, ἐρυθριῶ, ὅταν μὴ δύνωμαι ὅμοια τὰ ἔργα καὶ σύμφωνα ἐπιδεικνύειν τοῖς λόγοις. ὅσα προτίθεται τούτοις, ὡς νόμοις, καὶ ὡς ἀσεβὴς παραβησόμενος ἔμμενε. ὅτι δ' ἂν ἐρῇ τις περὶ σοῦ, μὴ ἐπιστρέφου. τοῦτο γὰρ οὐκ ἔτ' ἔστι σόν.

νθ.

Εἰς ποῖον ἔτι χρόνον ἀναβάλλῃ τὸ τῶν βελτίστων ἀξιοῦν σεαυτόν, καὶ ἐν μηδενὶ παραβαίνειν τὸν διαιροῦντα λόγον; παρείληφας τὰ θεωρήματα, οἷς ἔδει σε συμβάλλειν, καὶ συμβέβληκας· ποῖον οὖν ἔτι διδάσκαλον προσδοκᾷς, ἵν' εἰς ἐκεῖνον ὑπερθῇς τὴν ἐπανόρθωσιν ποιῆσαι τὴν σεαυτοῦ; οὐκ ἔτι εἶ μειράκιον, ἀλλὰ ἀνὴρ ἤδη τέλειος. ἂν τοίνυν ἀμελήσῃς, καὶ ῥᾳθυμήσῃς, καὶ ἀεὶ ὑπερθέσεις ἐξ ὑπερθέσεων ποιῇς,

/.cf. ἀσεβὴς

/ διαιροῦντα λόγον



προθέσεις ἐκ προθέσεων, καὶ ἡμέρας ἄλλας ἐπ' ἄλλαις ὁρίζῃς, μεθ' ἃς προσέξεις σεαυτῷ, λήσεις σεαυτὸν οὐ προκόψας, ἀλλ' ἰδιώτης διατελέσεις καὶ ζῶν καὶ ἀποθνήσκων. ἤδη οὖν ἀξίωσον σεαυτὸν βιοῦν ὡς τέλειον, καὶ προκόπτοντα, καὶ πᾶν τὸ βέλτιστον φαινόμενον ἔστω σοι νόμος ἀπαράβατος, κἂν ἐπίπονόν τι ἢ ἡδὺ, ἢ ἔνδοξον, ἢ ἄδοξον προσάγηται, μέμνησο, ὅτι νῦν ἀγών, καὶ ἤδη πάρεστι τὰ Ὀλύμπια, καὶ οὐκ ἔστιν ἀναβάλλεσθαι, καὶ ὅτι παρὰ μίαν ἧτταν καὶ ἔνδοσιν ἢ ἀπόλλυται προκοπή, ἢ σώζεται. Σωκράτης οὕτως ἀπετελέσθη, ἐπὶ πάντων προσάγων ἑαυτόν, μηδενὶ ἄλλῳ προσέχων ἢ τῷ λόγῳ. σὺ δὲ εἰ καὶ μήπω εἶ Σωκράτης, ὡς Σωκράτης γε εἶναι βουλόμενος, ὀφείλεις βιοῦν.

ξ.

Ὁ πρῶτος καὶ ἀναγκαιότατος τόπος ἐστὶν ἐν φιλοσοφίᾳ, ὁ τῆς χρήσεως τῶν δογμάτων, οἷον ὁ τοῦ μὴ ψεύδεσθαι. ὁ δεύτερος, ὁ τῶν ἀποδείξεων, οἷον πόθεν οὐ δεῖ ψεύδεσθαι. τρίτος, ὁ αὐτῶν τούτων βεβαιωτικός, καὶ διαρθρωτικός, οἷον πόθεν ὅτι τοῦτο ἀπόδειξις. τί γάρ ἐστιν ἀπόδειξις, τί ἀκολουθία, τί μάχη, τί ἀληθές, τί ψεῦδος; οὐκοῦν ὁ μὲν τρίτος τόπος ἀναγκαῖος διὰ τὸν δεύτερον, ὁ δὲ δεύτερος διὰ τὸν πρῶτον, ὁ δὲ ἀναγκαιότατος, καὶ ὅπου ἀναπαύεσθαι δεῖ, ὁ πρῶτος. ἡμεῖς δὲ ἔμπαλιν ποιοῦμεν. ἐν γὰρ τῷ τρίτῳ τόπῳ διατρίβομεν, καὶ περὶ ἐκεῖνόν ἐστιν ἡμῖν ἡ πᾶσα σπουδή. τοῦ δὲ πρώτου παντελῶς

ἀμελοῦμεν. τοιγαροῦν ψευδόμεθα μέν, πῶς δὲ ἀποδείκνυται ὅτι οὐ δεῖ ψεύδεσθαι, πρόχειρον ἔχομεν. ξα'.

Ἐπὶ παντὸς πρόχειρον ἑκτέον ταῦτα. ἄγε δή με ὦ Ζεῦ, καὶ σὺ ἡ πεπρωμένη, ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος, ὡς ἕψομαί γε ἄοκνος. ἢν δέ γε μὴ θέλω, οὐδὲν ἧττον ἕψομαι. ξβ'.

Ὅστις δ' ἀνάγκῃ συγκεχώρηκε καλῶς, σοφὸς παρ' ἡμῖν, καὶ τὰ θεῖα ἐπίσταται. ἀλλὰ καὶ τὸ τρίτον ὦ Κρίτων, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ γινέσθω. ἐμὲ δὲ Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δὲ οὔ.

ΤΕΛΟΣ.

## ΑΡΡΙΑΝΟΣ ΛΟΥΚΙΩ ΓΕΛΛΙΩ ΧΑΙΡΕΙΝ.

Οὔτε συνέγραψα ἐγὼ τοὺς Ἐπικτήτου λόγους οὕτως, ὅπως ἄν τις συγγράψειε τὰ τοιαῦτα, οὔτε ἐξήνεγκα εἰς ἀνθρώπους αὐτός. ὅς γε οὐδὲ συγγράψαι φημί. ὅσα δὲ ἤκουον αὐτοῦ λέγοντος, ταῦτα αὐτὰ ἐπειράθην αὐτοῖς ὀνόμασιν, ὡς οἷόν τε ἦν γραψάμενος, ὑπομνήματα εἰς ὕστερον ἐμαυτῷ διαφυλάξαι τῆς ἐκείνου διανοίας, καὶ παρρησίας. ἔστι δὴ τοιαῦτα ὥσπερ εἰκός, ὁποῖα ἄν τις αὐτόθεν ὁρμηθεὶς, εἴποι πρὸς ἕτερον. οὐχ ὁποῖα ἂν, ἐπὶ τῷ ὕστερον ἐντυγχάνειν τινὰς αὐτοῖς, συγγράφοι. τοιαῦτα δ' ὄντα, οὐκ οἶδα ὅπως οὔτε ἑκόντος ἐμοῦ, οὔτε εἰδότος, ἐξέπεσεν εἰς ἀνθρώπους. ἀλλ' ἔμοιγε οὐ πολὺς λόγος, εἰ οὐχ ἱκανὸς φανοῦμαι συγγράφειν. Ἐπικτήτῳ δὲ οὐδ' ὀλίγος, εἰ καταφρονήσαι τις αὐτοῦ τῶν λόγων. ἐπεὶ καὶ λέγων αὐτούς, οὐδενὸς ἄλλου δῆλος ἦν ἐφιέμενος, ὅτι μὴ κινῆσαι τὰς γνώ-

μας τῶν ἀκουόντων πρὸς τὰ βέλτιστα. εἰ μὲν δὴ τοῦτό γε αὐτὸ διαπράττοιντο οἱ λόγοι οὗτοι, ἔχοιεν ἂν οἶμαι, ὅπερ χρὴ ἔχειν τοὺς τῶν φιλοσόφων λόγους, εἰ δὲ μή, ἀλλ' ἐκεῖνο ἴστωσαν οἱ ἐντυγχάνοντες, ὅτι αὐτὸς ὁπότε ἔλεγεν αὐτούς, ἀνάγκη ἦν τοῦτο πάσχειν τὸν ἀκροώμενον αὐτῶν, ὅπερ ἐκεῖνος αὐτὸν παθεῖν ἠβούλετο. εἰ δὲ οἱ λόγοι αὐτοὶ ἐφ' αὑτῶν τοῦτο οὐ διαπράττονται, τυχὸν μὲν ἐγὼ αἴτιος, τυχὸν δὲ καὶ ἀνάγκη οὕτως ἔχειν. ἔρρωσο.

## Περὶ τῶν ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν. α.

6C 38 Τῶν ἄλλων δυνάμεων οὐδεμίαν εὑρήσετε αὐτὴν αὑτῆς θεωρητικήν. οὐ τοίνυν οὐδὲ δοκιμαστικήν, ἢ ἀποδοκιμαστικήν. ἡ γραμματικὴ μέχρι τίνος κέκτηται τὸ θεωρητικόν; μέχρι τοῦ διαγνῶναι τὰ γράμματα. ἡ μουσική, μέχρι τοῦ διαγνῶναι τὸ μέλος. αὐτὴ οὖν αὑτὴν θεωρεῖ τις αὐτῶν; οὐδαμῶς. ἀλλ' ὅταν μὲν ἀπογράφειν τῷ ἑταίρῳ δέῃ, τούτῳ τί γραπτέον, ἡ γραμματικὴ ἐρεῖ. πότερον δὲ γραπτέον τῷ ἑταίρῳ, ἢ οὐ γραπτέον, ἡ γραμματικὴ οὐκ ἐρεῖ. καὶ περὶ τῶν μελῶν ὡσαύτως ἡ μουσική. πότερον δ' ᾀστέον νῦν καὶ κιθαριστέον, ἢ οὔτε ᾀστέον οὔτε κιθαριστέον, οὐκ ἐρεῖ. τίς οὖν ἐρεῖ; ἡ καὶ αὑτὴν θεωροῦσα καὶ τ' ἄλλα πάντα. αὕτη δ' ἐστὶ τίς; ἡ δύναμις ἡ λογική. μόνη γὰρ αὕτη καὶ αὑτὴν κατανοήσασα παρελήφθη. τίς τε ἐστί, καὶ τί δύναται, καὶ πόσου ἀ-

7C 39



ξία οὖσα ἐλήλυθε, καὶ τὰς ἄλλας ἁπάσας. τί γάρ ἐστιν ἄλλο τὸ λέγον ὅτι χρυσίον καλόν ἐστιν. αὐτὸ γὰρ οὐ λέγει. δῆλον ὅτι ἡ χρηστικὴ δύναμις, ταῖς φαντασίαις. τί ἄλλο τὸ μουσικήν. γραμματικήν. τὰς ἄλλας δυνάμεις διακρῖνον. δοκιμάζον τὰς χρήσεις αὐτῶν, καὶ τοὺς καιροὺς παραδεικνύον; οὐδὲν ἄλλο. ὥσπερ οὖν ἦν ἄξιον, τὸ κράτιστον ἁπάντων καὶ κυριεῦον, οἱ θεοὶ μόνον ἐφ' ἡμῖν ἐποίησαν τὴν χρῆσιν τὴν ὀρθὴν ταῖς φαντασίαις. τὰ δὲ ἄλλα οὐκ ἐφ' ἡμῖν. ἆρά γε, ὅτι οὐκ ἤθελον; ἐγὼ μὲν δοκῶ ὅτι εἰ ἠδύναντο, κἀκεῖνα ἂν ἡμῖν ἐπετρέψαν, ἀλλὰ πάντως οὐκ ἠδύναντο. ἐπὶ γῆς γὰρ ὄντας καὶ σώματι συνδεδεμένους τοιούτῳ, καὶ κοινωνοῖς τοιούτοις, πῶς οἷόν τ' ἦν εἰς ταῦτα ὑπὸ τῶν ἐκτὸς μὴ ἐμποδίζεσθαι. ἀλλὰ τί λέγει ὁ Ζεύς; Ἐπίκτητε, εἰ οἷόν τε ἦν, καὶ τὸ σωμάτιον ἄν σου καὶ τὸ κτησίδιον ἐποίησα ἂν ἐλεύθερον καὶ ἀπαρεμπόδιστον. νῦν δὲ μή σε λανθανέτω. 8C 40 τοῦτο οὐκ ἔστι σόν. ἀλλὰ πηλὸς κομψῶς πεφυραμένος. ἐπεὶ δὲ τοῦτο οὐκ ἠδυνάμην, ἔδωκα μέν σοι μέρος τι ἡμέτερον, τὴν δύναμιν ταύτην τὴν ὁρμητικήν τε, καὶ ἀφορμητικήν. καὶ ὀρεκτικήν τε, καὶ ἐκκλιτικήν. καὶ ἁπλῶς τὴν χρηστικὴν ταῖς φαντασίαις. ἧς ἐπιμελούμενος, καὶ ἐν ᾗ τὰ σαυτοῦ τιθέμενος οὐδέποτε κωλυθήσῃ. οὐδέποτ' ἐμποδισθήσῃ. οὐ στενάξεις. οὐ μέμψῃ. οὐ κολακεύσεις οὐδένα. τί οὖν;

ἡμῖν

Z E

χρηστικὴν ταῖς φαντασίαις



ὁρμητική / ἀφορμητική — Contraria

ὀρεκτική / ἐκκλιτική — Contraria

μήτι μικρά σοι φαίνεται ταῦτα; μὴ γένοιτο. ἀρκοῦ οὖν αὐτοῖς, εὔχου δὲ τοῖς θεοῖς. νῦν δ' ἑνὸς δυνάμενοι ἑνὸς ἐπιμελεῖσθαι, καὶ ἑνὶ προσηρτηκέναι ἑαυτούς, μᾶλλον θέλομεν πολλῶν ἐπιμελεῖσθαι καὶ πολλοῖς προσδεδέσθαι, καὶ τῷ σώματι, καὶ τῇ κτήσει, καὶ ἀδελφῷ, καὶ φίλῳ, καὶ τέκνῳ, καὶ δούλῳ. ἅτε οὖν πολλοῖς προσδεδεμένοι, βαρούμεθα ὑπ' αὐτῶν καὶ καθελκόμεθα. διατοῦτο ἂν ἄπλοια ᾖ καθήμεθα σπώμενοι, καὶ παρακύπτομεν συνεχῶς, τίς ἄνεμος πνεῖ. βορέας; τί ἡμῖν καὶ αὐτῷ. πότε ὁ ζέφυρος πνεύσει. ὅταν αὐτῷ δόξῃ ὦ βέλτιστε, ἢ τῷ αἰόλῳ. σὲ γὰρ οὐκ ἐποίησεν ὁ θεὸς ταμίαν τῶν ἀνέμων. ἀλλὰ τὸν αἴολον. τί οὖν δεῖ; τὰ ἐφ' ἡμῖν βέλτιστα κατασκευάζειν. τοῖς δ' ἄλλοις χρῆσθαι ὡς πέφυκε. πῶς οὖν πέφυκεν; ὡς ἂν ὁ θεὸς θέλῃ. ἐμὲ οὖν νῦν τραχηλοκοπεῖσθαι μόνον; τί οὖν, ἤθελες πάντας τραχηλοκοπηθῆναι, ἵνα σὺ παραμυθίαν ἔχῃς; οὐ θέλεις οὕτως ἐκτεῖναι τὸν τράχηλον, ὡς λατεράνος τις ἐν τῇ ῥώμῃ κελευσθεὶς ὑπὸ τοῦ νέρωνος ἀποκεφαλισθῆναι; ἐκτείνας γὰρ τὸν τράχηλον καὶ πληγείς, καὶ πρὸς αὐτὴν τὴν πληγὴν ἀσθενῆ γενομένην ἐπ' ὀλίγον συνελκυσθείς, πάλιν ἐξέτεινεν. ἀλλὰ καὶ ἔτι πρότερον, προσελθόντι ἐπαφροδίτῳ τῷ ἀπελευθέρῳ τοῦ νέρωνος, καὶ ἀνακρίνοντι αὐτὸν ὑπὲρ τοῦ συγκρουσθῆναι, ἄν τι θέλω φησὶν, ἐρῶ σου τῷ κυρίῳ. τί

ἄπλοια innavigatio

Lateranus

Nero

Epaphroditus

τραχηλοκοπεῖσθαι
ἀνακρίνοντι
συγκρουσθῆναι



οὖν δεῖ πρόχειρον ἔχειν ἐν τοῖς τοιούτοις; τί γὰρ ἄλλο, ἢ τί ἐμὸν καὶ τί οὐκ ἐμόν. καὶ τί μοι ἔξεστι, καὶ τί μοι οὐκ ἔξεστιν. ἀποθανεῖν με δεῖ. μή τι οὖν καὶ στένοντα; δεθῆναι. μή τι καὶ θρηνοῦντα; φυγαδευθῆναι. μή τις οὖν κωλύει γελῶντα, καὶ εὐθυμοῦντα, καὶ εὐροοῦντα; εἰπὲ τὰ ἀπόρρητα. οὐ λέγω. τοῦτο γὰρ ἐπ' ἐμοί ἐστιν. ἀλλὰ δήσω σε. ἄνθρωπε τί λέγεις. ἐμέ; τὸ σκέλος μου δήσεις, τὴν προαίρεσιν δὲ οὐδ' ὁ ζεὺς νικῆσαι δύναται. εἰς φυλακὴν σε βαλῶ. τὸ σωμάτιον. ἀποκεφαλίσω σου. πότε οὖν σοι εἶπον, ὅτι μόνου ἐμοῦ ὁ τράχηλος ἀναπότμητός ἐστι; ταῦτα ἔδει μελετᾶν τοὺς φιλοσοφοῦντας. ταῦτα καθημέραν γράφειν. ἐν τούτοις γυμνάζεσθαι. θρασέας εἰώθει λέγειν. σήμερον ἀναιρεθῆναι θέλω μᾶλλον, ἢ αὔριον φυγαδευθῆναι. τί οὖν αὐτῷ ῥοῦφος εἶπεν; εἰ μὲν ὡς βαρύτερον ἐκλέγῃ, τίς ἡ μωρία τῆς ἐκλογῆς; εἰ δ' ὡς κουφότερον, τίς σοι δέδωκεν; οὐ θέλεις μελετᾶν ἀρκεῖσθαι τῷ δεδομένῳ; διατοῦτο γὰρ ἀγριππῖνος τί ἔλεγεν; ὅτι ἐγὼ ἐμαυτῷ ἐμπόδιος οὐ γίνομαι. ἀπηγγέλη αὐτῷ ὅτι κρίνῃ ἐν συγκλήτῳ. ἀγαθῇ τύχῃ. ἀλλὰ ἦλθεν ἡ πέμπτη. ταύτῃ δ' εἰώθει γυμνασάμενος ψυχρολουτρεῖν. ἀπέλθωμεν καὶ γυμνασθῶμεν. γυμνασαμένῳ λέγει τις αὐτῷ. ἐλθὼν ὅτι κατακέκρισαι. φυγῇ φησιν, ἢ θανάτῳ; φυγῇ. τὰ ὑπάρχοντα, τί; οὐκ ἀφῃρέθη. εἰς ἀρίκειαν οὖν ἀπελθόντες ἀρι

10C

A2

Thraseas

Ruffus

Agrippinus

Aricia

στήσομαι. τοῦτ' ἔστι, μεμελετηκέναι ἃ δεῖ μελετᾶν. ὄρεξιν, ἔκκλισιν, ἀκώλυτα, ἀπερίπτωτα παρεσκευακέναι. ἀποθανεῖν με δεῖ. εἰ ἤδη, ἀποθνήσκω. κἂν μετ' ὀλίγον, νῦν ἀριστῶ τῆς ὥρας ἐλθούσης, εἶτα τότε τεθνήξομαι. πῶς; ὡς προσήκει τὸν τὰ ἀλλότρια ἀποδιδόντα.

β.

Πῶς ἄν τις σώζοιτο κατὰ τὸ πρόσωπον ἐν παντί.

Τῷ λογικῷ ζώῳ μόνον ἀφόρητόν ἐστι τὸ ἄλογον. τὸ δ' εὔλογον, φορητόν. πληγαὶ οὐκ εἰσὶν ἀφόρητοι τῇ φύσει. τίνα τρόπον; ὅρα πῶς. Λακεδαιμόνιοι μαστιγοῦνται, μαθόντες ὅτι εὔλογόν ἐστι. τὸ δ' ἀπάγξασθαι, οὐκ ἔστιν ἀφόρητον. ὅταν γοῦν μάθῃ τις ὅτι εὔλογον, ἀπελθὼν ἀπήγξατο. ἁπλῶς ἐὰν προσέχωμεν, ὑπ' οὐδενὸς οὕτως εὑρήσομεν τὸ ζῷον θλιβόμενον, ὡς ἀπὸ τοῦ ἀλόγου. καὶ πάλιν ἐπ' οὐδὲν οὕτως ἑλκόμενον, ὡς ἐπὶ τὸ εὔλογον. ἄλλῳ δ' ἄλλο προσπίπτει τὸ εὔλογον καὶ τὸ ἄλογον. καθάπερ καὶ ἀγαθὸν καὶ κακὸν, ἄλλῳ ἄλλο. καὶ συμφέρον καὶ ἀσύμφορον. διὰ τοῦτο μάλιστα παιδείας δεόμεθα, ὥστε μαθεῖν τὴν τοῦ εὐλόγου καὶ ἀλόγου πρόληψιν ταῖς ἐπὶ μέρος οὐσίαις ἐφαρμόζειν συμφώνως τῇ φύσει. εἰς δὲ τὴν τοῦ εὐλόγου καὶ ἀλόγου κρίσιν, οὐ μόνον ταῖς τῶν ἐκτὸς ἀξίαις συγχρώμεθα, ἀλλὰ καὶ τῷ κατὰ τὸ πρόσωπον ἑαυτοῦ ἕκαστος. τῷ μὲν γάρ τινι εὔλογον, τὸ ἀμίδα παρακρατεῖν, αὐτὸ μόνον βλέποντι, ὅτι μὴ παρακρατήσας μὲν, πληγὰς λήψεται καὶ τροφὰς οὐ λήψεται. παρακρατήσας δ' οὐ πείσεταί τι τραχὺ, ἢ ἀνιαρόν. ἄλλῳ δέ τινι οὐ μόνον τὸ αὐτὸν παρακρατῆσαι ἀφόρητον δοκεῖ, ἀλλὰ καὶ τὸ ἄλλου παρακρατοῦντος ἀνασχέσθαι. ἂν οὖν μου πυνθάνῃ, παρακρατήσω τὴν ἀμίδα ἢ μὴ, ἐρῶ σοι ὅτι μείζονα ἀξίαν ἔχει τὸ λαβεῖν τροφὰς, τοῦ μὴ λαβεῖν. καὶ μείζονα ἀπαξίαν τὸ δαρῆναι. ὥστ' εἰ τούτοις παραμετρεῖς τὰ σαυτοῦ, ἀπελθὼν παρακράτει. ἀλλ' οὐκ ἂν κατ' ἐμέ. τοῦτο σὲ δεῖ συνεισφέρειν εἰς τὴν σκέψιν, οὐκ ἐμέ. σὺ γὰρ εἶ ὁ σαυτὸν εἰδὼς πόσου ἄξιος εἶ σεαυτῷ. καὶ πόσου σεαυτὸν πιπράσκεις. ἄλλοι γὰρ ἄλλων πιπράσκουσι. διὰ τοῦτο Ἀγριππῖνος Φλώρῳ σκεπτομένῳ, εἰ καταβατέον αὐτῷ ἐστὶν εἰς Νέρωνος θεωρίας ὥστε καὶ αὐτόν τι λειτουργῆσαι, ἔφη. κατάβηθι. πυθομένου δ' αὐτοῦ διατί σὺ οὐ καταβαίνεις, ἔφη ὅτι ἐγὼ οὐδὲ βουλεύομαι. ὁ γὰρ ἅπαξ εἰς τὴν περὶ τῶν τοιούτων σκέψιν καθεὶς καὶ τὰς τῶν ἐκτὸς ἀξίας συγκαθεὶς καὶ ψηφίζων, ἐγγύς ἐστι τῶν ἐπιλελησμένων τοῦ ἰδίου προσώπου. τί γάρ μου πυνθάνῃ, θάνατος αἱρετώτερόν ἐστιν ἢ ζωή; λέγω ζωή. πόνος ἢ ἡδονή; λέγω ἡδονή. ἀλλ' ἂν μὴ τραγῳδήσω, τραχηλοκοπηθήσομαι. ἄπελθε τοίνυν καὶ τραγῴδει. ἐγὼ δ' οὐ τραγῳδήσω. διατί; ὅτι σὺ σεαυτὸν ἡγῇ μίαν τινὰ εἶναι κρόκην τῶν ἐκ τοῦ χιτῶνος. τί οὖν σε ἔδει φροντίζειν; πῶς ἂν

ὅμοιος εἶναι τοῖς ἄλλοις ἀνθρώποις· ὥσπερ οὐδ' ἡ κρόκη πρὸς τὰς ἄλλας κρόκας θέλει τι ἔχειν ἐξαίρετον. ἐγὼ δὲ πορφύρα εἶναι βούλομαι· τὸ ὀλίγον ἐκεῖνο, καὶ στιλπνὸν, καὶ τοῖς ἄλλοις αἴτιον τοῦ εὐπρεπῆ φαίνεσθαι καὶ καλά. τί οὖν μοι λέγεις ὅτι ἐξομοιώθητι τοῖς πολλοῖς. καὶ πῶς ἔτι πορφύρα ἔσομαι; ταῦτα εἶδε καὶ πρίσκος ἐλβίδιος, καὶ ἰδὼν ἐποίησε, προσπέμψαντος γὰρ αὐτῷ οὐεσπεσιανοῦ ἵνα μὴ εἰσέλθῃ εἰς τὴν σύγκλητον, ἀπεκρίνατο ἐπὶ σοί ἐστι μὴ ἐᾶσαί με εἶναι συγκλητικόν· μέχρι δ' ἂν ὦ, δεῖ με εἰσέρχεσθαι. ἄγε ἀλλ' εἰσελθὼν φησί, σιώπησον. μή μ' ἐξέταζε, καὶ σιωπήσω. ἀλλὰ δεῖ με ἐξετάσαι. κἀμὲ εἰπεῖν τὸ φαινόμενον δίκαιον. ἀλλ' ἐὰν εἴπῃς ἀποκτενῶ σε. πότε οὖν σοι εἶπον ὅτι ἀθάνατός εἰμι. καὶ σὺ τὸ σὸν ποιήσεις, κἀγὼ τὸ ἐμόν. σόν ἐστιν ἀποκτεῖναι, ἐμὸν ἀποθανεῖν μὴ φέμοντα. σὸν φυγαδεῦσαι, ἐμὸν ἐξελθεῖν μὴ λυπούμενον. τί οὖν ὠφέλησε πρίσκος εἷς ὤν; τί δ' ὠφελεῖ ἡ πορφύρα τὸ ἱμάτιον; τί γὰρ ἄλλο ἢ διαπρέπει ἐν αὐτῷ ὡς πορφύρα, καὶ τοῖς ἄλλοις δὲ καλὸν παράδειγμα ἔκκειται. ἄλλος δ' ἂν εἰπόντος αὐτῷ καίσαρος ἐν τοιαύτῃ περιστάσει μὴ ἐλθεῖν εἰς σύγκλητον, εἶπεν· ἔχω σοι χάριν ὅτι μου φείδῃ. τὸν τοιοῦτον οὐδ' ἂν ἐκώλυεν εἰσελθεῖν· ἀλλ' ᾔδει ὅτι ἢ καθεδεῖται ὡς κεράμιον, ἢ λέγων ἐρεῖ ἃ οἶδεν ὅτι ὁ καῖσαρ θέλει· καὶ προσεπισωρεύσει ἔτι πλείονα.

Priscus Elvidius Vespasianus

44

14 C

Caesar

K



Τοῦτον τὸν τρόπον, καὶ ἀθλητής τις κινδυνεύων ἀποθανεῖν, εἰ μὴ ἀπεκόπη τὸ αἰδοῖον, ἐπελθόντος αὐτῷ τοῦ ἀδελφοῦ (ἦν δ' ἐκεῖνος φιλόσοφος) καὶ εἰπόντος, ἄγε ἀδελφὲ τί μέλλεις ποιεῖν; ἀποκόπτωμεν τοῦτο τὸ μέρος, καὶ ἔτι εἰς γυμνάσιον ἀπερχόμεθα, οὐχ ὑπέμεινεν, ἀλλ' ἐγκαρτερήσας ἀπέθανε. πυνθανομένου δέ τινος πῶς τοῦτο ἐποίησεν; ὡς ἀθλητὴς ἢ ὡς φιλόσοφος, ἀνὴρ ἔφη, ἀνὴρ δ' ὀλύμπια κεκηρυγμένος καὶ ἠγωνισμένος, ἐν τοιαύτῃ τινὶ χώρᾳ ἀνεστραμμένος, οὐχὶ παρὰ τῷ βάτῳ ἀλειφόμενος. ἄλλος δὲ καὶ τὸν τράχηλον ἀπετμήθη, εἰ ζῆν ἠδύνατο δίχα τοῦ τραχήλου. τοιοῦτόν ἐστι τὸ κατὰ πρόσωπον, οὕτως ἰσχυρὸν παρὰ τοῖς εἰθισμένοις αὐτὸ συνεισφέρειν ἐξ αὐτῶν ἐν ταῖς σκέψεσιν. ἄγε οὖν ἐπίκτητε διαξύρησαι. ἂν ᾖ φιλόσοφος, λέγω οὐ διαξυρῶμαι. ἀλλ' ἀφελῶ σου τὸν τράχηλον. εἰ σοὶ ἄμεινον, ἄφελε. ἐπύθετό τις. πόθεν οὖν αἰσθησόμεθα τοῦ κατὰ πρόσωπον ἕκαστος. πόθεν δ' ὁ ταῦρος ἔφη λέοντος ἐπελθόντος μόνος αἰσθάνεται τῆς αὐτοῦ παρασκευῆς, καὶ προβέβληκεν ἑαυτὸν ὑπὲρ τῆς ἀγέλης. ἢ δῆλον ὅτι εὐθὺς ἅμα τῷ τὴν παρασκευὴν ἔχειν, ἀπαντᾷ καὶ συναίσθησις αὐτῆς. καὶ ἡμῶν τοίνυν ὅστις ἂν ἔχοι τοιαύτην παρασκευήν, οὐκ ἀγνοήσει αὐτήν. ἄφνω δὲ ταῦρος οὐ γίνεται, οὐδὲ γενναῖος ἄνθρωπος· ἀλλὰ δεῖ χειμασκῆσαι, παρασκευάσασθαι, καὶ μὴ εἰκῆ προσπηδᾶν ἐπὶ τὰ μὴ

Βάτῳ

45

15 C

αἰσθάνεται

ἄφνω ταῦρος οὐ γίνε[ται]

δὲν προσήκοντα. μόνον σκέψαι πόσου πωλεῖς τὴν σεαυτοῦ προαίρεσιν ἄνθρωπε. εἰ μηδὲν ἄλλο, μὴ ὀλίγου αὐτὴν πωλήσῃς. τὸ δὲ μέγα καὶ ἐξαίρετον, ἄλλοις τάχα προσήκει, σωκράτει καὶ τοῖς τοιούτοις. διατί οὖν εἰ μὲν τοιοῦτοι πεφύκαμεν, οὐ πάντες ἢ πολλοὶ γίνονται τοιοῦτοι. ἵπποι γὰρ ὠκεῖς ἅπαντες γίνονται. κύνες γὰρ ἰχνευτικοὶ πάντες; τί οὖν ἐπειδὴ ἀφυής εἰμι, ἀπόστω τῆς ἐπιμελείας τούτου ἕνεκα; μὴ γένοιτο. ἐπίκτητος κρείσσων σωκράτους οὐκ ἔστιν. εἰ δὲ μή, οὐ χείρων, τοῦτό μοι ἱκανόν ἐστιν. οὐδὲ γὰρ μίλων ἔσομαι, καὶ ὅμως οὐκ ἀμελῶ τοῦ σώματος. οὐδὲ κροῖσος, καὶ ὅμως οὐκ ἀμελῶ τῆς κτήσεως. οὐδ' ἁπλῶς ἄλλου τινὸς τῆς ἐπιμελείας, διὰ τὴν ἀπόγνωσιν τῶν ἄκρων, ἀφιστάμεθα.

48 16C Milon Socrates Croesus

### Πῶς ἄν τις ἀπὸ τοῦ τὸν θεὸν πατέρα εἶναι τῶν ἀνθρώπων, ἐπὶ τὰ ἑξῆς ἐπέλθοι. γ.

Εἴ τις τῷ δόγματι τούτῳ συμπαθῆσαι κατ' ἀξίαν δύναιτο, ὅτι γεγόναμεν ὑπὸ τοῦ θεοῦ πάντες προηγουμένως, καὶ ὁ θεὸς πατήρ ἐστι τῶν τ' ἀνθρώπων καὶ τῶν θεῶν, οἶμαι ὅτι οὐδὲν ἀγεννὲς οὐδὲ ταπεινὸν ἐνθυμηθήσεται περὶ ἑαυτοῦ. ἀλλ' ἂν μὲν καῖσαρ εἰσποιήσηταί σε, οὐδείς σου τὴν ὀφρὺν βαστάσει. ἂν δὲ γνῷς ὅτι τοῦ διὸς υἱὸς εἶ, οὐκ ἐπαρθήσῃ; νῦν δ' οὐ ποιοῦμεν. ἀλλ' ἐπειδὴ δύο ταῦτα ἐν τῇ γενέσει ἡμῶν ἐγκαταμέμικται, τὸ σῶμα μὲν κοινὸν πρὸς τὰ ζῷα. ὁ λόγος δὲ

οὐδείς σου τὴν ὀφρὺν βαστάσει



καὶ ἡ γνώμη κοινὸν πρὸς τοὺς θεούς, ἄλλοι μὲν ἐπὶ ταύτην ἀποκλίνουσι τὴν συγγένειαν τὴν ἀτυχῆ καὶ νεκράν. ὀλίγοι δέ τινες ἐπὶ τὴν θείαν καὶ μακαρίαν. ἐπειδὴ τοίνυν ἀνάγκη πάντα ὁντινοῦν οὕτως ἑκάστῳ χρῆσθαι, ὡς ἂν περὶ αὐτοῦ ὑπολάβῃ, ἐκεῖνοι μὲν οἱ ὀλίγοι, ὅσοι πρὸς πίστιν οἴονται γεγονέναι καὶ πρὸς αἰδῶ καὶ πρὸς ἀσφάλειαν τῆς χρήσεως τῶν φαντασιῶν, οὐδὲν ταπεινὸν οὐδ' ἀγεννὲς ἐνθυμοῦνται περὶ αὑτῶν. οἱ δὲ πολλοί, τἀναντία. τί γάρ εἰμι; ταλαίπωρον ἀνθρωπάριον. καὶ τὰ δύστηνά μου σαρκίδια. τῷ μὲν ὄντι δύστηνα. ἀλλὰ ἔχεις τι καὶ κρεῖσσον τῶν σαρκιδίων. τί οὖν ἀφεὶς ἐκεῖνο, τούτοις προστέτηκας. διὰ ταύτην τὴν συγγένειαν. οἱ μὲν ἀποκλίναντες, λύκοις ὅμοιοι γινόμεθα. ἄπιστοι καὶ ἐπίβουλοι καὶ βλαβεροί. οἱ δὲ λέουσιν ἄγριοι καὶ θηριώδεις καὶ ἀνήμεροι. οἱ πλείους δ' ἡμῶν ἀλώπεκες. καὶ ὡς ἐν ζῴοις, ἀτυχήματα. τί γάρ ἐστιν ἄλλο λοίδορος καὶ κακοήθης ἄνθρωπος, ἢ ἀλώπηξ. ἤ τι ἄλλο ἀτυχέστερον καὶ ταπεινότερον. ὁρᾶτε οὖν καὶ προσέχετε μή τι τούτων ἀποβῆτε τῶν ἀτυχημάτων.

49

### Περὶ προκοπῆς. δ.

Ὁ προκόπτων, μεμαθηκὼς παρὰ τῶν φιλοσόφων, ὅτι ἡ μὲν ὄρεξις ἀγαθῶν ἐστιν, ἡ δ' ἔκκλισις πρὸς κακά, μεμαθηκὼς δὲ καὶ ὅτι

50 2D

ὄρεξις ἀγαθῶν

ἔκκλισις πρὸς τὰ κακά.

οὐκ ἄλλως τὸ εὔρουν, καὶ ἀπαθὲς περιγίνεται τῷ ἀνθρώπῳ ἢ ἐν ὀρέξει μὲν μὴ ἀποτυγχάνοντι. ἐν ἐκκλίσει δὲ μὴ περιπίπτοντι, τὴν μὲν ὄρεξιν ἦρκεν ἐξ αὐτοῦ εἰς ἅπαν καὶ ὑπερτέθειται. τῇ ἐκκλίσει δὲ πρὸς μόνα χρῆται τὰ προαιρετικά. τῶν γὰρ ἀπροαιρέτων ἄν τι ἐκκλίνῃ, οἶδεν ὅτι περιπεσεῖταί ποτε τινὶ παρὰ τὴν ἔκκλισιν τὴν αὐτοῦ καὶ δυστυχήσει. εἰ δ' ἡ ἀρετὴ ταύτην ἔχει τὴν ἐπαγγελίαν, εὐδαιμονίαν ποιῆσαι, καὶ ἀπάθειαν, καὶ εὔροιαν, πάντως καὶ ἡ προκοπὴ ἡ πρὸς αὐτὴν, πρὸς ἕκαστον τούτων ἐστὶ προκοπή. ἀεὶ γὰρ πρὸς ὃ ἂν ἡ τελειότης τινὸς καθάπαξ ἄγῃ, πρὸς αὐτὸ ἡ προκοπὴ συνεγγισμός ἐστι. πῶς οὖν τὴν μὲν ἀρετὴν τοιοῦτόν τι ὁμολογοῦμεν, τὴν προκοπὴν δ' ἐν ἄλλοις ζητοῦμεν καὶ ἐπιδείκνυμεν; τί ἔργον ἀρετῆς; εὔροια. τίς οὖν προκόπτει; ὁ πολλὰς Χρυσίππου συντάξεις ἀνεγνωκώς; μὴ γὰρ ἡ ἀρετὴ τοῦτ' ἐστὶ Χρύσιππον ἀνεγνωκέναι; εἰ γὰρ τοῦτ' ἐστὶν, ὁμολογουμένως ἡ προκοπὴ οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ πολλὰ τῶν Χρυσίππου νοεῖν. νῦν δ' ἄλλο μέν τι τὴν ἀρετὴν ἀποφέρειν ὁμολογοῦμεν, ἄλλο δὲ τὸν συνεγγισμὸν, τὴν προκοπὴν ἀποφαίνομεν. οὗτός φησιν ἤδη καὶ δι' αὐτοῦ δύναται Χρύσιππον ἀναγνῶσαι. εὖ νὴ τοὺς θεοὺς, προκόπτεις ἄνθρωπε. ποίαν προκοπήν; τί ἐμπαίζεις αὐτῷ; τί δ' ἀπάγεις αὐτὸν τῆς συναισθήσεως τῶν αὐτοῦ κακῶν; οὐ θέλεις δεῖξαι αὐτῷ



τὸ ἔργον τῆς ἀρετῆς ἵνα μάθῃ ποῦ τὴν προκοπὴν ζητῇ; ἐκεῖ ζήτησον αὐτὴν ταλαίπωρε, ὅπου σου τὸ ἔργον. ποῦ δέ σου τὸ ἔργον; ἐν ὀρέξει καὶ ἐκκλίσει, ἵν' ἀναπότευκτος ᾖς καὶ ἀπερίπτωτος, ἐν ὁρμαῖς, καὶ ἀφορμαῖς, ἵν' ἀναμάρτητος. ἐν προθέσει καὶ ἐποχῇ, ἵν' ἀνεξαπάτητος. πρῶτοι δ' εἰσὶν οἱ πρῶτοι τόποι καὶ ἀναγκαιότατοι. ἂν δὲ τρέμων, καὶ πενθῶν ζητῇς ἀπερίπτωτος εἶναι, ἀλλὰ οὔπω προκόπτεις; σὺ οὖν ἐνταῦθά μοι δεῖξόν σου τὴν προκοπήν. καθάπερ εἰ ἀθλητῇ διελεγόμην, δεῖξόν μοι τοὺς ὤμους, εἶτα ἔλεγεν ἐκεῖνος, ἴδε μου τοὺς ἁλτῆρας. ὄψει σὺ καὶ οἱ ἁλτῆρες, ἐγὼ τὸ ἀποτέλεσμα τῶν ἁλτήρων ἰδεῖν βούλομαι. λάβε τὴν περὶ ὁρμῆς σύνταξιν, καὶ γνῶθι πῶς αὐτὴν ἀνέγνωκα. ἀνδράποδον. οὐ τοῦτο ζητῶ. ἀλλὰ πῶς ὁρμᾷς καὶ ἀφορμᾷς. πῶς ὀρέγῃ καὶ ἐκκλίνεις. πῶς ἐπιβάλλεις καὶ προτίθεσαι καὶ παρασκευάζῃ. πότερα συμφώνως τῇ φύσει, ἢ ἀσυμφώνως. εἰ μὲν γὰρ συμφώνως, ταῦτά μοι δείκνυε. καὶ ἐρῶ σοι ὅτι προκόπτεις. εἰ δ' ἀσυμφώνως, ἄπελθε, καὶ μὴ μόνον ἐξηγοῦ τὰ βιβλία, ἀλλὰ καὶ γράφε αὐτὸς τοιαῦτα. καὶ τί σοι ὄφελος. οὐκ οἶδας ὅτι ὅλον τὸ βιβλίον πέντε δηναρίων ἐστίν; ὁ οὖν ἐξηγούμενος αὐτὸ δοκεῖ ὅτι πλείονος ἄξιός ἐστιν ἢ πέντε δηναρίων; μηδέποτε οὖν ἀλλαχοῦ τὸ ἔργον ζητεῖτε, ἀλλαχοῦ τὴν προκοπήν. ποῦ οὖν προκοπή; εἴ τις ὑμῶν ἀποστὰς τῶν ἐκτὸς, ἐπὶ τὴν προαίρεσιν ἐπέ-

ἔστραπται τὴν ἑαυτοῦ, ταύτην ἐξεργάζεσθαι καὶ ἐκπονεῖν, ὥστε σύμφωνον ἀποτελέσαι τῇ φύσει. ὑψηλὴν· ἐλευθέραν· ἀκώλυτον· ἀνεμπόδιστον· πιστὴν, αἰδήμονα. μεμάθηκέ τε ὅτι ὁ τὰ μὴ ἐφ᾽ αὑτῷ ποθῶν ἢ φεύγων, οὔτε πιστὸς εἶναι δύναται, οὔτ᾽ ἐλεύθερος· ἀλλ᾽ ἀνάγκη μεταπίπτειν καὶ μεταρριπίζεσθαι ἅμα ἐκείνοις καὶ αὐτόν. ἀνάγκη δὲ καὶ ὑποτεταχέναι ἄλλοις ἑαυτόν, τοῖς ἐκεῖνα περιποιεῖν ἢ κωλύειν δυναμένοις καὶ λοιπὸν ἕωθεν ἀνιστάμενος, ταῦτα τηρεῖ καὶ φυλάσσει. λούεται. ὡς πιστός. ὡς αἰδήμων ἐσθίει ὡσαύτως. ἐπὶ τῆς ἀεὶ παραπιπτούσης ὕλης τὰ προηγούμενα ἐκπονῶν. ὡς ὁ δρομεὺς δρομικῶς. καὶ ὁ φωνασκὸς φωνασκικῶς. οὗτός ἐστιν ὁ προκόπτων ταῖς ἀληθείαις. καὶ ὁ μὴ εἰκῇ ἀποδεδημηκώς, οὗτός ἐστιν. εἰ δ᾽ ἐπὶ τὴν ἐν τοῖς βιβλίοις ἕξιν τέταται, καὶ ταύτην ἐκπονεῖ, καὶ ἐπὶ τοῦτο ἐκδεδήμηκε, λέγω αὐτῷ αὐτόθεν πορεύεσθαι εἰς οἶκον καὶ μὴ ἀμελεῖν τῶν ἐκεῖ. τοῦτο γὰρ ἐφ᾽ ὃ ἀποδεδήμηκεν, οὐδέν ἐστιν. ἀλλ᾽ ἐκεῖνο μελετᾶν ἐξελεῖν τοῦ αὐτοῦ βίου πένθη καὶ οἰμωγάς. καὶ οἴμοι. καὶ τὸ τάλας ἐγώ. καὶ δυστυχίαν καὶ ἀτυχίαν. καὶ μαθεῖν τί ἐστι θάνατος. τί φυγή. τί δεσμωτήριον. τί τὸ κώνειον ἵνα δύνηται λέγειν ἐν τῇ φυλακῇ. ὦ φίλε κρίτων εἰ ταύτῃ τοῖς θεοῖς φίλον ταύτῃ γινέσθω. καὶ μὴ ἐκεῖνα. τάλας ἐγώ. γέρων. ἐπὶ ταῦτά μου τὰς πολιὰς ἐτήρησα; τίς λέγει ταῦτα. δοκεῖτε ὅτι ὑμῖν



ἄδοξόν τινα ἐρῶ καὶ ταπεινόν; πρίαμος αὐτὰ οὐ λέγει ἀλλ᾽ ὅσοι βασιλεῖς λέγουσι. τί γὰρ ἄλλο ἐστὶ τραγῳδία ἢ ἀνθρώπων πάθη. τεθαυμακότων τὰ ἐκτὸς διὰ μέτρου τοιοῦδ᾽ ἐπιδεικνύμενα. εἰ γὰρ ἐξαπατηθέντα τινὰ ἔδει μαθεῖν ὅτι τῶν ἐκτὸς ἀπροαιρέτων οὐδέν ἐστι πρὸς ἡμᾶς, ἐγὼ μὲν ἤθελον τὴν ἀπάτην ταύτην. ἐξ ἧς ἤμελλον εὐρόως καὶ ἀταράχως βιώσεσθαι. ὑμεῖς δ᾽ ὄψεσθε αὐτοί, τί θέλετε. τί οὖν ἡμῖν παρέχει χρύσιππος. ἵνα γνῷς φησὶν ὅτι οὐ ψευδῆ ταῦτά ἐστιν, ἐξ ὧν ἡ εὔροιά ἐστι. καὶ ἀπάθεια ἀπαντᾷ. λάβε μου τὰ βιβλία, καὶ γνώσῃ ὡς ἀληθῆ καὶ σύμφωνά ἐστι τῇ φύσει, τὰ ἀπαθῆ με ποιοῦντα. ὢ μεγάλης εὐτυχίας. ὢ μεγάλου εὐεργέτου τοῦ δεικνύοντος τὴν ὁδόν. εἶτα τριπτολέμῳ μὲν ἱερὰ καὶ βωμοὺς πάντες ἄνθρωποι ἀνεστάκασιν, ὅτι τὰς ἡμέρους τροφὰς ἡμῖν ἔδωκε, τῷ δὲ τὴν ἀλήθειαν εὑρόντι καὶ φωτίσαντι καὶ εἰς πάντας ἀνθρώπους ἐξενεγκόντι. οὐ τὴν περὶ τὸ ζῆν, ἀλλὰ τὴν πρὸς τὸ εὖ ζῆν, τίς ὑμῶν ἐπὶ τούτῳ βωμὸν ἱδρύσατο; ἢ ναόν; ἢ ἄγαλμα ἀνέθηκεν ἢ τὸν θεὸν ἐπὶ τούτῳ προσκυνεῖ; ἀλλ᾽ ὅτι μὲν ἄμπελον ἔδωκεν ἢ πυρούς, ἐπιθύομεν τούτου ἕνεκα, ὅτι δὲ τοιοῦτον ἐξήνεγκαν καρπὸν ἐν ἀνθρωπίνῃ διανοίᾳ δι᾽ οὗ τὴν ἀλήθειαν τὴν περὶ εὐδαιμονίας δείξειν ἡμῖν ἤμελλον, τούτου δ᾽ ἕνεκα οὐκ εὐχαριστήσομεν τῷ θεῷ.

## Πρὸς τοὺς ἀκαδημαϊκούς.

Ἄν τις φησὶν ἐνίστηται πρὸς τὰ λίαν ἐκφανῆ, πρὸς τοῦτον οὐ ῥᾴδιόν ἐστιν εὑρεῖν λόγον, δι' οὗ μεταπείσαι τις αὐτόν. τοῦτο δ' οὔτε παρὰ τὴν ἐκείνου γίνεται δύναμιν, οὔτε παρὰ τὴν τοῦ διδάσκοντος ἀσθένειαν· ἀλλ' ὅταν ἀπαχθεὶς ἀπολιθωθῇ, πῶς ἔτι χρήσεταί τις αὐτῷ διὰ λόγου; ἀπολιθώσεις δ' εἰσὶ διτταί. ἡ μὲν, τοῦ νοητικοῦ ἀπολίθωσις. ἡ δὲ, τοῦ ἐντρεπτικοῦ. ὅταν τις παρατεταγμένος ᾖ, μὴ ἐπινεύειν τοῖς ἐναργέσι· μηδ' ἀπὸ τῶν μαχομένων ἀφίστασθαι. οἱ δὲ πολλοὶ, τὴν μὲν σωματικὴν ἀπονέκρωσιν φοβούμεθα· καὶ πάντα μηχανησαίμεθ' ἂν ὑπὲρ τοῦ μὴ περιπεσεῖν τοιούτῳ τινί. τῆς ψυχῆς δ' ἀπονεκρουμένης, οὐδὲν ἡμῖν μέλει. καὶ νὴ Δία ἐπ' αὐτῆς τῆς ψυχῆς, ἂν μὲν ᾖ οὕτω διακείμενος ὥστε μηδὲν παρακολουθεῖν μηδὲ συνιέναι μηδέν, καὶ τοῦτον κακῶς ἔχειν οἰόμεθα. ἂν δέ τινος τὸ ἐντρεπτικὸν καὶ αἰδῆμον ἀπονεκρωθῇ, τοῦτο ἔτι καὶ δύναμιν καλοῦμεν. καταλαμβάνεις ὅτι ἐγρήγορας; οὔ φησιν. οὐδὲ γὰρ ὅταν ἐν τοῖς ὕπνοις φαντάζωμαι ὅτι ἐγρήγορα. οὐδὲν οὖν διαφέρει αὕτη ἡ φαντασία ἐκείνης. οὐδὲν ἔτι τούτῳ διαλέγομαι. καὶ ποῖον αὐτῷ πῦρ, ἢ ποῖον αὐτῷ σίδηρον προσάγω, ἵν' αἴσθηται ὅτι νενέκρωται. αἰσθανόμενος οὐ προσποιεῖται. ἔτι χείρων ἐστὶ τοῦ νεκροῦ. μάχην οὗτος οὐ συνορᾷ. κακῶς ἔχει μὴ συνορῶν.

οὗτος



οὗτος οὐ κινεῖται οὐδὲ προκόπτει. ἔτι ἀθλιώτερον ἔχει. ἐκτέτμηται τὸ αἰδῆμον αὐτοῦ καὶ ἐντρεπτικόν. καὶ τὸ λογικὸν οὐκ ἀποτέτμηται. ἀλλ' ἀποτεθηρίωται. ταύτην ἐγὼ δύναμιν εἴπω; μὴ γένοιτο. εἰ μὴ καὶ τὴν τῶν κιναίδων. καθ' ἣν πᾶν τὸ ἐπελθὸν, ἐν μέσῳ καὶ ποιοῦσι καὶ λέγουσιν.

## Περὶ προνοίας. ϛʹ.

Ἀφ' ἑκάστου τῶν ἐν τῷ κόσμῳ γινομένων, ῥᾴδιόν ἐστιν ἐγκωμιάσαι τὴν πρόνοιαν, ἂν δύο τις ἔχῃ ταῦτα ἐν ἑαυτῷ, δύναμίν τε συνορατικὴν τῶν γεγονότων ἑκάστῳ, καὶ τὸ εὐχάριστον. εἰ δὲ μή, ὁ μὲν, οὐκ ὄψεται τὴν εὐχρηστίαν τῶν γεγονότων. ὁ δ' οὐκ εὐχαριστήσει ἐπ' αὐτοῖς οὐδέν. εἰ χρώματα ὁ θεὸς πεποιήκει, δύναμιν δὲ θεατικὴν αὐτῶν μὴ πεποιήκει, τί ἂν ἦν ὄφελος; οὐδ' ὁτιοῦν. ἀλλ' ἀνάπαλιν, εἰ τὴν μὲν δύναμιν πεποιήκει. τὰ ὄντα δὲ μὴ τοιαῦτα, οἷα ὑποπίπτειν τῇ δυνάμει τῇ ὁρατικῇ, καὶ οὕτω τί ὄφελος; οὐδ' ὁτιοῦν. τί δ' εἰ καὶ ἀμφότερα ταῦτα πεποιήκει, φῶς δὲ μὴ πεποιήκει; οὐδ' οὕτω τι ὄφελος. τίς οὖν ὁ ἁρμόσας τοῦτο πρὸς ἐκεῖνο, κἀκεῖνο πρὸς τοῦτο. τίς δ' ὁ ἁρμόσας τὴν μάχαιραν πρὸς τὸν κολεὸν, καὶ τὸν κολεὸν πρὸς τὴν μάχαιραν; οὐδείς; καὶ μὴν ἐξ αὐτῆς τῆς κατασκευῆς τῶν ἀποτελεσμένων, ἀποφαίνεσθαι εἰώθαμεν, ὅτι τεχνίτου τινὸς πάντως

τὸ ἔργον οὐχ ὡς εἰκῆ κατεσκευασμένον. ἆρ' οὖν τούτων μὲν ἕκαστον ἐμφαίνει τὸν τεχνίτην, τὰ δ' ὁρατὰ, καὶ ὅρασις καὶ φῶς οὐκ ἐμφαίνει; τὸ δ' ἄῤῥεν καὶ τὸ θῆλυ καὶ ἡ προθυμία πρὸς τὴν συνουσίαν ἑκατέρου, καὶ δύναμις ἡ χρηστικὴ τοῖς μορίοις τοῖς κατεσκευασμένοις, οὐδὲ ταῦτα ἐμφαίνει τὸν τεχνίτην; ἀλλὰ ταῦτα μὲν, ἡ δὲ τοιαύτη τῆς διανοίας κατασκευὴ καθ' ἣν οὐχ ἁπλῶς ὑποπίπτοντες τοῖς αἰσθητοῖς, τυπούμεθα ὑπ' αὐτῶν, ἀλλὰ καὶ ἐκλαμβανόμενοί τι, καὶ ἀφαιροῦμεν. καὶ προστίθεμεν. καὶ συντίθεμεν τάδε τινὰ δι' αὐτῶν. καὶ νὴ δία μεταβαίνομεν ἀπ' ἄλλων εἰς ἄλλα τὰ οὕτω πως παρακείμενα, οὐδὲ ταῦτα ἱκανὰ κινῆσαί τινας, καὶ διατρέψαι πρὸς τὸ μὴ ἀπολιπεῖν τὸν τεχνίτην; ἢ ἐξηγησάσθωσαν ἡμῖν, τί τὸ ποιοῦν ἐστιν ἕκαστον τούτων. ἢ πῶς οἷόν τε τὰ οὕτω θαυμαστὰ καὶ τεχνικὰ, εἰκῆ καὶ ἀπὸ ταυτομάτου γίνεσθαι; τί οὖν ἐφ' ἡμῶν μόνων γίνεται ταῦτα; πολ
58 λὰ μὲν ἐπὶ μόνων, ὧν ἐξαιρέτως χρείαν εἶχε τὸ λο
γικὸν ζῶον. πολλὰ δὲ κοινὰ εὑρήσεις ἡμῖν καὶ πρὸς
10 τὰ ἄλογα. ἆρ' οὖν καὶ παρακολουθεῖ τοῖς γινομένοις ἐκεῖνα; οὐδαμῶς. ἄλλο γάρ ἐστι χρῆσις. καὶ ἄλλο παρακολούθησις. ἐκείνων χρείαν εἶχεν ὁ θεὸς χρωμένων ταῖς φαντασίαις. ἡμῶν δὲ παρακολουθούντων τῇ χρήσει. διατοῦτο. ἐκείνοις μὲν ἀρκεῖ τὸ ἐσθίειν καὶ πίνειν καὶ ἀναπαύεσθαι. καὶ ὀχεύειν. καὶ τἆλλα ὅσ' ἐπιτελεῖ αὐτῶν ἕκαστον. ἡμῖν δ' οἷς καὶ

παρακολουθεῖ
παρακολούθησις



τὴν παρακολουθητικὴν δύναμιν ἔδωκεν, οὐκέτι ταῦτ' ἐπαρκεῖ. ἀλλ' ἂν μὴ κατὰ τρόπον καὶ τεταγμένως. καὶ ἀκολούθως τῇ ἑκάστου φύσει, καὶ κατασκευῇ πράττωμεν, οὐκέτι τοῦ τέλους τευξόμεθα τοῦ ἑαυτῶν. ὧν γὰρ αἱ κατασκευαὶ διάφοροι, τούτων καὶ τὰ ἔργα, καὶ τὰ τέλη. οὗ τοίνυν ἡ κατασκευὴ μόνον χρηστικὴ, τούτῳ χρῆσθαι ὁπωσοῦν ἀπαρκεῖ. οὗ δὲ καὶ παρακολουθητικὴ τῇ χρήσει, τούτῳ τὸ κατὰ τρόπον ἂν μὴ προσῇ, οὐδέποτε τεύξεται τοῦ τέλους. τί οὖν ἐκείνων ἕκαστον κατασκευάζει. τὸ μὲν ὥστ' ἐσθίεσθαι. τὸ δ' ὥστε ὑπηρετεῖν εἰς γεωργίαν. τὸ δ' ὥστε τυρὸν φέρειν. τὸ δ' ἄλλο, ἐπ' ἄλλῃ χρείᾳ παραπλησίῳ. πρὸς ἃ τίς χρεία τοῦ παρακο 59
λουθεῖν ταῖς φαντασίαις, καὶ ταύτας διακρίνειν
δύνασθαι; τὸν δ' ἄνθρωπον θεατὴν εἰσήγαγεν αὐτοῦ 11
τε καὶ τῶν ἔργων τῶν αὐτοῦ. καὶ οὐ μόνον θεατὴν, ἀλλὰ καὶ ἐξηγητὴν αὐτῶν. διατοῦτο αἰσχρόν ἐστι τῷ ἀνθρώπῳ ἄρχεσθαι, καὶ καταλήγειν ὅπου καὶ τὰ ἄλογα. ἀλλὰ μᾶλλον ἔνθεν μὲν ἄρχεσθαι, καταλήγειν δ' ἐφ' ὃ κατέληξεν, ἐφ' ἡμῶν καὶ ἡ φύσις. κατέληξε δ' ἐπὶ θεωρίαν καὶ παρακολούθησιν. καὶ σύμφωνον διεξαγωγὴν τῇ φύσει. ὁρᾶτε οὖν μὴ ἀθέατοι τούτων ἀποθάνητε. ἀλλ' εἰς ὀλυμπίαν μὲν ἀποδημεῖτε, ἵν' ἴδητε τὸ ἔργον τοῦ φειδίου. καὶ ἀτύχημα Phidias
ἕκαστος ὑμῶν οἴεται, τὸ ἀνιστόρητον τούτων ἀποθανεῖν. ὅπου δ' οὐδ' ἀποδημῆσαι χρεία ἐστὶν,

ἀλλ' ἔστιν ἤδη καὶ πάρεστι τοῖς ἔργοις, ταῦτα δὲ θεάσασθαι καὶ κατανοῆσαι; οὐκ ἐπιθυμήσετε; οὐκ αἰσθήσεσθε τοίνυν οὔτε τίνες ἐστὲ οὔτ' ἐπὶ τί γεγόνατε, οὔτ' ἔστι τί τοῦτο ἐφ' ὃ τὴν θέαν παρειλήφατε; ἀλλὰ γίνεταί τινα ἀηδῆ καὶ χαλεπὰ ἐν τῷ βίῳ. ἐν ὀλυμπίᾳ δ' οὐ γίνεται; οὐ καυματίζεσθε; οὐ στενοχωρεῖσθε; οὐ κακῶς λούεσθε; οὐ καταβρέχεσθε ὅταν βρέχῃ; θορύβου δὲ καὶ βοῆς καὶ τῶν ἄλλων χαλεπῶν οὐκ ἀπολαύετε; ἀλλ' οἶμαι ὅτι ταῦτα πάντα ἀντιτιθέντες πρὸς τὸ ἀξιόλογον τῆς θέας, φέρετε καὶ ἀνέχεσθε. ἄγε. δυνάμεις δ' οὐκ εἰλήφατε καθ' ἃς οἴσετε πᾶν τὸ συμβαῖνον; μεγαλοψυχίαν οὐκ εἰλήφατε; ἀνδρείαν οὐκ εἰλήφατε, καθ' ἃς οἴσετε πᾶν τὸ συμβαῖνον; καρτερίαν οὐκ εἰλήφατε; καὶ τί ἔτι μοι μέλει μεγαλοψύχῳ ὄντι τῶν ἀποβῆναι δυναμένων. τί μ' ἐκστήσει ἢ ταράξει. ἢ τί ὀδυνηρὸν φανεῖται. οὐ χρήσομαι τῇ δυνάμει, πρὸς ἃ εἴληφα αὐτήν; ἀλλ' ἐπὶ τοῖς ἀποβαίνουσι πενθήσω, καὶ στενάξω; ναί. ἀλλ' αἱ μύξαι μου ῥέουσι. τίνος οὖν ἕνεκα χεῖρας ἔχεις ἀνδράποδον. οὐχ ἵνα καὶ ἀπομύσσῃς σεαυτόν; τοῦτο οὖν εὔλογον μύξας γίνεσθαι ἐν τῷ κόσμῳ; καὶ πόσῳ κρεῖττον ἀπομύξασθαί σε, ἢ ἐγκαλεῖν; ἢ τί οἴει ὅτι ἡρακλῆς ἂν ἀπέβη, εἰ μὴ λέων τοιοῦτος ἐγένετο, καὶ ὕδρα. καὶ ἔλαφος. καὶ σῦς. καὶ ἄδικοί τινες ἄνθρωποι καὶ θηριώδεις, οὓς



ἐκεῖνος, ἐξήλαυνε καὶ ἐκάθαιρε; καὶ τί ἂν ἐποίει μηδενὸς τοιούτου γεγονότος. ἢ δῆλον ὅτι ἐντετυλιγμένος ἂν ἐκάθευδεν. οὐκοῦν πρῶτον μὲν, οὐκ ἂν ἐγένετο ἡρακλῆς ἐν τρυφῇ τοιαύτῃ καὶ ἡσυχίᾳ, νυστάζων ὅλον τὸν βίον. εἰ δὲ καὶ ἐγένετο. τί ὄφελος αὐτοῦ. τίς δὲ χρῆσις τῶν βραχιόνων τῶν ἐκείνου, καὶ τῆς ἄλλης ἀλκῆς καὶ καρτερίας καὶ γενναιότητος, εἰ μὴ τοιαῦταί τινες αὐτὸν περιστάσεις καὶ ὗλαι διέσειον καὶ ἐγύμναζον; τί οὖν; αὐτῷ ταῦτα σε δεῖ κατασκευάζειν, καὶ ζητεῖν πόθεν λέοντα ἐπαγαγεῖν εἰς τὴν χώραν τὴν αὐτοῦ, καὶ σῦν, καὶ ὕδραν; μωρία τοῦτο καὶ μανία. γενόμενα δὲ καὶ εὑρεθέντα, εὔχρηστα ἦν πρὸς τὸ δεῖξαι καὶ γυμνάσαι τὸν ἡρακλέα. ἄγε οὖν καὶ σὺ τούτων αἰσθόμενος, ἀπόβλεψον εἰς τὰς δυνάμεις, ἃς ἔχεις. καὶ ἀπιδὼν, εἰπέ, φέρε νῦν ὦ ζεῦ ἣν θέλεις, περίστασιν. ἔχω γὰρ παρασκευὴν ἐκ σοῦ μοι δεδομένην, καὶ ἀφορμὰς πρὸς τὸ κοσμῆσαι διὰ τῶν ἀποβαινόντων ἐμαυτόν. οὔ. ἀλλὰ κάθησθε, τὰ μὲν. μὴ συμβῇ. τρέμοντες. τῶν δὲ, συμβαινόντων ἕνεκα ὀδυρόμενοι, καὶ πενθοῦντες, καὶ στένοντες. εἶτα τοῖς θεοῖς ἐγκαλεῖτε, τί γάρ ἐστιν ἄλλο ἀκόλουθον τῇ τοιαύτῃ ἀγεννείᾳ, ἢ καὶ ἀσέβεια. καίτοι ὅ γε θεὸς οὐ μόνον ἔδωκεν ἡμῖν τὰς δυνάμεις ταύτας, καθ' ἃς οἴσομεν πᾶν τὸ ἀποβαῖνον, μὴ ταπεινούμενοι μηδὲ συγκλώμενοι ὑπ' αὐτοῦ,

62 ἀλλ' ὃ ἦν ἀγαθοῦ βασιλέως καὶ ταῖς ἀληθείαις πατρός, ἀκώλυτον τοῦτο ἔδωκεν, ἀνανάγκαστον, ἀπαραπόδιστον, ὅλον αὐτὸ ἐφ' ἡμῖν ἐποίησεν. οὐδ'
14 D αὐτῷ τινὰ πρὸς τοῦτο ἰσχὺν ἀπολιπὼν, ὥστε κωλῦσαι ἢ ἐμποδίσαι. ταῦτα ἔχοντες ἐλεύθερα, καὶ ὑμέτερα, οὐ χρῆσθε αὐτοῖς· οὐδ' αἰσθάνεσθε τίνα εἰλήφατε, καὶ παρὰ τίνος; ἀλλὰ κάθησθε πενθοῦντες, καὶ στένοντες. οἱ μὲν πρὸς αὐτὸν τὸν δόντα ἀποτετυφλωμένοι, μὴ δ' ἐπιγινώσκοντες τὸν εὐεργέτην. οἱ δ' ὑπ' ἀγεννείας εἰς μέμψεις, καὶ τὰ ἐγκλήματα τῷ θεῷ ἐκτρεπόμενοι. καί τοι πρὸς μεγαλοψυχίαν μὲν καὶ ἀνδρείαν ἐγώ σοι δείξω ὅτι ἀφορμὰς, καὶ παρασκευὴν ἔχεις. πρὸς δὲ τὸ μέμφεσθαι καὶ ἐγκαλεῖν, ποίας ἀφορμὰς ἔχεις; σὺ δέ μοι δείκνυε.

### Περὶ τῆς χρείας τῶν μεταπιπτόντων καὶ ὑποθετικῶν καὶ τῶν ὁμοίων. ζ.

Ἡ περὶ τοὺς μεταπίπτοντας καὶ ὑποθετικοὺς, ἔτι δὲ τῷ ἠρωτῆσθαι περαίνοντας, καὶ πάντας ἁπλῶς τοὺς τοιούτους λόγους πραγματεία λανθάνει τοὺς πολλοὺς περὶ καθήκοντος οὖσα. ζητοῦμεν γὰρ ἐπὶ πάσης ὕλης πῶς ἂν εὕροι ὁ καλὸς καὶ ἀγαθὸς τὴν διέξοδον καὶ ἀναστροφὴν
63 / 15 D τὴν ἐν αὐτῇ καθήκουσαν. οὐκοῦν ἢ τοῦτο λεγέτωσαν, ὅτι οὐ συγκαθήκει εἰς ἐρώτησιν καὶ ἀπό-



κρισιν ὁ σπουδαῖος. ἢ ὅτι συγκαθεὶς οὐκ ἐπιμελήσεται τοῦ μὴ εἰκῇ μὴ δ' ὡς ἔτυχεν ἐν ἐρωτήσει καὶ ἀποκρίσει ἀναστρέφεσθαι. μὴ τούτων δὲ μηδέτερον προσδεχομένοις, ἀναγκαῖον ὁμολογεῖν ὅτι ἐπίσκεψίν τινα ποιητέον τῶν τόπων τούτων περὶ οὓς μάλιστα στρέφεται ἐρώτησις καὶ ἀπόκρισις. τί γὰρ ἐπαγγέλλεται. ἐν λόγῳ τἀληθῆ τιθέναι. τὰ ψευδῆ αἴρειν. τὰ ἄδηλα ἐπέχειν. ἆρ' οὖν ἀρκεῖ τοῦτο μόνον μαθεῖν; ἀρκεῖ φησιν. οὐκοῦν καὶ τῷ βουλομένῳ ἐν χρήσει νομίσματος μὴ διαπίπτειν. ἀρκεῖ τοῦτο ἀκοῦσαι. διότι τὰς μὲν δοκίμους δραχμὰς παραδέχου. τὰς δ' ἀδοκίμους ἀποδοκίμαζε. οὐκ ἀρκεῖ. τί οὖν δεῖ τούτῳ προσλαβεῖν. τί γὰρ ἄλλο, ἢ δύναμιν δοκιμαστικήν τε καὶ διακριτικὴν τῶν δοκίμων τε καὶ ἀδοκίμων δραχμῶν; οὐκοῦν καὶ ἐπὶ λόγου οὐκ ἀρκεῖ τὸ λεχθέν. ἀλλ' ἀνάγκη δοκιμαστικὸν γενέσθαι. καὶ διακριτικὸν τοῦ ἀληθοῦς καὶ τοῦ ψευδοῦς καὶ τοῦ ἀδήλου. ἀνάγκη ἐπὶ τούτοις τί παραγγέλλεται. ἐν λόγῳ τὸ ἀκόλουθον τοῖς δοθεῖσιν ὑπὸ σοῦ καλῶς παρα- 64 / 16 D
δέχου. ἄγε. ἀρκεῖ οὖν κἀνταῦθα τοῦτο γνῶναι; οὐκ ἀρκεῖ. δεῖ δὲ μαθεῖν πῶς τί τισιν ἀκόλουθον γίνεται. καὶ πότε μὲν ἐν ἑνὶ ἀκολουθεῖ. πότε δὲ πλείοσι κοινῇ. μή ποτε οὖν καὶ τοῦτο ἀνάγκη προσλαβεῖν τὸν μέλλοντα ἐν λόγῳ συνετῶς ἀναστραφήσε-

κατ' ἀπόδειξιν



σθαι. καὶ αὐτὸν ἀποδεικνύντα ἕκαστα ἀποδόντα. καὶ τοῖς ἀποδεικνῦσι παρακολουθήσειν. μὴ δ' ὑπὸ τῶν σοφιζομένων διαπλανηθήσεσθαι ὡς ἀποδεικνύντων. οὐ καινῶς ἐλήλυθεν ἡμῖν ὡς ἡ περὶ τῶν συναγόντων λόγων καὶ τρόπων πραγματεία καὶ γυμνασία καὶ ἀναγκαία πέφηνεν. ἀλλὰ δὴ ἔστιν ἐφ' ὧν δεδώκαμεν ὑγιῶς τὰ λήμματα. καὶ συμβαίνει τι ἐξ αὐτῶν. ψεῦδος δὲ ὄν, οὐδὲν ἧττον συμβαίνει. τί οὖν μοι καθήκει ποιεῖν. προσδέχεσθαι τὸ ψεῦδος; καὶ πῶς οἷόν τε. ἀλλὰ λέγειν ὅτι οὐχ ὑγιῶς παρεχώρησα τὰ ὡμολογημένα; καὶ μὴν οὐδὲ τοῦτο δίδοται. ἀλλ' ὅτι οὐ συμβαίνει διὰ τῶν παρακεχωρημένων; ἀλλ' οὐδὲ τοῦτο δίδοται. τί οὖν ἐπὶ τούτων ποιητέον. ἢ μή ποτε ὡς οὐκ ἀρκεῖ τὸ δεδωκέναι πρὸς τὸ ἐπιφέρειν. ἀλλὰ δεῖ

45 προσεῖναι καὶ τὸ ἐπιμένειν ἐπὶ τοῦ δεδομένου καὶ μὴ διαλελύσθαι αὐτό. οὕτως οὐκ ἀρκεῖ πρὸς τὸ δεῖν

1 E παραχωρεῖν τὸ ἐπιφερόμενον, τὸ δεδωκέναι τὰ λήμματα. δεῖ δ' ἐπιμένειν ἐπὶ τῆς παραχωρήσεως αὐτῶν. καὶ δὴ μενόντων μὲν αὐτῶν εἰς τέλος ὁποῖα παρεχωρήθη, πᾶσα ἀνάγκη ἡμᾶς ἐπὶ τῆς παραχωρήσεως ἐπιμένειν, καὶ τὸ ἀκόλουθον αὐτοῖς προσδέχεσθαι. οὐδὲ γὰρ ἡμῖν ἔτι οὐδὲ καθ' ἡμᾶς συμβαίνει τοῦτο τὸ ἐπιφερόμενον. ἐπειδὴ τῆς συγχωρήσεως τῶν λημμάτων ἀπέστημεν. δεῖ οὖν καὶ τὰ τοιαῦτα τῶν λημμάτων ἱστορῆσαι. καὶ τὴν τοιαύ-



τὴν μεταβολήν τε καὶ μετάπτωσιν αὐτῶν καθ' ἣν ἐν αὐτῇ τῇ ἐρωτήσει ἢ τῇ ἀποκρίσει ἢ τῷ συλλελογίσθαι ἢ τινι ἄλλῳ τοιούτῳ, λαμβάνοντα τὰς μεταπτώσεις, ἀφορμὴν παρέχει τοῖς ἀνοήτοις τοῦ παραιτεῖσθαι μὴ βλέπουσι τὸ ἀκόλουθον. τίνος οὖν ἕνεκα; ἵν' ἐν τῷ τόπῳ τούτῳ, μὴ παρὰ τὸ καθῆκον. μὴ δ' εἰκῇ, μὴ δὲ συγκεχυμένως ἀναστρεφώμεθα. καὶ τὸ αὐτὸ ἐπί τε τῶν ὑποθέσεων καὶ τῶν ὑποθετικῶν λόγων. ἀναγκαῖον γάρ ἐστιν ὅτε, αἰτῆσαί τινα ὑπόθεσιν ὥσπερ ἐπιβάθραν τῷ ἑξῆς λόγῳ. πᾶσαν ἂν τὴν δοθεῖσαν παραχωρητέον, ἢ οὐ πᾶσαν. καὶ εἰ οὐ πᾶσαν, τίνα. περὶ τίνος ἡ σκέψις. περὶ καθήκοντος. παραχωρήσαντι δὲ, μενετέον εἰσάπαν ἐπὶ τῆς τηρήσεως, ἢ ἔστιν ὅτε ἀποστατέον. τὰ δ' ἀκόλουθα προσδεκτέον, καὶ τὰ μαχόμενα οὐ προσδεκτέον. ναί. ἀλλὰ λέγει τίς. ὅτι ποιήσω σε διὰ τοῦ δεξάμενον ὑπόθεσιν ἐπ' ἀδύνατον ἀπαχθῆναι. πρὸς τοῦτον οὐ συγκαθήσει φρόνιμος. ἀλλὰ φεύξεται ἐξέτασιν καὶ κοινολογίαν. καὶ τίς ἔτι ἄλλος ἐστὶ λόγῳ χρηστικὸς καὶ δεινὸς ἐρωτῆσαι καὶ ἀποκρίσει. καὶ νὴ Δία ἀνεξαπάτητός τε καὶ ἀσόφιστος. ἀλλὰ συγκαθήσει μὲν, οὐκ ἐπιστραφήσεται δὲ, τοῦ μὴ εἰκῇ καὶ φιλόσοφον καὶ ὡς ἔτυχεν ἀναστρέφεσθαι ἐν λόγῳ. καὶ πῶς ἔτι ἔστι τοιοῦτος οἷον αὐτὸν ἐπινοοῦμεν. ἀλλ' ἄνευ τινὸς τοιαύτης γυμνασίας καὶ παρασκευῆς φυλάττειν οἷός τέ ἐστι

μεταπτώσεις

66

2 E

τὸ ἑξῆς; τοῦτο δεικνύτωσαν, καὶ περιέλκει περὶ θεωρήματα ταῦτα πάντα ἄτοπά ἐστι καὶ ἀνακόλουθα τῇ προλήψει τοῦ σπουδαίου; τί ἔτι ἀργοὶ καὶ ῥάθυμοι καὶ νωθροί ἐσμεν. καὶ προφάσεις ζητοῦμεν, καθ' ἃς οὐ πονήσομεν. οὐδ' ἀγρυπνήσομεν. ἐξεργαζόμενοι τὸν αὑτὸν λόγον. ἂν οὖν ἐν τούτοις πλανηθῶ, μή τι τὸν πατέρα ἀπέκτεινα; ἀνδράποδον. ποῦ γὰρ ἐνθάδε πατὴρ ἦν ἵν' αὐτὸν ἀποκτείνῃς. τί οὖν ἐποίησας; ὃ μόνον ἦν κατὰ τὸν τόπον ἁμάρτημα. τοῦτο ἡμάρτηκας. ἐπεὶ τοῦτ' αὐτὸ καὶ ἐγὼ Ῥούφῳ εἶπον, ἐπιτιμῶντί μοι ὅτι τὸ παραλειπόμενον ἐν συλλογισμῷ τινι οὐχ εὕρισκον. οὐχ οἷον μέν φημι τὸ Καπιτώλιον κατέσκαψα; ὁ δ' ἀνδράποδον ἔφη, ἐνθάδε τὸ παραλειπόμενον Καπιτώλιόν ἐστιν. ἢ ταῦτα μόνα ἁμαρτήματά ἐστι, τὸ Καπιτώλιον ἐμπρῆσαι, καὶ τὸν πατέρα ἀποκτεῖναι; τὸ δ' εἰκῇ καὶ μάτην καὶ ὡς ἔτυχε χρῆσθαι ταῖς φαντασίαις ταῖς αὑτοῦ, καὶ μὴ παρακολουθεῖν λόγῳ μὴ δ' ἀποδείξει, μηδὲ σοφίσματι, μηδ' ἁπλῶς βλέπειν τὸ καθ' αὑτὸν καὶ οὐ καθ' αὑτὸν ἐν ἐρωτήσει καὶ ἀποκρίσει, τούτων δ' οὐδέν ἐστιν ἁμάρτημα.

67 3E Ruffus

Ὅτι αἱ δυνάμεις τοῖς ἀπαιδεύτοις οὐκ ἀσφαλεῖς. η.

Καθ' ὅσους τρόπους μεταλαμβάνειν ἐστὶ τὰ

παρακολουθεῖν λόγῳ



ἰσοδυναμοῦντα ἀλλήλοις κατὰ τοσούτους καὶ τὰ εἴδη τῶν ἐπιχειρημάτων τε καὶ ἐνθυμημάτων τῶν ἐν τοῖς λόγοις ἔξεστι μεταλαμβάνειν. οἷον φέρε τὸν τρόπον τοῦτον. εἰ ἐδανείσω καὶ μὴ ἀπέδωκας, ὀφείλεις μοι τὸ ἀργύριον. οὐχὶ ἐδανείσω μέν, καὶ οὐκ ἀπέδωκας. οὐ μὴν ὀφείλεις μοι τὸ ἀργύριον. καὶ τοῦτο οὐδενὶ μᾶλλον προσήκει ἢ τῷ φιλοσόφῳ ἐμπείρως ποιεῖν. εἴπερ γὰρ ἀτελὴς συλλογισμός ἐστι τὸ ἐνθύμημα, δῆλον ὅτι ὁ περὶ τὸν τέλειον συλλογισμὸν γεγυμνασμένος, οὗτος ἂν ἱκανὸς εἴη. καὶ περὶ τὸν ἀτελῆ οὐδὲν ἧττον. τί ποτ' οὖν οὐ γυμνάζομεν αὑτούς τε καὶ ἀλλήλους τὸν τρόπον τοῦτον; ὅτι νῦν καίτοι μὴ γυμναζόμενοι περὶ ταῦτα, μηδ' ἀπὸ τῆς ἐπιμελείας τοῦ ἤθους ὑπό γε ἐμοῦ περισπώμενοι, ὅμως οὐδὲν ἐπιδίδομεν εἰς καλοκαγαθίαν. τί οὖν χρὴ προσδοκᾶν. εἰ καὶ ταύτην τὴν ἀσχολίαν προσλάβοιμεν. καὶ μάλιστα ὅτι οὐ μόνον ἀσχολία τις ἀπὸ τῶν ἀναγκαιοτέρων αὕτη προσγένοιτ' ἄν. ἀλλὰ καὶ οἰήσεως ἀφορμὴ καὶ τύφου, οὐχ ἡ τυχοῦσα. μεγάλη γάρ ἐστι δύναμις ἡ ἐπιχειρητικὴ καὶ πιθανολογική. καὶ μάλιστ' εἰ τύχοι γυμνασίας ἐπιπλέον, καί τινα καὶ εὐπρέπειαν ἀπὸ τῶν ὀνομάτων προσλάβοι. ὅτι καὶ ἐν τῷ καθόλου πᾶσα δύναμις, ἐπισφαλής, τοῖς ἀπαιδεύτοις καὶ ἀσθενέσι προσγινομένη, πρὸς τὸ ἐπᾶραι καὶ χαυνῶσαι ἐπ' αὐτῇ. ποίᾳ γὰρ ἄν τις ἔτι μηχανῇ πείσαι τὸν νέον τὸν ἐν τούτοις διαφέροντα, ὅτι οὐ

68 4E

Enthymema imperfectus syllogismus

69 5E

ἀλλὰ προσθήκην αὐτὸν ἐκείνων γενέσθαι, ἀλλ' ἐκεῖνα αὐτῷ προσθεῖναι. οὐχὶ δὲ πάντας τοὺς λόγοις τούτοις καταπατήσας, ἐπηρμένος ἡμῖν καὶ πεφυσημένος περιπατεῖ, μὴ δ' ἀνεχόμενος ἐάν τις ἀπαιτῇ τι αὐτοῦ, ὑπομιμνήσκων τινὸς ἀπολελειμμένος, ποῦ ἀποκέκλικε. Τί οὖν Πλάτων φιλόσοφος οὐκ ἦν; καὶ Ἱπποκράτης γὰρ ἰατρὸς οὐκ ἦν; ἀλλ' ὁρᾷς πῶς φράζει Ἱπποκράτης; μή τι οὖν Ἱπποκράτης οὕτω φράζει καθὸ ἰατρός ἐστι; τί οὖν μιγνύεις πράγματα ἄλλως ἐπὶ τῶν αὐτῶν ἀνθρώπων συνδραμόντα; εἰ δὲ καλὸς ἦν Πλάτων καὶ ἰσχυρός, ἔδει κἀμὲ καθήμενον ἐκπονεῖν, ἵνα καλὸς γένωμαι ἢ ἵνα ἰσχυρός, ὡς τοῦτο ἀναγκαῖον πρὸς φιλοσοφίαν, ἐπεί τις φιλόσοφος, ἅμα καὶ καλὸς ἦν καὶ φιλόσοφος; οὐ θέλεις αἰσθάνεσθαι καὶ διακρῖναι κατὰ τί οἱ ἄνθρωποι γίνονται φιλόσοφοι, καὶ τίνα ἄλλως αὐτοῖς πάρεστιν; ἄγε εἰ δ' ἐγὼ φιλόσοφος ἤμην, ἔδει ὑμᾶς καὶ χωλοὺς γενέσθαι; τί οὖν; αἴρω τὰς δυνάμεις ταύτας; μὴ γένοιτο. οὐδὲ γὰρ τὴν ὁρατικήν. ὅμως δ' ἄν μου πυνθάνῃ τί ἐστιν ἀγαθὸν τοῦ ἀνθρώπου, οὐκ ἔχω σοι ἄλλο εἰπεῖν, ἢ ὅτι ποιὰ προαίρεσις φαντασιῶν.

Plato — Hippocrat — 6E 70 — Quod est bonum humanum

Πῶς ἀπὸ τοῦ συγγενεῖς ἡμᾶς εἶναι τῷ θεῷ, ἐπέλθοι ἄν τις ἐπὶ τὰ ἑξῆς. θ.

Εἰ ταῦτά ἐστιν ἀληθῆ τὰ περὶ τῆς συγγενείας τοῦ θεοῦ καὶ ἀνθρώπων λεγόμενα ὑπὸ τῶν

∴ ἄλλως. obiter πάρεργως



φιλοσόφων, τί ἄλλο ἀπολείπεται τοῖς ἀνθρώποις, ἢ τὸ τοῦ Σωκράτους, μηδέποτε πρὸς τὸν πυθόμενον ποδαπός ἐστι, εἰπεῖν ὅτι Ἀθηναῖος ἢ Κορίνθιος, ἀλλ' ὅτι κόσμιος. διατί γὰρ λέγεις Ἀθηναῖον εἶναι σεαυτόν, οὐχὶ δ' ἐξ ἐκείνης μόνον τῆς γωνίας, εἰς ἣν ἐρρίφη γεννηθέν σου τὸ σωμάτιον. ἢ δῆλον ὅτι ἀπὸ τοῦ κυριωτέρου καὶ περιέχοντος οὐ μόνον αὐτὴν ἐκείνην τὴν γωνίαν καὶ ὅλην σου τὴν οἰκίαν, ἀλλὰ καὶ ἁπλῶς ὅθεν σοῦ τὸ γένος τῶν προγόνων εἰς σὲ κατελήλυθεν, ἐντεῦθέν ποθεν καλεῖς σεαυτὸν Ἀθηναῖον καὶ Κορίνθιον. ὁ τοίνυν τῇ διοικήσει τοῦ κόσμου παρηκολουθηκὼς καὶ μεμαθηκώς, ὅτι τὸ μέγιστον καὶ κυριώτατον καὶ περιεκτικώτατον πάντων τοῦτό ἐστι τὸ σύστημα τὸ ἐξ ἀνθρώπων καὶ θεοῦ, ἀπ' ἐκείνου δὲ τὰ σπέρματα καταπέπτωκεν οὐκ εἰς τὸν πατέρα τὸν ἐμὸν μόνον, οὐδ' εἰς τὸν πάππον, ἀλλ' εἰς ἅπαντα μὲν τὰ ἐπὶ γῆς γεννώμενά τε καὶ φυόμενα, προηγουμένως δ' εἰς τὰ λογικά. ὅτι κοινωνεῖν μόνον ταῦτα πέφυκε τῷ θεῷ τῆς συναναστροφῆς κατὰ τὸν λόγον ἐπιπεπλεγμένα, διατί μὴ εἴπῃ τις αὑτὸν κόσμιον; διατί μὴ υἱὸν τοῦ θεοῦ; διατί δὲ φοβηθήσεταί τι τῶν γινομένων ἐν ἀνθρώποις; ἀλλὰ πρὸς μὲν τὸν Καίσαρα ἡ συγγένεια ἢ ἄλλον τινὰ τῶν μέγα δυναμένων ἐν Ῥώμῃ, ἱκανὴ παρέχειν ἐν ἀσφαλείᾳ διάγοντας καὶ ἀκαταφρονήτους, καὶ δεδοικότας μηδ' ὁτιοῦν· τὸ δὲ τὸν θεὸν ποιητὴν ἔχειν καὶ

Socrates Nota — E 71

πατέρα καὶ κηδεμόνα. οὐκέτι ἡμᾶς ἐξαιρήσεται λυπῶν καὶ φόβων; καὶ πόθεν φάγω φησὶ μηδὲν ἔχων. καὶ πῶς οἱ δοῦλοι πῶς οἱ δραπέται, τίνι πεποιθότες ἐκεῖνοι ἀπαλλάττονται τῶν δεσποτῶν; τοῖς ἀγροῖς; ἢ τοῖς οἰκέταις; ἢ τοῖς ἀργυρώμασιν; οὐδενί. ἀλλ' ἑαυτοῖς. καὶ ὅμως οὐκ ἐπιλείπουσιν αὐτοὺς τροφαί. τὸν δὲ φιλόσοφον ἡμῖν δεήσει, ἄλλοις θαῤῥοῦντα, καὶ ἐπαναπαυόμενον ἀποδημεῖν, καὶ μὴ ἐπιμελεῖσθαι αὐτὸν αὑτοῦ; καὶ τῶν θηρίων τῶν ἀλόγων εἶναι χείρονα καὶ δειλότερον, ὧν ἕκαστον αὐτὸ αὑτῷ ἀρκούμενον, οὔτε τροφῆς ἀπορεῖ τῆς οἰκείας, οὔτε διεξαγωγῆς τῆς καταλλήλου καὶ κατὰ φύσιν; ἐγὼ μὲν οἶμαι ὅτι ἔδει καθῆσθαι τὸν πρεσβύτερον ἐνταῦθα, οὐ τοῦτο μηχανώμενον ὅπως μὴ ταπεινοφρονῆτε, μὴ δὲ ταπεινούς μὴ δ' ἀγεννεῖς τινας διαλογισμοὺς διαλογιεῖσθε αὐτοὶ περὶ ἑαυτῶν. ἀλλὰ μή τινες ἐμπίπτωσι τοιοῦτοι νέοι. οἳ ἐπιγνόντες τὴν πρὸς τοὺς θεοὺς συγγένειαν. καὶ ὅτι δεσμά τινα ταῦτα προσηρτήμεθα, τὸ σῶμα καὶ τὴν κτῆσιν αὐτοῦ. καὶ ὅσα τούτων ἕνεκα, ἀναγκαῖα ἡμῖν γίνεται εἰς οἰκονομίαν. καὶ ἀναστροφὴν τὴν ἐν τῷ βίῳ, ὡς βάρη τινὰ καὶ ἀνιαρὰ καὶ ἄχρηστα ἀποῤῥῖψαι θέλωσι, καὶ ἀπελθεῖν πρὸς τοὺς συγγενεῖς. καὶ τοῦτον ἔδει τὸν ἀγῶνα ἀγωνίζεσθαι τὸν διδάσκαλον ὑμῶν καὶ παιδευτὴν εἴ τις ἄρα ἦν ὑμᾶς μὲν ἔρχεσθαι λέγοντας. ἐπίκτητε. οὐκέ-

ἀργυρώμασι

72

8 E



τι ἀνεχόμεθα μετὰ τοῦ σωματίου τούτου δεδεμένοι. καὶ τοῦτο τρέφοντες καὶ ποτίζοντες. καὶ ἀναπαύοντες καὶ καθαίροντες. εἶτα δι' αὐτὸ συμπεριφερόμενοι τοῖσδε καὶ τοῖσδε. οὐκ ἀδιάφορα ταῦτα καὶ οὐδὲν πρὸς ἡμᾶς; καὶ ὁ θάνατος οὐ κακός. καὶ συγγενεῖς τινες τοῦ θεοῦ ἐσμεν. κἀκεῖθεν ἐληλύθαμεν. ἄφες ἡμᾶς ἀπελθεῖν ὅθεν ἐληλύθαμεν. ἄφες λυθῆναί ποτε τῶν δεσμῶν τούτων τῶν ἐξηρτημένων καὶ βαρούντων. ἐνταῦθα λῃσταὶ καὶ κλέπται καὶ δικαστήρια. καὶ οἱ καλούμενοι τύραννοι. δοκοῦντες ἔχειν τινὰ ἐφ' ἡμῖν ἐξουσίαν. διὰ τὸ σωμάτιον καὶ τὰ τούτου κτήματα. ἄφες δείξωμεν αὐτοῖς ὅτι οὐδενὸς ἔχουσιν ἐξουσίαν.

ἐμὲ δ' ἐν τῷ λέγειν ὅτι ἄνθρωποι ἐκδέξασθε τὸν θεὸν ὅταν ἐκεῖνος σημήνῃ καὶ ἀπολύσῃ ἡμᾶς ταύτης τῆς ὑπηρεσίας, τότ' ἀπολύεσθε πρὸς αὐτόν. ἐπὶ δὲ τοῦ παρόντος ἀνάσχεσθε ἐνοικοῦντες ταύτην τὴν χώραν εἰς ἣν ἐκεῖνος ὑμᾶς ἔταξεν. ὀλίγος ἄρα χρόνος οὗτος ὁ τῆς οἰκήσεως, καὶ ῥᾴδιος τοῖς οὕτω διακειμένοις. ποῖος γὰρ ἔτι τύραννος, ἢ ποῖος κλέπτης. ἢ ποῖα δικαστήρια, φοβερὰ τοῖς οὕτως παρουδὲν πεποιημένοις τὸ σῶμα; καὶ τὰ τούτου κτήματα. μείνατε. μὴ ἀλογίστως ἀπέλθητε. τοιοῦτόν τι ἔδει γίνεσθαι παρὰ τοῦ παιδευτοῦ πρὸς τοὺς εὐφυεῖς τῶν νέων. νῦν δὲ τί γίνεται. νεκρὸς μὲν ὁ παιδευτής. νεκροὶ δ' ὑμεῖς. ὅτ-

73

9 E

χορτασθῆτε

χορτασθῆτε · foeno saturati estis

10

74

χορτασθῆτε σήμερον, καθῆσθε κλάοντες περὶ τῆς αὔριον πόθεν φάγητε. ἀνδράποδον. ἂν σχῇς, ἕξεις· ἂν μὴ σχῇς, ἐξελεύσῃ· ἤνοικται ἡ θύρα. τί πενθεῖς; ποῦ ἔτι τόπος δακρύοις; τίς ἔτι κολακείας ἀφορμή. διατί ἄλλος ἄλλῳ φθονήσει. διατί πολλὰ κεκτημένοις θαυμάσει ἢ τοῖς ἐν δυνάμει τεταγμένοις μάλιστ᾽ ἂν καὶ ἰσχυροὶ ὦσι καὶ ὀργίλοι. τί γὰρ ἡμῖν ποιήσουσιν; ἃ δύνανται ποιῆσαι, τούτων οὐκ ἐπιστρεψόμεθα· ὧν ἡμῖν μέλει, ταῦτα οὐ δύνανται. τίς οὖν ἔτι ἄρξει τοῦ οὕτω διακειμένου; πῶς σωκράτης εἶχε πρὸς ταῦτα; πῶς γὰρ ἄλλως, ἢ ὡς ἔδει τὸν πεπεισμένον ὅτι ἐστὶ τῶν θεῶν συγγενής; ἄν μοι λέγητε φησὶ νῦν, ὅτι ἀφίεμέν σε ἐπὶ τούτοις ὅπως μηκέτι διαλέξῃ τούτοις τοῖς λόγοις οὓς μέχρι νῦν διελέγου, μὴ δὲ παρενοχλήσεις ἡμῶν τοῖς νέοις μὴ δὲ τοῖς γέρουσιν, ἀποκρινοῦμαι ὅτι γελοῖοί ἐστε. οἵτινες ἀξιοῦτε εἰ μέν με ὁ στρατηγὸς ὁ ὑμέτερος ἔταξεν εἴς τινα τάξιν, ὅτι ἔδει με τηρεῖν αὐτὴν καὶ φυλάττειν, καὶ μυριάκις πρότερον αἱρεῖσθαι ἀποθνήσκειν, ἢ ἐγκαταλιπεῖν αὐτήν, εἰ δ᾽ ὁ θεὸς ἔν τινι χώρᾳ καὶ ἀναστροφῇ κατατέταχε, ταύτην δ᾽ ἐγκαταλιπεῖν δεῖ ἡμᾶς. τοῦτ᾽ ἔστιν ἄνθρωπος ταῖς ἀληθείαις συγγενὴς τῶν θεῶν. ἡμεῖς δ᾽ ὡς γαστέρες ὡς ἔντερα ὡς αἰδοῖα, οὕτω περὶ αὐτῶν διανοούμεθα. ὅτι φοβούμεθα, ὅτι ἐπιθυμοῦμεν, τοῖς ἐς ταῦτα συνεργεῖν δυναμένοις κολακεύομεν.

Socrates

στρατηγὸς

τοὺς



75

11 E

τοὺς αὐτοὺς τούτους δεδοίκαμεν. ἐμέ τις ἠξίωσεν ὑπὲρ αὐτοῦ γράψαι εἰς τὴν ῥώμην, ὡς ἐδόκει τοῖς πολλοῖς ἠτυχηκώς. καὶ πρότερον μὲν ἐπιφανὴς ὢν καὶ πλούσιος. ὕστερον δ᾽ ἐκπεπτωκὼς ἁπάντων καὶ διάγων ἐνταῦθα. κἀγὼ ἔγραψα ὑπὲρ αὐτοῦ ταπεινῶς. ὁ δ᾽ ἀναγνοὺς τὴν ἐπιστολήν, ἀπέδωκέ μοι αὐτὴν καὶ ἔφη. ὅτι ἐγὼ βοηθηθῆναί τι ὑπὸ σοῦ ἤθελον. οὐχὶ ἐλεηθῆναι. κακὸν δέ μοι οὐδὲν ἔστιν. οὕτω καὶ ῥοῦφος πειράζων με εἰώθει λέγειν. συμβήσεταί σοι τοῦτο καὶ τοῦτο ὑπὸ τοῦ δεσπότου. καὶ μου πρὸς αὐτὸν ἀποκριναμένου, ὅτι ἀνθρώπινα. τί οὖν ἔφη ἐκεῖνον παρακαλῶ, παρὰ σοῦ αὐτὰ λαβεῖν δυνάμενος. τῷ γὰρ ὄντι ὃ ἐξ αὐτοῦ τις ἔχει, περισσὸς καὶ μάταιος παρ᾽ ἄλλου λαμβάνων. ἐγὼ οὖν ἔχων ἐξ ἐμαυτοῦ λαβεῖν τὸ μεγαλόψυχον καὶ γενναῖον, ἀγρὸν παρὰ σοῦ λάβω καὶ ἀργύριον, ἢ ἀρχήν τινα; μὴ γένοιτο. οὐχ οὕτως ἀναίσθητος ἔσομαι τῶν ἐμῶν κτημάτων. ἀλλ᾽ ὅταν τις ᾖ δειλὸς καὶ ταπεινός, ὑπὲρ τούτου τί ἄλλο, ἢ ἀνάγκη γράφειν ἐπιστολὰς ὡς ὑπὲρ νεκροῦ. τὸ πτῶμα ἡμῖν χάρισαι τοῦ δεῖνος. καὶ ξέστην αἱματίου. τῷ γὰρ ὄντι πτῶμα ὁ τοιοῦτός ἐστι καὶ ξέστης αἱματίου. πλέον δ᾽ οὐδέν. εἰ δ᾽ ἦν πλέον τι, ᾐσθάνετ᾽ ἂν ὅτι ἄλλος δι᾽ ἄλλον οὐ δυστυχεῖ.

Ruffus

ξέστην

12 E

70

Δ

### Πρὸς τοὺς περὶ τὰς ἐν ῥώμῃ προαγωγὰς ἐσπουδακότας. ι.

Εἰ οὕτω σφοδρῶς συνετετάγμεθα περὶ τὸ ἔργον τὸ ἑαυτῶν ὡς οἱ ἐν ῥώμῃ γέροντες. περὶ ἃ ἐσπουδάκασι, τάχα ἄν τι ἠνύομεν καὶ αὐτοί. οἶδα ἐγὼ πρεσβύτερον ἄνθρωπον ἐμοῦ. καὶ νῦν ἐπὶ τοῦ σίτου ὄντα ἐν ῥώμῃ. ὅτε ταύτῃ παρῆγεν ἀπὸ τῆς φυγῆς ἀναστρέφων, οἷα εἶπέ μοι καταφέρων τοῦ προτέρου ἑαυτοῦ βίου. καὶ περὶ τῶν ἑξῆς ἐπαγγελλόμενος, ὅτι ἄλλο οὐδὲν ἀναβὰς σπουδάσει, ἢ ἐν ἡσυχίᾳ καὶ ἀταραξίᾳ διεξαγαγεῖν τὸ λοιπὸν τοῦ βίου. πόσον γὰρ ἔτι ἐστὶν ἐμοὶ τὸ λοιπόν. κἀγὼ ἔλεγον αὐτῷ ὅτι οὐ ποιήσεις. ἀλλ' ὀσφρανθεὶς μόνον τῆς ῥώμης, ἁπάντων τούτων ἐπιλήσῃ. ἂν δὲ καὶ εἰς αὐλὴν πάροδός τις διδῶται, ὅτι χαίρων καὶ τῷ θεῷ εὐχαριστῶν ἔσεται. ἄν μ' εὕρῃς ἔφη ἐπίκτητε τὸν ἕτερον πόδα εἰς τὴν αὐλὴν τιθέντα, ὃ βούλει ὑπολάμβανε. νῦν οὖν τί ἐποίησε. πρὶν ἐλθεῖν εἰς τὴν ῥώμην ἀπήντησαν αὐτῷ παρὰ καίσαρος πινακίδες. ὁ δὲ λαβών, πάντων ἐκείνων ἐξελάθετο. καὶ λοιπὸν ἐν ἐξ ἑνὸς ἐπισεσώρευκεν. ἤθελον αὐτὸν νῦν παραστὰς ὑπομνῆσαι τῶν λόγων οὓς ἔλεγε παρερχόμενος. καὶ εἰπεῖν ὅτι πόσον ἐγὼ κομψότερος μάντις εἰμί. τί



οὖν ἐγὼ λέγω. ὅτι ἄπρακτόν ἐστι τὸ ζῷον; μὴ γένοιτο. ἀλλὰ διατί ἡμεῖς οὐκ ἐσμὲν πρακτικοί; εὐθὺς ἐγὼ πρῶτος ὅταν ἡμέρα γένηται, μικρὰ ὑπομιμνήσκομαι. τίνα ἐπαναγνῶναί με δεῖ. εἶτα εὐθὺς ἐμαυτῷ, τί δέ μοι καὶ μέλει, πῶς ὁ δεῖνα ἀναγνῷ, πρῶτόν ἐστιν ἵνα ἐγὼ κοιμηθῶ. καί τοι τί ὅμοια τὰ ἐκείνων πράγματα τοῖς ἡμετέροις. ἂν ἐπιστῆτε τί ἐκεῖνοι ποιοῦσιν, αἰσθήσεσθε. τί γὰρ ἄλλο. ἢ ὅλην τὴν ἡμέραν ψηφίζουσι. συζητοῦσι. συμβουλεύουσι περὶ σιταρίου. περὶ ἀγριδίου. περὶ πενῶν προκοπῶν τοιούτων. ὅμοιον οὖν ἐστιν ἐντευξείδιον παρά τινος λαβόντα ἀναγινώσκειν. παρακαλῶ σε ἐπιτρέψαι μοι σιτάριον ἐξαγαγεῖν. ἢ παρακαλῶ σε παρὰ χρυσίππου ἐπισκέψασθαι τίς ἐστιν ἡ τοῦ κόσμου διοίκησις. καὶ ποίαν τινὰ χώραν ἐν αὐτῷ ἔχει τὸ λογικὸν ζῷον. ἐπίσκεψαι δὲ καὶ τίς εἶ σύ. καὶ ποῖόν τί σου τὸ ἀγαθὸν καὶ τὸ κακόν. ταῦτα ἐκείνοις ὅμοιά ἐστιν. ἀλλ' ὁμοίας σπουδῆς χρείαν ἔχοντα. ἀλλ' ὡσαύτως ἀμελεῖν αἰσχρὸν τούτων κἀκείνων. τί οὖν, ἡμεῖς μόνοι ῥαθυμοῦμεν καὶ νυστάζομεν; οὔ. ἀλλὰ πολὺ πρότερον ὑμεῖς οἱ νέοι. ἐπεί τοι καὶ ἡμεῖς οἱ γέροντες ὅταν παίζοντας ὁρῶμεν νέους, συμπροθυμούμεθα καὶ αὐτοὶ συμπαίζειν. πολὺ δὲ πλέον εἰ ἑώρων διεγηγερμένους καὶ συμπροθυμουμένους ἄν, συνεσπούδαζον καὶ αὐτός.

ἐντευξείδιον

Chrysipp

14 E

78

Ἀφικομένου δέ τινος πρὸς αὐτὸν τῶν ἐν τέλει, πυθόμενος παρ' αὐτοῦ τὰ κατὰ μέρος, ἠρώτησεν εἰ καὶ τέκνα εἴη αὐτῷ καὶ γυνή. τοῦ δ' ὁμολογήσαντος, προσεπύθετο· πῶς τι οὖν χρῇ τῷ πράγματι. ἀθλίως ἔφη. καὶ ὅς· τίνα τρόπον. οὐ γὰρ δὴ τούτου ἕνεκα γαμοῦσιν οἱ ἄνθρωποι καὶ παιδοποιοῦνται, ὅπως ἄθλιοι ὦσιν. ἀλλὰ μᾶλλον, ὅπως εὐδαίμονες. ἀλλ' ἐγὼ ἔφη οὕτως ἀθλίως ἔχω περὶ τὰ παιδάρια ὥστε πρῴην νοσοῦντός μου τοῦ θυγατρίου καὶ δόξαντος κινδυνεύειν, οὐχ ὑπέμεινα οὐδὲ παρεῖναι αὐτῷ νοσοῦντι. φυγὼν δ' ᾠχόμην, μέχρις οὗ προσήγγειλέ τίς μοι ὅτι ἔχει καλῶς. τί ἄν· ὀρθῶς φαίνῃ σαυτῷ ταῦτα πεποιηκέναι; φυσικῶς ἔφη. ἀλλὰ μὴν τοῦτό με πεῖσον ἔφη σὺ διότι φυσικῶς. καὶ ἐγώ σε πείσω ὅτι πᾶν τὸ κατὰ φύσιν γινόμενον, ὀρθῶς γίνεται. τοῦτο ἔφη πάντες ἤ οἵ γε πλεῖστοι πατέρες πάσχομεν. οὐδ' ἐγώ σοι ἀντιλέγω ἔφη ὅτι οὐ γίνεται. τὸ δ' ἀμφισβητούμενον ἡμῖν ἐκεῖνό ἐστιν, εἰ ὀρθῶς. ἐπεὶ τούτου γε ἕνεκα καὶ τὰ φύματα δεῖ λέγειν ἐπ' ἀγαθῷ γίνεσθαι τοῦ σώματος ὅτι γίνεται. καὶ ἁπλῶς τὸ ἁμαρτάνειν, εἶναι κατὰ φύσιν, ὅτι πάντες σχεδὸν, ἤ οἵ γε πλεῖστοι, ἁμαρτάνομεν. δεῖξον οὖν μοι σύ, πῶς κατὰ φύσιν ἐστίν. οὐ δύναμαι ἔφη. ἀλλὰ σύ μοι μᾶλλον δεῖξον, πῶς οὐκ ἔστι κατὰ φύσιν· οὐδ' ὀρθῶς γίνεται. καὶ ὅς· ἀλλ' εἰ ἐζητοῦμεν ἔφη περὶ λευκῶν καὶ μελάνων, ποῖον ἂν κριτήριον παρεκαλοῦμεν πρὸς διάγνωσιν αὐτῶν. τὴν ὄρεξιν ἔφη. τί δ' εἰ περὶ θερμῶν καὶ ψυχρῶν. καὶ σκληρῶν καὶ μαλακῶν. ποῖόν τι. τὴν ἁφήν. οὐκοῦν ἐπειδὴ περὶ τῶν κατὰ φύσιν καὶ τῶν ὀρθῶς ἢ οὐκ ὀρθῶς γινομένων ἀμφισβητοῦμεν, ποῖον θέλεις κριτήριον παραλάβωμεν. οὐκ οἶδ' ἔφη. καὶ μὴν τὸ μὲν τῶν χρωμάτων καὶ ὀσμῶν, ἔτι δὲ χυλῶν κριτήριον ἀγνοεῖν τυχὸν οὐ μεγάλη ζημία. τὸ δὲ τῶν ἀγαθῶν καὶ τῶν κακῶν· καὶ τῶν παρὰ φύσιν καὶ κατὰ φύσιν τῷ ἀνθρώπῳ, δοκεῖ σοι μικρὰ ζημία εἶναι τῷ ἀγνοοῦντι; ἢ μεγίστη μὲν οὖν. φέρε εἰπέ μοι. πάντα ἃ δοκεῖ τισιν εἶναι καλὰ καὶ προσήκοντα, ὀρθῶς δοκεῖ; καὶ νῦν Ἰουδαίοις καὶ Σύροις καὶ Αἰγυπτίοις καὶ Ῥωμαίοις, οἷόν τε πάντα τὰ δοκοῦντα περὶ τροφῆς, ὀρθῶς δοκεῖν. καὶ πῶς οἷόν τε. ἀλλ' οἶμαι πᾶσα ἀνάγκη εἰ ὀρθά ἐστιν Αἰγυπτίων, μὴ ὀρθὰ εἶναι τὰ τῶν ἄλλων. εἰ καλῶς ἔχει τὰ Ἰουδαίων, μὴ καλῶς ἔχειν τὰ τῶν ἄλλων. πῶς γὰρ οὔ, ὅπου δ' ἄγνοια, ἐκεῖ καὶ ἀμαθία, καὶ ἡ περὶ τὰ ἀναγκαῖα ἀπαιδευσία συνεχώρει. σὺ οὖν ἔφην τούτων αἰσθόμενος, οὐδὲν ἄλλο τοῦ λοιποῦ σπουδάσεις, οὐδ' ἐπ' ἄλλῳ τινὶ τὴν γνώμην ἕξεις, ἢ ὅπως τὸ κριτήριον τῶν κατὰ φύσιν καταμάθῃς· καὶ τούτῳ προσχρώ-

μενος διακρίνῃς τῶν ἐπὶ μέρους ἕκαστον. ἐπὶ δὲ τοῦ παρόντος, τοσοῦτον ἔχω σοι πρὸς ὃ βούλει βοηθῆσαι. τὸ φιλόστοργον δοκεῖ σοι κατὰ φύσιν τε εἶναι καὶ καλόν; πῶς γὰρ οὔ. τί δέ, τὸ μὲν φιλόστοργον κατὰ φύσιν τε καὶ καλόν ἐστι, τὸ δ' εὐλόγιστον οὐκ; οὐδαμῶς. μὴ τοίνυν μάχην ἔχει τῷ φιλοστόργῳ τὸ εὐλόγιστον; οὐ δοκεῖ μοι, εἰ δὲ μή, τῶν μαχομένων ἀνάγκη θατέρου κατὰ φύσιν ὄντος, θάτερον εἶναι παρὰ φύσιν. ἢ γὰρ οὔ; οὕτως ἔφη. οὐκοῦν ὅ, τι ἂν εὑρίσκωμεν ὁμοῦ μὲν φιλόστοργον, ὁμοῦ δ' εὐλόγιστον, τοῦτο θαρροῦντες ἀποφαινόμεθα ὀρθόν τε εἶναι καὶ καλόν. ἔστω ἔφη. τί οὖν. ἀφεῖναι νοσοῦν τὸ παιδίον καὶ ἀφέντα ἀπελθεῖν, ὅτι μὲν οὐκ εὐλόγιστον, οὐκ οἴομαί σ' ἀντερεῖν. ὑπολείπεται δ' ἡμᾶς σκοπεῖν, εἰ φιλόστοργον. σκοπῶμεν δή. ἆρ' οὖν σὺ μὲν ἐπειδὴ φιλοστόργως διέκεισο πρὸς τὸ παιδίον, ὀρθῶς ἐποίεις φεύγων, καὶ ἀπολείπων αὐτό. ἡ μήτηρ δ' οὐ φιλοστοργεῖ τὸ παιδίον; φιλοστοργεῖ μὲν οὖν. οὐκοῦν ἔδει καὶ τὴν μητέρα ἀφεῖναι αὐτό, ἢ οὐκ ἔδει; οὐκ ἔδει. τί δ' ἡ τίτθη. στέργει αὐτό; στέργει ἔφη. ἔδει οὖν κἀκείνην ἀφεῖναι αὐτό; οὐδαμῶς. τί δ' ὁ παιδαγωγός. οὐ στέργει αὐτό; στέργει. ἔδει οὖν κἀκεῖνον ἀφέντα ἀπελθεῖν, εἶθ' οὕτως ἔρημον καὶ ἀβοήθητον ἀπολειφθῆναι τὸ παιδίον διὰ τὴν πολλὴν φιλοστοργίαν τῶν γονέων ὑμῶν καὶ τῶν περὶ αὐτό, ἢ ἐν ταῖς χερσὶ τῶν οὔτε στεργόντων οὔτε κηδομένων



ἀποθανεῖν; μὴ γένοιτο. καὶ μὴν ἐκεῖνό γε ἄνισον καὶ ἀγνῶμον. ὅ, τις αὑτῷ προσήκειν οἴεται διὰ τὸ φιλόστοργος εἶναι, τοῦτο τοῖς ὁμοίως φιλοστοργοῦσι μὴ ἐφιέναι. ἄτοπον. ἄγε σὺ δ' ἄν, ἠβούλου νοσῶν φιλοστόργους οὕτως ἔχειν τοὺς προσήκοντας τούς τ' ἄλλους καὶ αὐτὰ τὰ τέκνα καὶ τὴν γυναῖκα, ὥστ' ἀφεθῆναι μόνος ὑπ' αὐτῶν καὶ ἔρημος; οὐδαμῶς. εὔξαιο δ' ἄν, οὕτω στερχθῆναι ὑπὸ τῶν σαυτοῦ ὥστε διὰ τὴν ἄγαν αὐτῶν φιλοστοργίαν ἀεὶ μόνος ἀπολείπεσθαι ἐν ταῖς νόσοις; ἢ τούτου γ' ἕνεκα μᾶλλον ἄν, ὑπὸ τῶν ἐχθρῶν εἰ δυνατὸν ἦν, φιλοστοργεῖσθαι ηὔχου ὥστ' ἀπολείπεσθαι ὑπ' αὐτῶν, εἰ δὲ ταῦτα ὑπολείπεται, μηδαμῶς ἔτι φιλόστοργον εἶναι τὸ πραχθέν. τί οὖν. οὐδὲν ἦν τὸ κινῆσάν σε καὶ ἐξορμῆσαν πρὸς τὸ ἀφεῖναι τὸ παιδίον; καὶ πῶς οἷόν τε. ἀλλὰ τοιοῦτόν τι ἄν, οἷον καὶ ἐν Ῥώμῃ τινὰ ἦν τὸ κινοῦν ὥστ' ἐγκαλύπτεσθαι τοῦ ἵππου τρέχοντος ᾧ ἐσπουδάκει. εἶτα νικήσαντος ποτὲ παραλόγως, σπόγγων δεῆσαι αὐτῷ πρὸς τὸ ἀναληφθῆναι λειποψυχοῦντα. τί οὖν τοῦτό ἐστι. τὸ μὲν ἀκριβὲς οὐ τοῦ παρόντος καιροῦ τυχόν. ἐκεῖνο δ' ἀπαρκεῖ πεισθῆναι εἴπερ ὑγιές ἐστι τὸ ὑπὸ τῶν φιλοσόφων λεγόμενον, ὅτι οὐκ ἔξω που δεῖ ζητεῖν αὐτό. ἀλλ' ἓν καὶ ταυτόν ἐστιν ἐπὶ πάντων τὸ αἴτιον τοῦ ποιεῖν τι ἡμᾶς ἢ μὴ ποιεῖν. τοῦ λέγειν τινὰ ἢ μὴ λέγειν. τοῦ ἐπαίρεσθαι ἢ συστέλλεσθαι. ἢ φεύγειν τινὰ ἢ διώ-

καν. τοῦθ' ὅπερ καὶ νῦν ἐμοί τε καὶ σοὶ γέγονεν αἴτιον, σοὶ μὲν τοῦ ἐλθεῖν πρὸς ἐμὲ καὶ καθῆσθαι νῦν ἀκούοντα, ἐμοὶ δὲ τοῦ λέγειν ταῦτα. τί δ' ἐστὶ τοῦτο. ἆρά γε ἄλλο, ἢ ὅτι ἔδοξεν ἡμῖν, ἂν δ' ἄλλως ἡμῖν ἐφαίνη, τί ἂν ἄλλο, ἢ τὸ δόξαν ἐπράττομεν. οὐκοῦν καὶ τῷ ἀχιλλεῖ τοῦτο αἴτιον τοῦ πενθεῖν. οὐχ ὁ τοῦ πατρόκλου θάνατος. ἄλλος γάρ τις οὐ πάσχει ταῦτα τοῦ ἑταίρου ἀποθανόντος. ἀλλ' ὅτι ἔδοξεν αὐτῷ. καὶ σοὶ τότε φυγεῖν τοῦτο αὐτὸ, ὅτι ἔδοξέ σοι. καὶ πάλιν ἐὰν μένῃς, ὅτι ἔδοξέ σοι. καὶ νῦν εἰς ῥώμην ἀπέρχῃ, ὅτι δοκεῖ σοι. κἂν μεταδόξῃ, οὐκ ἀπελεύσῃ. καὶ ἁπλῶς οὔτε θάνατος οὔτε φυγή. οὔτε πόνος. οὔτε ἄλλό τι τῶν τοιούτων αἴτιόν ἐστι τοῦ πράττειν τι, ἢ μὴ πράττειν ἡμᾶς. ἀλλ' ὑπολήψεις καὶ δόγματα. τοῦτό σε πείθω. ἢ οὐχί. πείθεις. οἷα δὴ τὰ αἴτια ἐφ' ἑκάστου τοιαῦτα καὶ τὰ ἀποτελούμενα. οὐκοῦν ὅταν μὴ ὀρθῶς τι πράττωμεν, ἀπὸ ταύτης τῆς ἡμέρας οὐδὲν ἄλλο αἰτιασόμεθα, ἢ τὸ δόγμα ἀφ' οὗ αὐτὸ ἐπράξαμεν. κἀκεῖνο ἐξαίρειν καὶ ἐκτέμνειν πειρασόμεθα μᾶλλον, ἢ τὰ φύματα καὶ τὰ ἀποστήματα ἐκ τοῦ σώματος. ὡσαύτως δὲ καὶ τῶν ὀρθῶς πραττομένων ταὐτὸν τοῦτο αἴτιον ἀποφανοῦμεν. καὶ οὔτ' οἰκέτην ἔτι αἰτιασόμεθα, οὔτε γείτονα, οὔτε γυναῖκα, οὔτε τέκνα, ὡς αἴτιά τινων κακῶν ἡμῖν γινόμενα. πεπεισμένοι ὅτι ἂν μὴ ἡμῖν δόξῃ τοιαῦτά τινα εἶναι, οὐ

Achilles
Patroclus
84
4 F
φύματα



πράττομεν τὰ ἀκόλουθα. τοῦ δόξαι δὲ ἢ μὴ δόξαι, ἡμεῖς κύριοι καὶ οὐ τὰ ἐκτός. οὕτως ἔφη. ἀπὸ τῆς σήμερον τοίνυν ἡμέρας, οὐδὲν ἄλλο ἐπισκοπήσομεν οὐδὲ ἐξετάσομεν ποῖόν τί ἐστιν, ἢ πῶς ἔχει. οὔτε τὸν ἀγρὸν, οὔτε τὰ ἀνδράποδα. οὔτε τοὺς ἵππους ἢ κύνας. ἀλλὰ τὰ δόγματα. εὔχομαι ἔφη. ὁρᾷς οὖν ὅτι σχολαστικόν σε δεῖ γενέσθαι, τοῦτο τὸ ζῶον, οὗ πάντες καταγελῶσιν, εἴπερ ἄρα θέλεις ἐπίσκεψιν τῶν σαυτοῦ δογμάτων ποιεῖσθαι; τοῦτο δ' ὅτι μιᾶς ὥρας ἢ ἡμέρας οὐκ ἔστιν, ἐπινοεῖς καὶ αὐτός.

5 F

## περὶ εὐαρεστήσεως. ιβ'.

Περὶ θεῶν οἱ μέν τινές εἰσι λέγοντες μὴ δ' εἶναι τὸ θεῖον. οἱ δ' εἶναι μὲν, ἀργὸν δὲ καὶ ἀμελές. καὶ μὴ προνοεῖν μηδενός. τρίτοι δ' οἱ καὶ εἶναι καὶ προνοεῖν. ἀλλὰ τῶν μεγάλων καὶ οὐρανίων. τῶν δ' ἐπὶ γῆς μηδενός. τέταρτοι δὲ, καὶ τῶν ἐπὶ γῆς καὶ τῶν οὐρανίων. εἰς κοινὸν δὲ μόνον καὶ οὐχὶ δὲ κατ' ἰδίαν ἑκάστου. πέμπτοι δ' ὧν ἦν καὶ ὀδυσσεὺς καὶ σωκράτης. οἱ λέγοντες ὅτι οὐδέ σε λήθω κινούμενος. πολὺ πρότερον οὖν ἀναγκαῖόν ἐστι περὶ ἑκάστου τούτων ἐπισκέψασθαι πότερα ὑγιῶς λεγόμενόν ἐστιν. εἰ γὰρ μή εἰσι θεοί, πῶς ἐστὶν τέλος ἕπεσθαι θεοῖς. εἰ δὲ εἰσὶ μὲν, μηδενὸς δ' ἐπιμελούμενοι, καὶ οὕτως πῶς ὑγιὲς ἔσται. ἀλλὰ καὶ ὄντων καὶ ἐπιμελουμένων. εἰ μηδεμία διάδοσις εἰς ἀνθρώ

85
Opiniões varias de dijs
Vlyxes
Socrates

86

6 F

τοῖς ἐστιν· δεῖ αὐτῶν καὶ νὴ Δία γε καὶ εἰς ἐμέ, πῶς ἔτι καὶ οὕτως ὑγιές ἐστι· πάντα οὖν ταῦτα ὁ καλὸς καὶ ἀγαθὸς ἐπεσκεμμένος, τὴν αὑτοῦ γνώμην ὑποτέταχε τῷ διοικοῦντι τὰ ὅλα· καθάπερ οἱ ἀγαθοὶ πολῖται, τῷ νόμῳ τῆς πόλεως. ὁ δὲ παιδευόμενος, ταύτην ὀφείλει τὴν ἐπιβολὴν ἔχων ἐλθεῖν ἐπὶ τὸ παιδεύεσθαι. πῶς ἂν ἑποίμην ἐγὼ ἐν παντὶ τοῖς θεοῖς. καὶ πῶς ἂν, ἀρεστοίην τῇ θείᾳ διοικήσει. καὶ πῶς ἂν, γενοίμην ἐλεύθερος. ἐλεύθερος γάρ ἐστιν, ᾧ γίνεται πάντα κατὰ προαίρεσιν. καὶ ὃν οὐδεὶς δύναται κωλῦσαι. τί οὖν· ἀπόνοιά ἐστιν ἡ ἐλευθερία; μὴ γένοιτο. μανία γὰρ καὶ ἐλευθερία εἰς ταὐτὸν οὐκ ἔρχεται. ἀλλ' ἐγὼ θέλω πᾶν τὸ δοκοῦν μοι ἀποβαίνειν, κἂν ὁποσοῦν δοκῇ. μαινόμενος εἶ. παραφρονεῖς. οὐκ οἶδας ὅτι καλὸν ἡ ἐλευθερία ἐστὶ καὶ ἀξιόλογον; τὸ δ' ὡς ἔτυχέ με βούλεσθαι, τὰ δ' ὡς ἔτυχε δόξαντα γίνεσθαι, τοῦτο κινδυνεύει οὐ μόνον οὐκ εἶναι καλὸν, ἀλλὰ καὶ πάντων αἴσχιστον εἶναι. πῶς γὰρ ἐπὶ γραμματικῶν ποιοῦμεν. βούλομαι γράφειν ὡς θέλω τὸ Δίωνος ὄνομα; οὔ. ἀλλὰ διδάσκομαι θέλειν ὡς δεῖ γράφεσθαι. τί ἐπὶ μουσικῶν. ὡσαύτως. τί ἐν τῷ καθόλου ὅπου τέχνη τις ἢ ἐπιστήμη ἐστίν. εἰ δὲ μή, οὐδενὸς ἦν ἄξιον τὸ ἐπίστασθαί τι, εἰ τοῖς ἑκάστων βουλήσεσι προσηρμόζετο. ἐνταῦθα οὖν

ἀπόνοια



87

7 F

μόνον ἐπὶ τοῦ μεγίστου καὶ κυριωτάτου τῆς ἐλευθερίας ὡς ἔτυχεν ἐφεῖταί μοι θέλειν; οὐδαμῶς. ἀλλὰ τὸ παιδεύεσθαι. τοῦτ' ἔστι μανθάνειν ἕκαστα οὕτω θέλειν, ὡς γίνεται. πῶς δὲ γίνεται; ὡς διέταξεν αὐτὰ ὁ διατάσσων. διέταξε δὲ, θέρος εἶναι καὶ χειμῶνα. καὶ φορὰν καὶ ἀφορίαν. καὶ ἀρετὴν καὶ κακίαν. καὶ πάσας τὰς τοιαύτας ἐναντιότητας, ὑπὲρ συμφωνίας τῶν ὅλων. ἡμῶν τ' ἑκάστῳ σῶμα. καὶ μέρη τοῦ σώματος. καὶ κτῆσιν καὶ κοινωνοὺς, ἔδωκε. ταύτης οὖν τῆς διατάξεως μεμνημένους, ἔρχεσθαι δεῖ ἐπὶ τὸ παιδεύεσθαι, οὐχ ἵν' ἀλλάξωμεν τὰς ὑποθέσεις. οὔτε γὰρ δίδοται ἡμῖν, οὔτ' ἄμεινον. ἀλλ' ἵνα οὕτως ἐχόντων τῶν περὶ ἡμᾶς ὡς ἔχει καὶ πέφυκεν, αὐτοὶ, τὴν γνώμην τὴν αὑτῶν συνηρμοσμένην τοῖς γινομένοις ἔχωμεν. τί γὰρ ἐνδέχεται φυγεῖν ἀνθρώπους; καὶ πῶς οἷόν τε. ἀλλὰ συνόντας αὐτοῖς, ἐκείνους ἀλλάξαι; καὶ τίς ἡμῖν δίδωσι. τί οὖν ἀπολείπεται· ἢ τίς εὑρίσκεται μηχανὴ πρὸς τὴν χρῆσιν αὐτῶν τοιαύτη, δι' ἧς ἐκεῖνοι μὲν ποιήσουσι τὰ φαινόμενα αὐτοῖς, ἡμεῖς δ' οὐδὲν ἧττον κατὰ φύσιν ἕξομεν; σὺ δὲ ταλαίπορος εἶ καὶ δυσάρεστος. κἂν μὲν μόνος ᾖς, ἐρημίαν καλεῖς τοῦτο, ἂν δὲ μετὰ ἀνθρώπων, ἐπιβούλους λέγεις καὶ λῃστάς. μέμφῃ δὲ καὶ γονεῖς τοὺς σεαυτοῦ, καὶ τέκνα, καὶ ἀδελφοὺς, καὶ γείτονας. ἔδει δὲ μόνον μένοντα,

/. δὲ

Nota

/. δὲ ταλαίπωρος

ἡσυχίαν καλεῖν αὐτὸ καὶ ἐλευθερίαν. καὶ ὅμοιον τοῖς θεοῖς ἡγεῖσθαι αὑτόν. μετὰ πολλῶν δ' ὄντα μὴ ὄχλον καλεῖν μηδὲ θόρυβον, μὴ δ' ἀηδίαν. ἀλλ' ἑορτὴν καὶ πανήγυριν. καὶ οὕτω πάντα εὐαρέστως δέχεσθαι. τίς οὖν ἡ κόλασις τοῖς οὐ προσδεχομένοις, τὸ οὕτως ἔχειν ὡς ἔχουσι. δυσαρεστεῖ τίς τῷ μόνος εἶναι; ἔστω ἐν ἐρημίᾳ. δυσαρεστεῖ τίς τοῖς γονεῦσιν, ἔστω κακὸς υἱὸς καὶ πενθείτω. δυσαρεστεῖ τοῖς τέκνοις; ἔστω κακὸς πατήρ. βάλε αὐτὸν εἰς φυλακήν. ὅπου νῦν ἐστιν. ἄκων γάρ ἐστιν. ὅπου δέ τις ἄκων ἐστίν, ἐκεῖνο φυλακὴ αὐτῷ ἐστι. καθὸ καὶ σωκράτης οὐκ ἦν ἐν φυλακῇ. ἑκὼν γὰρ ἦν. σκέλος οὖν μοι γενέσθαι πεπηρωμένον; ἀνδράποδον. εἶτα δι' ἓν σκελύδριον τῷ κόσμῳ ἐγκαλεῖς; οὐκ ἐπιδώσεις αὐτὸ τοῖς ὅλοις; οὐκ ἀποστήσῃ; οὐ χαίρων παραχωρήσεις τῷ δεδωκότι; ἀγανακτήσεις δὲ καὶ δυσαρεστήσεις τοῖς ὑπὸ τοῦ διὸς διατεταγμένοις, ἃ ἐκεῖνος μετὰ τῶν μοιρῶν παρουσῶν καὶ ἐπικλωθουσῶν σου τὴν γένεσιν ὥρισε καὶ διέταξεν; οὐκ οἶσθα ἡλίκον μέρος πρὸς τὰ ὅλα; τοῦτο δὲ κατὰ τὸ σῶμα. ὡς κατά γε τὸν λόγον, οὐδὲ χείρων τῶν θεῶν οὐδὲ μικρότερος. λόγου γὰρ μέγεθος, οὐ μήκει οὐδ' ὕψει κρίνεται, ἀλλὰ δόγμασιν. οὐ θέλεις οὖν καθ' ἃ ἴσος εἶ τοῖς θεοῖς, ἐκεῖ που τίθεσθαι τὸ ἀγαθόν; τάλας ἐγώ. τὸν πατέρα ἔχω τοιοῦτον καὶ τὴν μητέρα. τί οὖν, ἐδίδοτό σοι προελθόντι ἐκλέξασθαι καὶ εἰπεῖν, ὁ δεῖνα τῇ δεῖνα συνελθέτω τῇδε τῇ ὥρᾳ ἵνα ἐγὼ γένωμαι; οὐκ ἐδίδοτο. ἀλλ' ἔδει προϋποστῆναί σου τοὺς γονεῖς, εἶτα οὕτω γεννηθῆναι. ἐκ ποίων τινῶν. ἐκ τοιούτων ὁποῖοι ἦσαν. τί οὖν τοιούτων αὐτῶν ὄντων, οὐδεμία σοι δίδοται μηχανή; εἶτ' εἰ μὲν τὴν ὁρατικὴν δύναμιν ἠγνόεις πρὸς τί κέκτησαι, δυστυχὴς ἂν ἦς καὶ ἄθλιος εἰ κατέμυες προσαγόντων σοι τῶν χρωμάτων. ὅτι δὲ μεγαλοψυχίαν ἔχων καὶ γενναιότητα πρὸς ἕκαστα τούτων ἀγνοεῖς, οὐ δυστυχέστερος εἶ καὶ ἀθλιώτερος; προσάγεταί σοι τὰ κατάλληλα τῇ δυνάμει ἣν ἔχεις. σὺ δ' αὐτὴν τότε μάλιστα ἀποστρέφεις ὁπότε ἠνοιγμένην καὶ βλέπουσαν ἔχειν ἔδει. οὐ μᾶλλον εὐχαριστεῖς τοῖς θεοῖς ὅτι σε ἐπάνω τούτων ἀφῆκαν ὅσα μηδ' ἐποίησαν ἐπὶ σοί, μόνων δ' ὑπεύθυνον ἀπέφηναν τῶν ἐπὶ σοί. γονέων ἕνεκα, ἀνυπεύθυνον ἀφῆκαν, ἀδελφῶν ἕνεκα ἀφῆκαν, σώματος ἕνεκα, ἀφῆκαν. κτήσεως, θανάτου, ζωῆς. τίνος οὖν ὑπεύθυνόν σε ἐποίησεν; τοῦ μόνου ὄντος ἐπὶ σοί. χρήσεως οἵας δεῖ φαντασιῶν. τί οὖν ἐπισπᾶσαι σεαυτῷ ταῦτα, ὧν ἀνυπεύθυνος εἶ. τοῦτό ἐστιν ἑαυτῷ παρέχειν πράγματα.

Vbi qs est inuitus carcer est. Socrates

Deus animi

σκελύδριον. diminutiuũ ἀπὸ τοῦ σκέλος



### Πῶς ἕκαστά ἐστι ποιεῖν ἀρεστῶς θεοῖς. ιγ'.

Πυθομένου τινὸς πῶς ἔστιν ἐσθίειν ἀρεστῶς θεοῖς. εἰ δικαίως ἐστὶν ἔφη καὶ εὐγνωμόνως.

89

καὶ ἴσως καὶ ἐγκρατῶς καὶ κοσμίως, οὐκ ἔστι καὶ ἀρεστῶς τοῖς θεοῖς; ὅταν δὲ θερμὸν αἰτήσαντός σου μὴ ὑπακούσῃ ὁ παῖς, ἢ ὑπακούσας χλιαρώτερον ἐνέγκῃ, ἢ μηδὲ εὑρεθῇ ἐν τῇ οἰκίᾳ, τὸ μὴ χαλεπαίνειν μηδὲ ῥήγνυσθαι, οὐκ ἔστιν ἀρεστὸν τοῖς θεοῖς; πῶς οὖν τις ἀνάσχηται τῶν τοιούτων. ἀνδράποδον οὐκ ἀνέξῃ τοῦ ἀδελφοῦ τοῦ σαυτοῦ ὃς ἔχει τὸν Δία πρόγονον; ὥσπερ υἱὸς ἐκ τῶν αὐτῶν σπερμάτων γέγονε, καὶ τῆς αὐτῆς ἄνωθεν καταβολῆς. ἀλλ' εἰ ἔν τινι τοιαύτῃ χώρᾳ κατετάγης ὑπερεχούσῃ, εὐθὺς τύραννον καταστήσεις σεαυτόν; οὐ μεμνήσῃ τίς εἶ καὶ τίνων ἄρχεις; ὅτι συγγενῶν, ὅτι ἀδελφῶν φύσει, ὅτι τοῦ Διὸς ἀπογόνων; ἀλλ' ὠνὴν αὐτῶν ἔχω, ἐκεῖνοι δ' ἐμοῦ οὐκ ἔχουσιν. ὁρᾷς ποῦ βλέπεις; ὅτι εἰς τὴν γῆν; ὅτι εἰς τὸ βάραθρον; ὅτι εἰς τοὺς ταλαιπώρους τούτους νόμους τοὺς τῶν νεκρῶν, εἰς δὲ τοὺς τῶν θεῶν οὐ βλέπεις.

καταβολῆς
91
ὠνὴν 11 F

### Ὅτι πάντα ἐφορᾷ τὸ θεῖον. ιδʹ.

Πυνθανομένου δέ τινος πῶς ἄν τις πεισθείη ὅτι ἕκαστον τῶν ὑπ' αὐτοῦ πραττομένων ἐφορᾶται ὑπὸ τοῦ θεοῦ, οὐ δοκεῖ σοι ἔφη ἡνῶσθαι τὰ πάντα; δοκεῖ ἔφη. τί δέ, συμπαθεῖν τὰ ἐπίγεια τοῖς οὐρανίοις, οὐ δοκεῖ σοι; δοκεῖ ἔφη, πόθεν γὰρ οὕτω τεταγμένως καθάπερ ἐκ προστάγματος τοῦ θεοῦ ὅταν ἐκεῖνος εἴπῃ τοῖς φυτοῖς ἀνθεῖν, ἀνθεῖ. ὅταν

ὠνὴν αὐτῶν ἔχω



εἴπῃ βλαστάνειν, βλαστάνει. ὅταν ἐκφέρειν τὸν καρπὸν, ἐκφέρει. ὅταν πεπαίνειν, πεπαίνει. ὅταν πάλιν ἀποβάλλειν καὶ φυλλοῤῥοεῖν. καὶ αὐτὰ εἰς αὐτὰ συνειλούμενα ἐφ' ἡσυχίας μένειν καὶ ἀναπαύεσθαι, μένει καὶ ἀναπαύεται. πόθεν δὲ πρὸς τὴν αὔξησιν καὶ μείωσιν τῆς σελήνης, καὶ τὴν τοῦ ἡλίου πρόσοδον καὶ ἄφοδον, τοσαύτη παραλλαγὴ καὶ ἐπὶ τὰ ἐναντία μεταβολὴ τῶν ἐπιγείων θεωρεῖται. ἀλλὰ τὰ φυτὰ μὲν καὶ τὰ ἡμέτερα σώματα οὕτως ἐνδέδεται τοῖς ὅλοις καὶ συμπέπονθεν, αἱ ψυχαὶ δ' αἱ ἡμέτεραι οὐ πολὺ πλέον; ἀλλ' αἱ ψυχαὶ μὲν οὕτως εἰσὶν ἐνδεδεμέναι καὶ συναφεῖς τῷ θεῷ, ἅτε αὐτοῦ μόρια οὖσαι καὶ ἀποσπάσματα, οὐ παντὸς δ' αὐτῶν κινήματος ἅτε οἰκείου καὶ συμφυοῦς ὁ θεὸς αἰσθάνεται; ἀλλὰ σὺ μὲν περὶ τῆς θείας διοικήσεως. καὶ περὶ ἑκάστου τῶν θείων, ὁμοῦ δὲ καὶ περὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐνθυμεῖσθαι δύνασαι. καὶ ἅμα μὲν αἰσθητικῶς ἀπὸ μυρίων πραγμάτων κινεῖσθαι. ἅμα δὲ διανοητικῶς. ἅμα δὲ συγκαταθετικῶς. τοῖς δ' ἀνανευστικῶς, ἢ ἐφεκτικῶς. τύπους δὲ τοσούτους ἀφ' οὕτω πολλῶν καὶ ποικίλων πραγμάτων ἐν τῇ σαυτοῦ ψυχῇ φυλάττεις. καὶ ἀπ' αὐτῶν κινούμενος, εἰς ἐπινοίας ὁμοειδεῖς ἐμπίπτεις τοῖς πρώτως τετυπωκόσι τέχνας τ' ἄλλας ἐπ' ἄλλαις, καὶ μνήμας ἀπὸ μυρίων πραγμάτων διασώζεις. ὁ δὲ θεὸς οὐχ οἷός τ' ἐστὶ πάντα

92
12 F
Deus ÷ animus

ἐφορᾶν καὶ πᾶσι συμπερᾶναι, καὶ ἀπὸ πάντων τινὰ ἴσχειν διάδοσιν; ἀλλὰ φωτίζειν οἷός τέ ἐστιν ὁ ἥλιος τηλικοῦτον μέρος τοῦ παντός, ὀλίγον δὲ τὸ ἀφώτιστον ἀπολιπεῖν, ὅσον οἷόν τ' ἐπέχεσθαι ὑπὸ σκιᾶς ἣν ἡ γῆ ποιεῖ, ὁ δὲ καὶ τὸν ἥλιον αὐτὸν πεποιηκὼς καὶ περιάγων, μέρος ὄντα αὐτοῦ μικρὸν ὡς πρὸς τὸ ὅλον, οὗτος δ' οὐ δύναται πάντων αἰσθάνεσθαι; ἀλλ' ἐγώ, φησίν, οὐ δύναμαι πᾶσιν ἅμα τούτοις παρακολουθεῖν. τοῦτο δέ σοι καὶ λέγει τις, ὅτι ἴσην ἔχεις δύναμιν τῷ Διΐ; ἀλλ' ὅμως οὐδὲν ἧττον καὶ ἐπίτροπον ἑκάστῳ παρέστησε τὸν ἑκάστου δαίμονα, καὶ παρέδωκε φυλάσσειν αὐτὸν αὐτῷ, καὶ τοῦτον ἀκοίμητον καὶ ἀπαραλόγιστον. τίνι γὰρ ἄλλῳ κρείττονι καὶ ἐπιμελεστέρῳ φύλακι παρέδωκεν ἡμῶν ἕκαστον; ὥστε ὅταν κλείσητε τὰς θύρας, καὶ σκότος ἔνδον ποιήσητε, μέμνησθε μηδέποτε λέγειν ὅτι μόνοι ἐστέ, οὐ γάρ ἐστε· ἀλλ' ὁ θεὸς ἔνδον ἐστί, καὶ ὁ ὑμέτερος δαίμων ἐστί. καὶ τίς τούτοις χρεία φωτὸς εἰς τὸ βλέπειν τί ποιεῖτε; τούτῳ τῷ θεῷ ἔδει καὶ ὑμᾶς ὀμνύειν ὅρκον, οἷον οἱ στρατιῶται τῷ καίσαρι. ἀλλ' ἐκεῖνοι μὲν τὴν μισθοφορίαν λαμβάνοντες, ὀμνύουσι πάντων προτιμήσειν τὴν τοῦ καίσαρος σωτηρίαν. ὑμεῖς δὲ δέον τοσούτων καὶ τηλικούτων ἠξιωμένοι, οὐκ ὀμόσετε; ἢ ὀμόσαντες οὐκ ἐμμενεῖτε; καὶ τί ὀμόσετε; μὴ ἀπειθήσειν μηδέποτε, μὴ ἐγκαλέσειν, μὴ μέμψασθαί τι

Dæmō hominis custos

ψασθαί τι



ψασθαί τι τῶν ὑπ' ἐκείνου δεδομένων. μηδ' ἄκων τις ποιήσειν τι ἢ πείσεσθαι τῶν ἀναγκαίων. ὅμοιός γε ὁ ὅρκος οὗτος ἐκείνῳ. ἐκεῖ μὲν ὀμνύουσιν αὐτοῦ μὴ προτιμήσειν ἕτερον, ἐνταῦθα δ' αὐτὸν ἁπάντων.

## Τί ἐπαγγέλλεται φιλοσοφία. ιε'.

Συμβουλευομένου τινὸς πῶς τὸν ἀδελφὸν πείσει μηκέτι χαλεπῶς αὐτῷ ἔχειν, οὐκ ἐπαγγέλλεται, ἔφη, φιλοσοφία τῶν ἐκτός τι περιποιήσειν τῷ ἀνθρώπῳ· εἰ δὲ μή, ἔξω τι τῆς ἰδίας ὕλης ἀναδέξεται. ὡς γὰρ τέκτονος ὕλη τὰ ξύλα, ἀνδριαντοποιοῦ ὁ χαλκός, οὕτω τῆς περὶ βίον τέχνης ὕλη ὁ βίος αὐτοῦ ἑκάστου. τί οὖν ὁ τοῦ ἀδελφοῦ; πάλιν τῆς αὐτοῦ ἐκείνου τέχνης ἐστί· πρὸς δὲ τὴν σὴν τῶν ἐκτός ἐστιν, ὅμοιον ἀγρῷ, ὅμοιον ὑγείᾳ, ὅμοιον εὐδοξίᾳ. τούτων δ' οὐδὲν ἐπαγγέλλεται φιλοσοφία. ἐν πάσῃ περιστάσει τηρήσω τὸ ἡγεμονικὸν κατὰ φύσιν ἔχον. τὸ τινός; τὸ ἐκείνου ἐν ᾧ εἰμί. πῶς οὖν ἐκεῖνός μοι μὴ ὀργίζεται; φέρε μοι ἐκεῖνον, κἀκείνῳ ἐρῶ· σοὶ δὲ περὶ τῆς ἐκείνου ὀργῆς οὐδὲν ἔχω λέγειν. εἰπόντος δὲ τοῦ συμβουλευομένου, ἔπειτα τοῦτο ζητῶ, πῶς ἂν ἐκείνου καὶ μὴ διαλλασσομένου κατὰ φύσιν ἔχοιμι, οὐδέν, ἔφη, τῶν μεγάλων ἄφνω γίνεται· ὅπου γε οὐδ' ὁ βότρυς, οὐδὲ σῦκον. ἄν μοι νῦν λέγῃς ὅτι θέλω σῦκον, ἀποκρινοῦμαί σοι ὅτι χρόνου δεῖ. ἄφες ἀνθῆσαι πρῶτον, εἶτα προβαλεῖν



τὸν καρπόν, εἶτα πεπανθῇ. εἶτα συκῆς μὲν καρπὸς ἄφνω καὶ μιᾷ ὥρᾳ οὐ τελειοῦται· γνώμης δ' ἀνθρώπου καρπὸν θέλεις οὕτω δι' ὀλίγου καὶ εὐκόλως κτήσασθαι; μὴ δ' ἂν ἐγώ σοι λέγω προσδόκα.

## Περὶ προνοίας. ις'.

Μὴ θαυμάζετε εἰ τοῖς μὲν ἄλλοις ζώοις τὰ πρὸς τὸ σῶμα ἕτοιμα γέγονεν, οὐ μόνον τροφὴ καὶ πόμα, ἀλλὰ καὶ κοῖται· καὶ τὸ μὴ δεῖσθαι ὑποδημάτων, μὴ ὑποστρωμάτων, μὴ ἐσθῆτος· ἡμεῖς δὲ πάντων τούτων προσδεόμεθα. τὰ γὰρ οὐκ αὑτῶν ἕνεκα ἀλλὰ πρὸς ὑπηρεσίαν γεγονότα, οὐκ ἐλυσιτέλει προσδεόμενα ἄλλων πεποιηκέναι. ἐπεὶ ὅρα οἷον ἦν, ἡμᾶς φροντίζειν μὴ περὶ αὑτῶν μόνον, ἀλλὰ καὶ περὶ τῶν προβάτων καὶ τῶν ὄνων. πῶς ἐνδύσεται· καὶ πῶς ὑποδήσεται· πῶς φάγῃ· πῶς πίῃ. ἀλλ' ὥσπερ οἱ στρατιῶται ἕτοιμοί εἰσι τῷ στρατηγῷ ὑποδεδεμένοι, ἐνδεδυμένοι, ὡπλισμένοι· εἰ δ' ἔδει περιερχόμενον τὸν χιλίαρχον ὑποδεῖν ἢ ἐνδύειν τοῖς χιλίοις, δεινὸν ἂν ἦν, οὕτω καὶ ἡ φύσις πεποίηκε τὰ πρὸς ὑπηρεσίαν γεγονότα ἕτοιμα παρεσκευασμένα, μηδεμιᾶς ἐπιμελείας ἔτι προσδεόμενα. οὕτως ἓν παιδίον μικρὸν καὶ ῥάβδῳ ἐλαύνει τὰ πρόβατα. νῦν δ' ἡμεῖς ἀφέντες ἐπὶ τούτοις εὐχαριστεῖν ὅτι μὴ καὶ αὐτῶν τὴν ἴσην ἐπιμέλειαν ἐπιμελούμεθα, ἐφ' αὑτοῖς ἐγκαλοῦμεν τῷ θεῷ. καί-



τοι νὴ τὸν Δία καὶ τοὺς θεούς, ἓν τῶν γεγονότων ἀπήρκει πρὸς τὸ αἰσθέσθαι τῆς προνοίας, τῷ γε αἰδήμονι καὶ εὐχαρίστῳ. καὶ μή μοι νῦν τὰ μεγάλα. αὐτὸ τοῦτο τὸ ἐκ πόας γάλα γεννᾶσθαι. καὶ ἐκ γάλακτος τυρόν. καὶ ἐκ δέρματος ἔρια, τίς ἐστιν ὁ πεποιηκὼς ταῦτα ἢ ἐπινενοηκώς; οὐδὲ εἷς φησιν. ὢ μεγάλης ἀναισχυντίας καὶ ἀναισθησίας. ἄγε ἀφῶμεν τὰ ἔργα τῆς φύσεως. τὰ πάρεργα αὐτῆς θεασώμεθα. μή τι ἀχρηστότερον τριχῶν τῶν ἐπὶ γενείου; τί οὖν, οὐ συνεχρήσατο καὶ ταύταις ὡς μάλιστα πρεπόντως ἐδύνατο; οὐ διέκρινε δι' αὐτῶν τὸ ἄρρεν καὶ τὸ θῆλυ; οὐκ εὐθὺς μακρόθεν κέκραγεν ἡμῶν ἑκάστου ἡ φύσις, ἀνήρ εἰμι· οὕτω μοι προσέρχου, οὕτω μοι λάλει; ἄλλο μηδὲν ζήτει; ἰδοὺ τὰ σύμβολα; πάλιν ἐπὶ τῶν γυναικῶν ὥσπερ ἐν τῇ φωνῇ τι ἐγκατέμιξεν ἁπαλώτερον, οὕτως καὶ τὰς τρίχας ἀφεῖλεν. οὔ. ἀλλ' ἀδιάκριτον ἔδει τὸ ζῷον ἀπολειφθῆναι. καὶ κηρύσσειν ἕκαστον ἡμῶν ὅτι ἀνήρ εἰμι. πῶς δὲ οὐ καλὸν τὸ σύμβολον καὶ εὐπρεπὲς καὶ σεμνόν. πόσῳ κάλλιον τοῦ τῶν ἀλεκτρυόνων λόφου. πόσῳ μεγαλοπρεπέστερον τῆς χαίτης τῶν λεόντων. διὰ τοῦτο ἔδει σῴζειν τὰ σύμβολα τοῦ θεοῦ. ἔδει αὐτὰ μὴ καταπροΐεσθαι. μηδὲ συγχεῖν ὅσον ἐφ' ἑαυτοῖς, τὰ γένη τὰ διῃρημένα. ταῦτα ἐξαρκεῖ λόγος ὁμοίως αὐτὰ ἐπαινέσαι ἢ παραστῆσαι; εἰ γὰρ νοῦν εἴχομεν, ἄλλο τι ἔδει

ἡμᾶς ποιεῖν καὶ κοινῇ καὶ ἰδίᾳ, ἢ ὑμνεῖν τὸ θεῖον καὶ εὐφημεῖν καὶ ἐπεξέρχεσθαι τὰς χάριτας; οὐκ ἔδει καὶ σκάπτοντας καὶ ἀροῦντας καὶ ἐσθίοντας, ᾄδειν τὸν ὕμνον τὸν εἰς τὸν θεόν; μέγας ὁ θεὸς ὅτι ἡμῖν παρέσχεν ὄργανα ταῦτα δι' ὧν τὴν γῆν ἐργασόμεθα; μέγας ὁ θεὸς ὅτι χεῖρας δέδωκεν, ὅτι καταπόσιν, ὅτι κοιλίαν, ὅτι αὔξεσθαι λεληθότως, ὅτι καθεύδοντας ἀναπνεῖν. ταῦτα ἐφ' ἑκάστου ἐφυμνεῖν ἔδει. καὶ τὸν μέγιστον καὶ θειότατον ὕμνον ἐφυμνεῖν, ὅτι τὴν δύναμιν ἔδωκε τὴν παρακολουθητικὴν τούτων καὶ ὁδῷ χρηστικήν. τί οὖν. ἐπεὶ οἱ πολλοὶ ἀποτετύφλωσθε, οὐκ ἔδει τινὰ εἶναι τὸν ταύτην ἐκπληροῦντα τὴν χώραν καὶ ὑπὲρ πάντων ᾄδοντα τὸν ὕμνον τὸν εἰς τὸν θεόν; τί γὰρ ἄλλο δύναμαι γέρων χωλός, εἰ μὴ ὑμνεῖν τὸν θεόν; εἰ γοῦν ἀηδὼν ἤμην, ἐποίουν τὰ τῆς ἀηδόνος. εἰ κύκνος, τὰ τοῦ κύκνου. νῦν δὲ λογικός εἰμι. ὑμνεῖν με δεῖ τὸν θεόν. τοῦτό μου τὸ ἔργον ἐστί. ποιῶ αὐτό. οὐδ' ἐγκαταλείψω τὴν τάξιν ταύτην ἐφ' ὅσον ἂν διδῶται. καὶ ὑμᾶς ἐπὶ τὴν αὐτὴν ταύτην ᾠδὴν παρακαλῶ.

### Ὅτι ἀναγκαῖα τὰ λογικά. ιζʹ.

Ἐπειδὴ λόγος ἐστὶν ὁ διαρθρῶν καὶ ἐξεργαζόμενος τὰ λοιπά, ἔδει δ' αὐτὸν μὴ ἀδιάρθρωτον εἶναι, ὑπὸ τίνος διαρθρωθῇ. δῆλον γὰρ ὅτι



ἢ ὑφ' αὑτοῦ, ἢ ὑπ' ἄλλου. ἤτοι οὖν λόγος ἐστὶν ἐκεῖνος, ἢ ἄλλο τι κρεῖσσον ἔσται τοῦ λόγου. ὅπερ ἀδύνατον. εἰ λόγος, ἐκεῖνον πάλιν τίς διαρθρώσει. εἰ γὰρ αὐτὸς ἑαυτὸν δύναται, καὶ οὗτος. εἰ ἄλλου δεησόμεθα, ἄπειρον ἔσται τοῦτο καὶ ἀκατάληκτον. ναί. ἀλλ' ἐπείγει μᾶλλον θεραπεύειν καὶ τὰ ὅμοια. θέλεις οὖν περὶ ἐκείνων ἀκούειν, ἄκουε. ἀλλ' ἄν μοι λέγῃς ὅτι οὐκ οἶδα πότερον ἀληθῶς ἢ ψευδῶς διαλέγῃ, κἄν τι κατ' ἀμφίβολον φωνὴν εἴπω, καὶ λέγῃς μοι διάστειξον, οὐκέτι ἀνέξομαί σου. ἀλλ' ἐρῶ σοι. ἀλλ' ἐπείγει μᾶλλον. διὰ τοῦτο γάρ, οἶμαι, προτάσσουσι τὰ λογικά. καθάπερ τῆς μετρήσεως τοῦ σίτου, προτάσσομεν τὴν τοῦ μέτρου ἐπίσκεψιν. ἂν δὲ μὴ διαλάβωμεν πρῶτον τί ἐστι μόδιος, μηδὲ διαλάβωμεν πρῶτον τί ἐστι ζυγός, πῶς ἔτι μετρῆσαί τι ἢ στῆσαι δυνησόμεθα. ἐνταῦθα οὖν τὸ τῶν ἄλλων κριτήριον καὶ δι' οὗ τἆλλα καταμανθάνεται, μὴ καταμεμαθηκότες μηδ' ἠκριβωκότες, δυνησόμεθά τι τῶν ἄλλων ἀκριβῶσαι καὶ καταμαθεῖν; καὶ πῶς οἷόν τε. ναί. ἀλλ' ὁ μόδιος ξύλον ἐστὶ καὶ ἄκαρπον. ἀλλὰ μετρητικὸν σίτου. καὶ τὰ λογικὰ ἄκαρπά ἐστι. καὶ περὶ τούτου μὲν ὀψόμεθα. εἰ δ' οὖν καὶ τοῦτο δοίη τις, ἐκεῖνο ἀπαρκεῖ ὅτι τῶν ἄλλων ἐστὶ διακριτικὰ καὶ ἐπισκεπτικά. καὶ ὡς ἄν τις εἴποι, μετρητικὰ καὶ στατικά. τίς λέγει ταῦτα. μόνος Χρύσιππος καὶ

Zenó ζήνων καὶ κλεάνθης, ἀντισθένης δ᾽ οὐ λέγει; καὶ τίς 100
Cleathes ἐστὶν ὁ γεγραφὼς ὅτι ἀρχὴ παιδεύσεως ἡ τῶν ὀνο- 40
Antisthenes μάτων ἐπίσκεψις. σωκράτης δ᾽ οὐ λέγει; καὶ περὶ τί-
νος γράφει ξενοφῶν ὅτι ἤρχετο ἀπὸ τῆς τῶν ὀνο-
Xenophó μάτων ἐπισκέψεως τί σημαίνει ἕκαστον. ἆρ᾽ οὖν
τοῦτό ἐστι τὸ μέγα καὶ θαυμαστὸν, νοῆσαι χρύσιπ-
πον ἢ ἐξηγήσασθαι; καὶ τίς λέγει τοῦτο. τί οὖν τὸ
θαυμαστόν ἐστι; νοῆσαι τὸ βούλημα τῆς φύσεως. τί
οὖν αὐτὸς διὰ σεαυτοῦ παρακολουθεῖς. καὶ τίνος
ἔτι χρείαν ἔχεις. εἰ γὰρ ἀληθές ἐστι τὸ πάντας ἄκον-
τας ἁμαρτάνειν, σὺ δὲ καταμεμάθηκας τὴν ἀ-
λήθειαν, ἀνάγκη σε ἤδη κατορθοῦν. ἀλλὰ νὴ δία
οὐ παρακολουθῶ τῷ βουλήματι τῆς φύσεως. τίς
Chrysipp οὖν ἐξηγεῖται αὐτό. λέγουσιν ὅτι χρύσιππος. ἔρ-
χομαι καὶ ἐπιζητῶ τί λέγει. οὗτος ἐξηγητὴς τῆς
φύσεως. ἄρχομαι μὴ νοεῖν τί λέγει. ζητῶ τὸν ἐ-
ξηγούμενον. ἴδε ἐπισκέψαι πῶς τοῦτο λέγεται κα-
θάπερ εἰ ῥωμαϊστί. ποία οὖν ἐνθάδ᾽ ὀφρὺς τοῦ ἐ-
ξηγουμένου. οὐδ᾽ αὐτοῦ χρυσίππου. δικαίως εἰ
μόνον ἐξηγεῖται τὸ βούλημα τῆς φύσεως, αὐτὸς
δ᾽ οὐκ ἀκολουθεῖ, πόσῳ πλέον τοῦ ἐκεῖνον ἐξη-
Chrysipp γουμένου. οὐδὲ γὰρ χρυσίππου χρείαν ἔχομεν
δι᾽ αὐτόν. ἀλλ᾽ ἵνα παρακολουθήσωμεν τῇ φύσει.
οὐδὲ γὰρ τοῦ θύτου δι᾽ αὐτόν. ἀλλ᾽ ὅτι δι᾽ ἐκείνου κα-
τανοήσειν οἰόμεθα τὰ μέλλοντα καὶ σημαινόμε-
να ὑπὸ τῶν θεῶν. οὐδὲ τῶν σπλάγχνων δι᾽ αὐ-



τά. ἀλλ᾽ ὅτι δι᾽ ἐκείνων σημαίνεται. οὐδὲ τὸν κό-
ρακα θαυμάζομεν ἢ τὴν κορώνην. ἀλλὰ τὸν θεὸν
σημαίνοντα διὰ τούτων. ἔρχομαι τοίνυν ἐπὶ τὸν
ἐξηγητὴν τοῦτον καὶ θύτην. καὶ λέγω ὅτι ἐπί-
σκεψαί μοι τὰ σπλάγχνα τί μοι σημαίνεται.
λαβὼν καὶ ἀναπτύξας ἐκεῖνος, ἐξηγεῖται. ὅτι
ἄνθρωπε προαίρεσιν ἔχεις ἀκώλυτον φύσει καὶ
ἀνανάγκαστον. τοῦτο ἐνταῦθα ἐν τοῖς σπλάγ-
χνοις γέγραπται. δείξω σοι αὐτὸ πρῶτον ἐπὶ τοῦ
συγκαταθετικοῦ τόπου. μή τίς σε κωλῦσαι δύ-
ναται ἐπινεῦσαι ἀληθεῖ; οὐδὲ εἷς. μή τίς σε ἀ-
ναγκάσαι δύναται παραδέξασθαι τὸ ψεῦδος;
οὐδὲ εἷς. ὁρᾷς ὅτι ἐν τούτῳ τῷ τόπῳ τὸ προ-
αιρετικὸν ἔχεις ἀκώλυτον, ἀνανάγκαστον, ἀπα-
ραπόδιστον; ἄγε. ἐπὶ δὲ τοῦ ὀρεκτικοῦ καὶ ὁρ-
μητικοῦ ἄλλως ἔχει; καὶ τίς ὁρμὴν νικῆσαι δύ-
ναται. ἢ ἄλλη ὁρμή. τίς δ᾽ ὄρεξιν καὶ ἔκκλισιν.
ἢ ἄλλη ὄρεξις καὶ ἔκκλισις. ἄν μοι φησὶ προσά-
γῃ θανάτου φόβον, ἀναγκάζει με. οὐ τὸ προσα-
γόμενον. ἀλλ᾽ ὅτι δοκεῖ σοι κρεῖττον εἶναι ποιῆ-
σαί τι τούτων ἢ ἀποθανεῖν, πάλιν οὖν τὸ σὸν δό- 102
γμα σε ἠνάγκασε. τουτέστι προαίρεσιν προαίρε- 60
σις. εἰ γὰρ τὸ ἴδιον μέρος ὃ ἡμῖν ἔδωκεν ἀποσπά-
σας ὁ θεὸς ὑπ᾽ αὐτοῦ ἢ ὑπ᾽ ἄλλου τινὸς, κωλυτὸν ἢ
ἀναγκαστὸν κατεσκευάκει, οὐκέτι ἂν ἦν θεὸς
οὐδ᾽ ἐπεμελεῖτο ἡμῶν, ὃν δεῖ τρόπον. ταῦτα εὑρί-



γρ. κινῆσαι

σκω φησὶν ἐν τοῖς ἱεροῖς. ταῦτά σοι σημαίνεται· ἐὰν θέλῃς, ἐλεύθερος εἶ. ἐὰν θέλῃς μέμψῃ οὐδένα. ἐγκαλέσεις οὐδενί. πάντα κατὰ γνώμην ἅμα ἔσται τὴν σὴν καὶ τὴν τοῦ θεοῦ. διὰ ταύτην τὴν μαντείαν ἔρχομαι ἐπὶ τὸν θύτην τοῦτον καὶ τὸν φιλόσοφον. οὐκ αὐτὸν θαυμάσας ἕνεκά γε τῆς ἐξηγήσεως. ἀλλ' ἐκεῖνα ἃ ἐξηγεῖται.

## Ὅτι οὐ δεῖ χαλεπαίνειν τοῖς ἁμαρτανομένοις. ιη.

Εἰ ἀληθές ἐστι τὸ ὑπὸ τῶν φιλοσόφων λεγόμενον ὅτι πᾶσιν ἀνθρώποις μία ἀρχὴ καθάπερ τοῦ συγκατατίθεσθαι τὸ παθεῖν ὅτι ὑπάρχει. καὶ τοῦ ἀνανεῦσαι τὸ παθεῖν ὅτι οὐχ ὑπάρχει. καὶ νὴ δία τοῦ ἐπισχεῖν τὸ παθεῖν ὅτι ἄδηλόν ἐστιν, οὕτω καὶ τοῦ ὁρμῆσαι ἐπί τι τὸ παθεῖν, ὅτι ἐμοὶ συμφέρει. ἀμήχανον δ' ἄλλο μὲν κρίνειν τὸ συμφέρον. ἄλλου δ' ὀρέγεσθαι. καὶ ἄλλο μὲν κρίνειν καθῆκον, ἐπ' ἄλλο δ' ὁρμᾶν. τί ἔτι τοῖς πολλοῖς χαλεπαίνομεν. κλέπται φησὶν εἰσὶ καὶ λωποδύται. τί ἐστι τὸ κλέπται καὶ λωποδύται. πεπλάνηνται περὶ ἀγαθῶν καὶ κακῶν. χαλεπαίνειν οὖν δεῖ αὐτοῖς, ἢ ἐλεεῖν αὐτούς. ἀλλὰ δεῖξον τὴν πλάνην. καὶ ὄψει πῶς ἀφίστανται τῶν ἁμαρτημάτων. ἐὰν μὴ βλέπωσιν, οὐδὲν ἔχουσιν ἀνώτερον τοῦ δοκοῦντος αὐτοῖς. τοῦτον οὖν τὸν λῃστὴν καὶ τοῦτον τὸν μοιχὸν οὐκ ἔδει ἀπολωλέναι; μηδαμῶς. ἀλλ' ἐκεῖνον μᾶλλον τοῦτον τὸν πεπλανημένον καὶ ἐξηπατημένον περὶ τῶν μεγίστων καὶ ἀποτετυφλωμένον. οὐ τὴν ὄψιν τὴν διακριτικὴν τῶν λευκῶν καὶ μελάνων. ἀλλὰ τὴν γνώμην τὴν διακριτικὴν τῶν ἀγαθῶν καὶ τῶν κακῶν, μὴ ἀπολλύωμεν. κἂν οὕτω λέγῃς, γνώσῃ πῶς ἀπάνθρωπόν ἐστιν ὃ λέγεις. καὶ ὅτι ἐκείνῳ ὅμοιον. τοῦτον οὖν τὸν τυφλὸν μὴ ἀπολλύωμεν καὶ τὸν κωφόν. εἰ γὰρ μεγίστη βλάβη ἡ τῶν μεγίστων. ὅτι δ' ἐν ἑκάστῳ ἡ προαίρεσις, οἵα δεῖ. καὶ τούτου στέρεταί τις, τί ἔτι χαλεπαίνεις αὐτῷ; ἄνθρωπε. οὐ σὲ δεῖ παρὰ φύσιν ἐπ' ἀλλοτρίοις κακοῖς διατίθεσθαι. ἐλέει αὐτὸν μᾶλλον, ἢ μὴ θαύμαζε τὸ κάλλος τῆς γυναικός. καὶ τῷ μοιχῷ οὐ χαλεπαίνεις. γνῶθι ὅτι κλέπτης καὶ μοιχὸς ἐν τοῖς σοῖς τόπον οὐκ ἔχει. ἐν δὲ τοῖς ἀλλοτρίοις καὶ τοῖς οὐκ ἐπὶ σοί. ταῦτα εἰ ἀφῇς καὶ παρὰ μηδὲν ἡγήσῃ, τίνι ἔτι χαλεπαίνεις. μέχρι δ' ἂν ταῦτα θαυμάζῃς, σαυτῷ χαλέπαινε μᾶλλον ἢ ἐκείνοις. σκόπει γάρ, ἔχεις καλὰ ἱμάτια. ὁ γείτων σου οὐκ ἔχει. θυρίδα ἔχεις. θέλεις αὐτὰ ψῦξαι. οὐκ οἶδεν ἐκεῖνος τί τὸ ἀγαθόν ἐστι τοῦ ἀνθρώπου. ἀλλὰ φαντάζεται ὅτι τὸ ἔχειν καλὰ ἱμάτια. τοῦτο ὃ καὶ σὺ φαντάζῃ. εἶτα μὴ ἔλθῃ καὶ ἄρῃ αὐτά. ἀλλὰ σὺ πλακοῦντα δεικνύων ἀνθρώποις λύχνοις καὶ μόνον αὐτὸς καταπίνων, οὐ θέλεις ἵνα αὐτὸν

περιπέσωσι; μὴ ἐρέθιζε αὐτούς. θυρεὸδε μὴ ἔχε. μὴ ψῦχε σου τὰ ἱμάτια. κἀγὼ πρώην σιδηροῦν λύχνον ἔχων παρὰ τοῖς θεοῖς ἀκούσας ψόφον τῆς θυρίδος, κατέδραμον. εὗρον ἡρπασμένον τὸν λύχνον. ἐπελογισάμην ὅτι ἔπαθέ τι ὁ ἄρας οὐκ ἀπίθανον. τί οὖν; αὔριον φημὶ ὀστράκινον εὑρήσεις. ἐκεῖνα γὰρ τίς ἀπολλύει, ἃ ἔχει. ἀπώλεσά μου τὸ ἱμάτιον. εἶχες γὰρ ἱμάτιον. ἀλγῶ τὴν κεφαλήν. μήτι κέρατα ἀλγεῖς; τί οὖν ἀγανακτεῖς; τούτων γὰρ αἱ ἀπώλειαι, τούτων οἱ πόνοι, ὧν καὶ αἱ κτήσεις. ἀλλ' ὁ τύραννος δήσει. τί; τὸ σκέλος; ἀλλ' ἀφελεῖ. τί; τὸν τράχηλον; τί οὖν οὐ δήσει, οὐδ' ἀφελεῖ; τὴν προαίρεσιν. διὰ τοῦτο παρήγγελλον οἱ παλαιοὶ τὸ γνῶθι σαυτόν. τί οὖν ἔδει; νὴ τοὺς θεοὺς μελετᾶν ἐπὶ τῶν μικρῶν, καὶ ἀπ' ἐκείνων ἀρχομένους, διαβαίνειν ἐπὶ τὰ μείζω. κεφαλὴν ἀλγῶ. οἴμοι μὴ λέγε. ὠτίον ἀλγῶ. οἴμοι μὴ λέγε. καὶ οὐ λέγω ὅτι οὐ δέδοται στενάξαι. ἀλλὰ ἔσωθέν τοι μὴ στενάξῃς. μηδ' ἂν βραδέως τὸν ἐπίδεσμον ὁ παῖς φέρῃ, κραύγαζε καὶ σπῶ καὶ λέγε, πάντες με μισοῦσι. τίς γὰρ μὴ μισήσει τὸν τοιοῦτο; τούτοις τὸ λοιπὸν πεποιθὼς τοῖς δόγμασιν, ὀρθὸς περιπάτει. ἐλεύθερος. οὐχὶ τῷ μεγέθει πεποιθὼς τοῦ σώματος ὥσπερ ἀθλητής. οὐ γὰρ ὡς ὄνον ἀήττητον εἶναι. τίς οὖν ὁ ἀήττητος; ὃν οὐκ ἐξίστησιν οὐδὲν τῶν ἀπροαιρέτων. εἶτα λοιπὸν ἐπὶ καὶ ἑκάστην τῶν περιστάσεων



ἐπερχόμενος, καταμανθάνω ὡς ἐπὶ τοῦ ἀθλητοῦ. οὗτος ἐξεβίασε τὸν πρῶτον κλῆρον. τί οὖν τὸν δεύτερον; τί δ' ἂν καῦμα ᾖ; τί δ' ἐν ὀλυμπίᾳ; καὶ ἐνταῦθα ὡσαύτως. ἂν ἀργυρίδιον προβάλῃς, καταφρονήσει. τί ἐὰν κορασίδιον; τί οὖν ἂν ἐν σκότῳ; τί οὖν ἂν δοξάριον; τί οὖν ἂν λοιδορίαν; τί δ' ἂν ἔπαινον; τί δ' ἂν θάνατον; δύναται ταῦτα πάντα νικῆσαι. τί οὖν ἂν καῦμα ᾖ, τοῦτο ἐστί. τί ἂν ὑόμενος ᾖ; τί ἂν μελαγχολῶν; τί ἐν ὕπνοις; οὗτός μοι ἐστὶν ὁ ἀνίκητος ἀθλητής.

## Πῶς ἔχειν δεῖ πρὸς τυράννους. ιθ'.

Ὅτι ἄν τινι προσῇ τι πλεονέκτημα, ἢ δοκῇ γε προσεῖναι μὴ προσόν, τοῦτον πᾶσα ἀνάγκη ἐὰν ἀπαίδευτος ᾖ, πεφυσῆσθαι δι' αὐτό. εὐθὺς ὁ τύραννος λέγει. ἐγώ εἰμι ὁ πάντων κράτιστος. καὶ τί μοι δύνασαι παρασχεῖν. ὄρεξίν μοι δύνασαι περιποιῆσαι ἀκώλυτον; πόθεν σοι. σὺ γὰρ ἔχεις ἔκκλισιν ἀπερίπτωτον; σὺ γὰρ ἔχεις ὁρμὴν ἀναμάρτητον; καὶ ποῦ σοι μέτεστιν. ἄγε. ἐν νηὶ δὲ, σαυτῷ θαρρεῖς, ἢ τῷ εἰδότι; ἐπὶ δ' ἅρματος τίνι; ἢ τῷ εἰδότι; τί δ' ἐν ταῖς ἄλλαις τέχναις; ὡσαύτως. τί οὖν δύνασαι. πάντες με θεραπεύουσι. καὶ γὰρ ἐγὼ τὸ πινάκιον θεραπεύω. καὶ πλύνω αὐτὸ καὶ ἐκμάσσω. καὶ τῆς λη-

107 / 11 G

κύθου ἕνεκα πάντα ποιῶ. τί οὖν. ταῦτά μου κρείττονά ἐστιν; οὔ. ἀλλὰ χρείαν μοι παρέχει τινά. ταύτης οὖν ἕνεκα θεραπεύω αὐτά. τί δέ. τὸν ὄνον οὐ θεραπεύω; οὐ νίπτω αὐτοῦ τοὺς πόδας; οὐ περικαθαίρω; οὐκ οἶδας ὅτι πᾶς ἄνθρωπος ἑαυτὸν θεραπεύει; σὲ δ' οὕτως ὡς τὸν ὄνον. ἐπεὶ τίς σε θεραπεύει ὡς ἄνθρωπον, δείκνυε. τίς σοι θέλει ὅμοιος γενέσθαι. τίς σου ζηλωτὴς γίνεται ὡς Σωκράτους; ἀλλὰ δύναμαί σε τραχηλοκοπῆσαι. καλῶς λέγεις. ἐξελαθόμην ὅτι σε δεῖ θεραπεύειν καὶ ὡς πυρετόν. καὶ ὡς χολέραν. καὶ βωμὸν στῆσαι. ὡς ἐν Ῥώμῃ πυρετοῦ βωμός ἐστι. τί οὖν ἐστι τὸ ταράσσον καὶ καταπλῆττον τοὺς πολλούς. ὁ τύραννος καὶ οἱ δορυφόροι. πόθεν. μὴ γένοιτο. οὐκ ἐνδέχεται τὸ φύσει ἐλεύθερον, ὑπ' ἄλλου τινὸς ταραχθῆναι ἢ κωλυθῆναι, πλὴν ὑφ' ἑαυτοῦ. ἀλλὰ τὰ δόγματα αὐτὸν ταράσσει. ὅταν γὰρ ὁ τύραννος εἴπῃ τινὶ δήσω σου τὸ σκέλος. ὁ μὲν τὸ σκέλος τετιμηκώς, λέγει μή. ἐλέησον. ὁ δὲ τὴν προαίρεσιν τὴν ἑαυτοῦ λέγει. εἴ σοι λυσιτελέστερον φαίνεται, δῆσον. οὐκ ἐπιστρέφῃ; οὐκ ἐπιστρέφομαι. ἐγώ σοι δείξω ὅτι κύριός εἰμι. πόθεν σύ. ἐμὲ ὁ Ζεὺς ἐλεύθερον ἀφῆκεν, ἢ δοκεῖς ὅτι ἔμελλε τὸν ἴδιον υἱὸν ἐᾶν καταδουλοῦσθαι. τοῦ νεκροῦ δέ μου κύριος εἶ. λάβε αὐτόν. ὥσθ' ὅταν μοι προσίῃς, ἐμὲ οὐ θεραπεύεις; οὔ. ἀλλ' ἐμαυτόν. εἰ δὲ θέλεις με

108 / 12 G

Febris fanu Roma.

ι. λέγει



λέγειν ὅτι καὶ σέ; λέγω σοι, οὕτως. ὡς τὴν χύτραν. τοῦτο οὐκ ἔστι φίλαυτον. πέφυκε γὰρ οὕτως. τὸ ζῷον αὑτοῦ ἕνεκα πάντα ποιεῖ. καὶ γὰρ ὁ ἥλιος αὑτοῦ ἕνεκα πάντα ποιεῖ. καὶ τὸ λυπηρὸν αὐτὸς ὁ Ζεύς. ἀλλ' ὅταν θέλῃ εἶναι ὑέτιος καὶ ἐπικάρπιος καὶ πατὴρ ἀνδρῶν τε θεῶν τε, ὁρᾷς ὅτι τούτων τῶν ἔργων καὶ τῶν προσηγοριῶν οὐ δύναται τυχεῖν ἂν μὴ εἰς τὸ κοινὸν ὠφέλιμος ᾖ; καθόλου τε τοιαύτην φύσιν τοῦ λογικοῦ ζῴου κατεσκεύασεν, ἵνα μηδενὸς τῶν ἰδίων ἀγαθῶν δύνηται τυγχάνειν, ἂν μή τι εἰς τὸ κοινὸν ὠφέλιμον προσφέρηται. οὕτως οὐκέτι ἀκοινώνητον γίνεται τὸ πάντα αὑτοῦ ἕνεκα ποιεῖν. ἐπεὶ τί ἐκδέχῃ. ἵνα τις ἀποστῇ αὑτοῦ καὶ τοῦ ἰδίου συμφέροντος. καὶ πῶς ἔτι μία καὶ ἡ αὐτὴ ἀρχὴ πᾶσιν ἔστιν, ἡ πρὸς αὐτὰ οἰκείωσις. τί οὖν ὅταν ὑπῇ δόγματα ἀλλόκοτα περὶ τῶν ἀπροαιρέτων πῶς ὄντων ἀγαθῶν καὶ κακῶν, πᾶσα ἀνάγκη θεραπεύειν τοὺς τυράννους. ὤφελον γὰρ τοὺς τυράννους μόνον. τοὺς κοιτωνίτας δ' οὔ. πῶς δὲ καὶ φρόνιμος γίνεται ἐξαίφνης ὁ ἄνθρωπος ὅταν Καῖσαρ αὐτὸν ἐπὶ τοῦ λασάνου ποιήσῃ. πῶς εὐθὺς λέγομεν, φρονίμως μοι λελάληκε Φηλικίων. ἤθελον αὐτὸν ἀποβληθῆναι τοῦ κοπρῶνος, ἵνα πάλιν ἄφρων σοι δοκῇ. εἶχέ τινα Ἐπαφρόδιτος σκυτέα. ὃν διὰ τὸ ἄχρηστον εἶναι, ἐπώλησεν. εἶτα ἐκεῖνος κατά τινα

09 / 3

Felicio

Epaphroditus

λασάνου. vide hesychiu

δαίμονα ἀγορασθεὶς ὑπό τινος τῶν καισαριανῶν τοῦ καίσαρος σκυτεὺς ἐγένετο. εἶδες ἂν πῶς αὐτὸν ἐτίμα ὁ ἐπαφρόδιτος. τί πράσσει φηλικίων ὁ ἀγαθὸς, φιλῶ σε. εἶτα εἴ τις ἡμῶν ἐπύθετο τί ποιεῖ αὐτὸς, ἐλέγετο ὅτι μετὰ φηλικίωνος βουλεύεται περί τινος. οὐχὶ πεπράκει αὐτὸν ὡς ἄχρηστον; τίς οὖν αὐτὸν ἄφνω φρόνιμον ἐποίησε. τουτέστι τὸ τιμᾶν ἄλλο τι ἢ τὰ προαιρετικά. ἠξίωται δημαρχίας. πάντες οἱ ἀπαντῶντες συνήδονται. ἄλλος τοὺς ὀφθαλμοὺς καταφιλεῖ. ἄλλος τὸν τράχηλον. οἱ δοῦλοι τὰς χεῖρας. ἔρχεται εἰς οἶκον. εὑρίσκει λύχνους ἁπτομένους. ἀναβαίνει εἰς τὸ καπιτώλιον. ἐπιθύει. τίς οὖν πώποτε ὑπὲρ τοῦ ὀρεχθῆναι καλῶς, ἔθυσεν. ὑπὲρ τοῦ ὁρμῆσαι κατὰ φύσιν. ἐκεῖ γὰρ καὶ θεοῖς εὐχαριστοῦμεν, οὗ τοῦτο ἀγαθὸν τιθέμεθα. σήμερον τίς ὑπὲρ ἱερωσύνης ἐλάλει μοι τοῦ αὐγούστου. λέγω αὐτῷ. ἄνθρωπε ἄφες τὸ πρᾶγμα. δαπανήσεις πολλὰ εἰς οὐδέν. ἀλλ' οἱ τὰς φωνάς φησι γράφοντες, γράψουσι τὸ ἐμὸν ὄνομα. μή τι οὖν σὺ τοῖς ἀναγινώσκουσι λέγεις παρὼν, ἐμὲ γεγράφασιν. εἰ δὲ καὶ νῦν δύνασαι παρεῖναι πᾶσιν, ἐὰν ἀποθάνῃς, τί ποιήσεις. μενεῖ μου τὸ ὄνομα. γράψον αὐτὸ εἰς λίθον καὶ μενεῖ. ἄγε ἔξω δὲ νικοπόλεως τίς σου μνεία. ἀλλὰ χρυσοῦν στέφανον φορήσω. εἰ ἅπαξ ἐπιθυμεῖς στεφάνου ῥόδινον λαβὼν περίθου. ὄψει γὰρ κομψότερον.



### Περὶ τοῦ λόγου πῶς αὑτοῦ θεωρητικός ἐστιν. κ.

Πᾶσα τέχνη καὶ δύναμις, προηγουμένων τινῶν ἐστὶ θεωρητική. ὅταν μὲν οὖν ᾖ ὁμοειδὴς τοῖς θεωρουμένοις καὶ αὐτὴ, ἀναγκαίως καὶ αὑτῆς γίνεται θεωρητική. ὅταν δ' ᾖ, ὁμογενὴς οὐ δύναται θεωρεῖν ἑαυτήν. οἷον σκυτικὴ περὶ δέρματα ἀναστρέφεται. αὐτὴ δὲ παντελῶς ἀπήλλακται τῆς ὕλης τῶν δερμάτων. διὰ τοῦτο οὐκ ἔστιν αὑτῆς θεωρητική. γραμματικὴ πάλιν, περὶ τὴν ἐγγράμματον φωνήν. μή τι οὖν ἐστὶ καὶ αὐτὴ ἐγγράμματος φωνή; οὐδαμῶς. διὰ τοῦτο οὐ δύναται θεωρεῖν ἑαυτήν. ὁ οὖν λόγος πρὸς τί ποτε ὑπὸ τῆς φύσεως παρείληπται. πρὸς χρῆσιν φαντασιῶν οἵαν δεῖ. αὐτὸς οὖν τί ἐστι. σύστημα ἐκ ποιῶν φαντασιῶν. οὕτω γίνεται φύσει καὶ αὑτοῦ θεωρητικός. πάλιν ἡ φρόνησις τίνα θεωρήσουσα παρελήλυθεν, ἀγαθὰ καὶ κακὰ καὶ οὐδέτερα. αὐτὴ οὖν τί ἐστιν. ἀγαθόν, ἡ δ' ἀφροσύνη τί ἐστι; κακόν. ὁρᾷς οὖν ὅτι ἀναγκαίως καὶ αὑτῆς γίνεται καὶ τῆς ἐναντίας θεωρητική; διὰ τοῦτο ἔργον τοῦ φιλοσόφου τὸ μέγιστον καὶ πρῶτον, δοκιμάζειν τὰς φαντασίας καὶ διακρίνειν, καὶ μηδεμίαν ἀδοκίμαστον προσφέρεσθαι. ὁρᾶτε ἐπὶ τοῦ νομίσματος ὅπου, δοκεῖ

τί εἶναι πρὸς ἡμᾶς, πῶς καὶ τέχνην ἐξευρήκαμεν, καὶ ὅσοις ὁ ἀργυρογνώμων προσχρῆται πρὸς δοκιμασίαν τοῦ νομίσματος, τῇ ὄψει, τῇ ἀφῇ, τῇ ὀσφρασίᾳ, τὰ τελευταῖα, τῇ ἀκοῇ· ῥίξας τὸ δηνάριον, τῷ ψόφῳ προσέχει, καὶ οὐχ ἅπαξ ἀρκεῖται ψοφήσαντος, ἀλλ' ὑπὸ τῆς πολλῆς προσοχῆς μουσικὸς γίνεται. οὕτως ὅπου διαφέρειν οἰόμεθα τὸ πλανᾶσθαι τοῦ μὴ πλανᾶσθαι, ἐνταῦθα πολλὴν προσοχὴν εἰσφέρομεν εἰς διάκρισιν τῶν διαπλανᾶν δυναμένων. ἐπὶ δὲ ταλαιπώρου ἡγεμονικοῦ χάσκοντες καὶ καθεύδοντες, πᾶσαν φαντασίαν παραδεχόμεθα. ἡ γὰρ ζημία, οὐ προσπίπτει. ὅταν οὖν θέλῃς γνῶναι πῶς ἔχεις, περὶ μὲν τἀγαθὰ καὶ κακὰ ἀνειμένως, περὶ τὰ διάφορα δὲ ἐσπουδασμένως, ἐπίστησον πῶς ἔχεις πρὸς τὸ ἐκτυφλωθῆναι. καὶ πῶς πρὸς τὸ ἐξαπατηθῆναι. καὶ γνώσῃ ὅτι μακρὰν εἶ τοῦ ὡς δεῖ πεπονθέναι περὶ ἀγαθῶν καὶ κακῶν. ἀλλὰ πολλῆς ἔχει χρείαν παρασκευῆς καὶ πόνου πολλοῦ καὶ μαθημάτων. τί οὖν ἐλπίζεις. ὅτι τὴν μεγίστην τέχνην ἀπὸ ὀλίγων ἔστιν ἀναλαβεῖν; καίτοι αὐτὸς μὲν ὁ προηγούμενος λόγος τῶν φιλοσόφων, λίαν ἐστὶν ὀλίγος. εἰ θέλεις γνῶναι. ἀνάγνωθι τὰ Ζήνωνος καὶ ὄψει. τί γὰρ ἔχει μακρὸν εἰπεῖν. ὅτι τέλος ἐστὶ τὸ ἕπεσθαι θεοῖς. οὐσία δ' ἀγαθοῦ, χρῆσις οἵα δεῖ φαντασιῶν. λέγε. τί οὖν ἐστι θεός. καὶ τί φαντασία. καὶ τί ἐστι φύσις ἡ ἐπὶ μέ-

ρους καὶ



ρους. καὶ τί ἐστι φύσις ἡ τῶν ὅλων, ἤδη μακρόν, ἂν οὖν ἐλθὼν Ἐπίκουρος εἴπῃ, ὅτι ἐν σαρκὶ εἶναι δεῖ τὸ ἀγαθόν, πάλιν μακρὸν γίνεται. καὶ ἀνάγκη ἀκοῦσαι τί τὸ προηγούμενόν ἐστιν ἐφ' ἡμῶν. τί τὸ ὑποστατικὸν καὶ οὐσιῶδες. ὅτι τὸ κοχλίου ἀγαθὸν οὐκ εἰκὸς εἶναι τῷ κελύφει. τὸ οὖν τοῦ ἀνθρώπου εἰκός. σὺ δ' αὐτὸς τί κυριώτερον ἔχεις Ἐπίκουρε. τί ἐστιν ἐν σοὶ τὸ βουλευόμενον. τὸ ἐπισκεπτόμενον ἕκαστα. τὸ περὶ τῆς σαρκὸς αὐτῆς. ὅτι τὸ προηγούμενόν ἐστι τὸ ἐπικρῖνον. τί δὲ καὶ λύχνον ἅπτεις καὶ πονεῖς ὑπὲρ ἡμῶν. καὶ τηλικαῦτα βιβλία γράφεις. ἵνα μὴ ἀγνοήσωμεν ἡμεῖς τὴν ἀλήθειαν; τίνες ἡμεῖς. τί πρὸς σὲ ὄντες. οὕτω μακρὸς ὁ λόγος γίνεται.

## Πρὸς τοὺς θαυμάζεσθαι θέλοντας. κα'.

Ὅταν τις ἣν δεῖ στάσιν ἔχῃ ἐν τῷ βίῳ, ἔξω οὐ κέχηνεν. ἄνθρωπε. τί θέλεις σοι γενέσθαι. ἐγὼ μὲν ἀρκοῦμαι ἂν ὀρέγωμαι καὶ ἐκκλίνω κατὰ φύσιν. ἂν ὁρμῇ καὶ ἀφορμῇ χρῶμαι ὡς πέφυκα. ἂν προθέσει. ἂν ἐπιβολῇ. ἂν συγκαταθέσει. τί οὖν ἡμῖν ὀβελίσκον καταπιὼν περιπατεῖς; ἤθελον ἵνα με καὶ οἱ ἀπαντῶντες θαυμάζωσι. καὶ ἐπακολουθοῦντες ἐπικραυγάζωσιν. ὦ μεγάλου φιλοσόφου. τίνες εἰσὶν οὗτοι ὑφ' ὧν θαυμάζεσθαι θέλεις. οὐχ οὗτοι περὶ ὧν εἴωθας λέγειν ὅτι μαίνονται.

ται; τί οὖν, ὑπὸ τοῦ μαινομένου θέλεις θαυμάζεσθαι;

## Περὶ τῶν προλήψεων. κβ΄.

Προλήψεις κοιναὶ πᾶσιν ἀνθρώποις εἰσί. καὶ πρόληψις προλήψει οὐ μάχεται. τίς γὰρ ἡμῶν οὐ τίθησιν ὅτι τὸ ἀγαθὸν συμφέρον ἐστί. καὶ αἱρετόν. καὶ ἐκ πάσης περιστάσεως αὐτὸ δεῖ μετιέναι καὶ διώκειν. τίς δ' ἡμῶν οὐ τίθησιν, ὅτι τὸ δίκαιον καλόν ἐστι καὶ πρέπον. πότ' οὖν ἡ μάχη γίνεται περὶ τὴν ἐφαρμογὴν τῶν προλήψεων ταῖς ἐπὶ μέρους οὐσίαις; ὅταν ὁ μὲν εἴπῃ καλῶς ἐποίησεν. ἀνδρεῖός ἐστιν. οὔ. ἀλλ' ἀπονενοημένος. ἔνθεν ἡ μάχη γίνεται τοῖς ἀνθρώποις πρὸς ἀλλήλοις. αὕτη ἐστὶν ἡ Ἰουδαίων, καὶ Σύρων, καὶ Αἰγυπτίων, καὶ Ῥωμαίων μάχη. οὐ περὶ τοῦ ὅτι τὸ ὅσιον πάντων προτιμητέον καὶ ἐν παντὶ μεταδιωκτέον. ἀλλὰ πότερόν ἐστιν ὅσιον τοῦτο τὸ χοιρείου φαγεῖν, ἢ ἀνόσιον. ταύτην τὴν μάχην εὑρήσετε καὶ Ἀγαμέμνονος καὶ Ἀχιλλέως. κάλει γὰρ αὐτοὺς εἰς τὸ μέσον. τί λέγεις σὺ ὦ Ἀγάμεμνον. οὐ δεῖ γενέσθαι τὰ δέοντα καὶ τὰ καλῶς ἔχοντα; δεῖ μὲν οὖν. σὺ δὲ τί λέγεις ὦ Ἀχιλλεῦ. οὐκ ἀρέσκει σοι γενέσθαι τὰ καλῶς ἔχοντα; ἐμοὶ μὲν οὖν πάντων μάλιστα ἀρέσκει. ἐφαρμόσατε οὖν τὰς προλήψεις. ἐντεῦθεν ἡ ἀρχὴ μάχης. ὁ μὲν λέγει, οὐ χρὴ ἀποδιδόναι με τὴν Χρυσηίδα τῷ πατρί. ὁ δὲ λέγει, δεῖ μὲν οὖν, πάντως ὁ ἕτερος αὐτῶν κα



λῶς ἐφαρμόζει τὴν πρόληψιν τοῦ δέοντος. πάλιν ὁ μὲν λέγει. οὐκοῦν εἰ με δεῖ ἀποδοῦναι τὴν Χρυσηίδα δεῖ με λαβεῖν ὑμῶν τινος τὸ γέρας. ὁ δὲ, τὴν ἐμὴν οὖν λάβῃς ἐρωμένην; τὴν σήν φησιν. ἐγὼ οὖν μόνος; ἀλλ' ἐγὼ μόνος μὴ ἔχω; οὕτως μάχη γίνεται. τί οὖν ἐστι τὸ παιδεύεσθαι. μανθάνειν τὰς φυσικὰς προλήψεις ἐφαρμόζειν ταῖς ἐπὶ μέρους οὐσίαις καταλλήλως τῇ φύσει. καὶ λοιπὸν διελεῖν ὅτι τῶν ὄντων τὰ μέν ἐστιν ἐφ' ἡμῖν. τὰ δὲ οὐκ ἐφ' ἡμῖν. ἐφ' ἡμῖν μὲν προαίρεσις. καὶ πάντα τὰ προαιρετικὰ ἔργα. οὐκ ἐφ' ἡμῖν δὲ, τὸ σῶμα. τὰ μέρη τοῦ σώματος. κτήσεις. γονεῖς. ἀδελφοί. τέκνα. πατρίς. ἁπλῶς οἱ κοινωνοί. ποῦ οὖν θῶμεν τὸ ἀγαθόν. ποίᾳ οὐσίᾳ αὐτὸ ἐφαρμόσομεν; τῇ ἐφ' ἡμῖν. εἶτα οὐκ ἔστιν ἀγαθὸν ὑγίεια καὶ ἀρτιότης καὶ ζωή; ἀλλ' οὐδὲ τέκνα οὐδὲ γονεῖς οὐδὲ πατρίς; καὶ τίς σου ἀνέξεται. μεταθῶμεν οὖν αὐτὸ πάλιν ἐνθάδε. ἐνδέχεται οὖν βλαπτόμενον καὶ ἀποτυγχάνοντα τῶν ἀγαθῶν εὐδαιμονεῖν; οὐκ ἐνδέχεται. καὶ τὴν πρὸς τοὺς κοινωνοὺς ἔχειν οἵαν δεῖ ἀναστροφήν; καὶ πῶς ἐνδέχεται; ἐγὼ γὰρ πέφυκα πρὸς τὸ ἐμὸν συμφέρον. εἰ συμφέρει μοι ἀγρὸν ἔχειν, συμφέρει μοι ἱμάτιον ἔχειν. συμφέρει μοι καὶ κλέψαι αὐτὸ ἐκ βαλανείου. ἔνθεν πόλεμοι. στάσεις. τυραννίδες. ἐπιβουλαί. πῶς δ' ἔτι δυνήσομαι τὸ πρὸς τὸν Δία

καθῆκον. εἰ γὰρ βλάπτομαι καὶ ἀτυχῶ οὐκ ἐπιστρέ
φεταί μου. καὶ τί μοι καὶ αὐτῷ. εἰ οὐ δύναταί μοι
βοηθῆσαι. καὶ πάλιν τί μοι καὶ αὐτῷ, εἰ θέλει με
ἐν τοιούτοις εἶναι ἐν οἷς εἰμί. ἄρχομαι λοιπὸν μι
σεῖν αὐτόν. τί οὖν ναοὺς ποιοῦμεν. τί οὖν ἀγάλ
Δ ματα. ὡς κακοῖς δαίμοσιν; ὡς πυρετῷ τῷ Διί; καὶ
πῶς ἔτι σωτὴρ. καὶ πῶς ὑέτιος. καὶ πῶς ἐπικάρ
πιος, καὶ μὴν ἂν ἐνταῦθά που θῶμεν τὴν οὐσίαν
τοῦ ἀγαθοῦ, πάντα ταῦτα ἐξακολουθεῖ. τί οὖν
ποιήσωμεν. αὕτη ἐστὶ ζήτησις τοῦ φιλοσοφοῦντος τῷ
ὄντι καὶ ὠδίνοντος. νῦν ἐγὼ οὐχ ὁρῶ τί ἐστι τὸ ἀ
γαθὸν καὶ τὸ κακόν. οὐ μαίνομαι; ναί. ἀλλ' ἐνταῦ
θά που θῶ τὸ ἀγαθόν. ἐν τοῖς προαιρετικοῖς; πάν
τες μου καταγελάσονται. ἥξει τις γέρων πολιὸς
χρυσοῦς δακτυλίους ἔχων πολλούς. εἶτα ἐπισεί
σας τὴν κεφαλήν, ἐρεῖ. ἄκουσόν μου τέκνον. δεῖ
μὲν καὶ φιλοσοφεῖν. δεῖ δὲ καὶ ἐγκέφαλον ἔχειν.
ταῦτα μωρά ἐστι. σὺ παρὰ τῶν φιλοσόφων μαν
θάνεις συλλογισμόν. τί δέ σοι ποιητέον ἐστί, σὺ κάλ
λιον οἶδας ἢ οἱ φιλόσοφοι. ἄνθρωπε. τί οὖν μοι ἐπι
τιμᾷς εἰ οἶδα. τούτῳ τῷ ἀνδραπόδῳ τί εἴπω. ἂν
σιωπῶ, ῥήγνυται. ἐκείνῳ ὡς δεῖ λέγειν. ὅτι σύγγνω
E θί μοι. ὡς τοῖς ἐρῶσιν, οὐκ εἰμὶ ἐμαυτοῦ, μαίνομαι.

E Πρὸς ἐπίκουρον. κγ΄.

Ἐπινοεῖ καὶ ἐπίκουρος ὅτι φύσει ἐσμὲν κοινω
νικοί. ἀλλ' ἅπαξ ἐν τῷ κελύφει θεὶς τὸ ἀγα



θὸν ἡμῶν, οὐκέτι δύναται ἄλλο οὐδὲν εἰπεῖν.
πάλιν γὰρ ἐκείνου λίαν κρατεῖ. ὅτι οὐ δεῖ ἀπεσπα
σμένον, οὐδὲ τῆς τοῦ ἀγαθοῦ οὐσίας οὔτε θαυμά
ζειν οὔτ' ἀποδέχεσθαι. καὶ καλῶς αὐτοῦ κρατεῖ.
πῶς οὖν ὑπονοητικοί ἐσμεν οἷς μὴ φυσική ἐστι
πρὸς τὰ ἔκγονα φιλοστοργία. διατί ἀποσυμβου
λεύεις τῷ σοφῷ τεκνοτροφεῖν. τί φοβῇ. μὴ διὰ ταῦ
τα εἰς λύπας ἐμπέσῃ; διὰ γὰρ τὸν μῦν τὸν ἔσω φε
φόμενον, ἐμπίπτει. τί οὖν αὐτῷ μέλει, ἂν μυΐδιον
μικρὸν ἔσω κατακλαίῃ αὐτοῦ. ἀλλ' οἶδεν, ὅτι ἂν
ἅπαξ γένηται παιδίον, οὐκέτι ἐφ' ἡμῖν ἐστι μὴ
στέργειν μηδὲ φροντίζειν ἐπ' αὐτῷ. διατοῦτο φη
σὶν οὐδὲ πολιτεύσεσθαι τὸν νοῦν ἔχοντα. οἶδε γὰρ
τίνα δεῖ ποιεῖν τὸν πολιτευόμενον. ἐπεί τοι εἰ ὡς
ἐν μυίαις μέλλεις ἀναστρέφεσθαι, τί κωλύει. ἀλλ' ὁ
μὴ εἰδὼς ταῦτα, τολμᾷ λέγειν ὅτι μὴ ἀναιρώμε
θα τέκνα. ἀλλὰ πρόβατον μὲν οὐκ ἀπολείπει τὸ
αὐτοῦ ἔκγονον. οὐδὲ λύκος. ἄνθρωπος δ' ἀπολεί
πει; τί θέλεις. μωροὺς ἡμᾶς εἶναι ὡς τὰ πρόβα
τα; οὐδ' ἐκεῖνα ἀπολείπει. θηριώδεις ὡς τοὺς λύ
κους; οὐδ' ἐκεῖνοι ἀπολείπουσιν. ἄγε. τίς δέ σοι πεί
θεται ἰδὼν παιδίον αὐτοῦ κλαῖον ἐπὶ τὴν γῆν
πεπτωκός. ἐγὼ μὲν οἶμαι ὅτι εἰ καὶ ἐμαντεύσα
το ἡ μήτηρ σου καὶ ὁ πατήρ σου ὅτι ταῦτα μέλ
λεις λέγειν, οὐκ ἄν σε ἔρριψαν.

ἀποσυμβουλεύεις μυΐδιον

6 H 118

## Πῶς πρὸς τὰς περιστάσεις ἀγωνιστέον. κδʹ.

Αἱ περιστάσεις εἰσὶν αἱ τοὺς ἄνδρας δεικνύουσαι. λοιπὸν ὅταν ἐμπέσῃ περίστασις, μέμνησο ὅτι ὁ θεός σε ὡς ἀλειπτὴς, τραχεῖ νεανίσκῳ συμβέβληκεν. ἵνα τί φησιν. ἵνα ὀλυμπιονίκης γένῃ. δίχα δ' ἱδρῶτος οὐ γίνεται. ἐμοὶ μὲν οὐδεὶς δοκεῖ κρείσσονα ἐσχηκέναι περίστασιν, ἧς σὺ ἔσχηκας. ἂν θέλῃς ὡς ἀθλητὴς νεανίσκῳ χρῆσθαι. καὶ νῦν ἡμεῖς γε εἰς τὴν ῥώμην κατάσκοπον πέμπομεν. οὐδεὶς δὲ δειλὸν κατάσκοπον πέμπει. ἵν' ἂν μόνον ἀκούσῃ ψόφου καὶ σκιάν ποθεν ἴδῃ, τρέχων ἔλθῃ τεταραγμένος καὶ λέγων ἤδη παρεῖναι τοὺς πολεμίους. οὕτω νῦν καὶ σύ; ἂν ἐλθὼν ἡμῖν εἴπῃς, φοβερὰ τὰ ἐν ῥώμῃ πράγματα. δεινόν ἐστι θάνατος. δεινόν ἐστι φυγή. δεινὸν λοιδορία. δεινὸν πενία. φεύγετε ἄνδρες. πάρεισιν οἱ πολέμιοι. ἐροῦμέν σοι. ἄπελθε, σεαυτῷ μαντεύου. ἡμεῖς τοῦτο μόνον ἡμάρτομεν, ὅτι τοιοῦτον κατάσκοπον ἐπέμπομεν. πρὸ σοῦ κατάσκοπος ἀποσταλεὶς διογένης, ἄλλα ἡμῖν ἀπήγγελκεν. ὅτι ὁ θάνατος οὐκ ἔστι κακός. οὐδὲ γὰρ αἰσχρόν. λέγει ὅτι ἀδοξία ψόφος ἐστὶ μαινομένων ἀνθρώπων. οἷα δὲ περὶ πόνου. οἷα δὲ περὶ ἡδονῆς, οἷα περὶ πενίας εἴρηκεν οὗτος ὁ κατάσκοπος. τὸ δὲ γυμνάσιον εἶναι



λέγει; ὅτι κρεῖσσόν ἐστι πάσης περιπορφύρου. τὸ δ' ἐπ' ἀστρώτῳ πέδῳ καθεύδειν, λέγει ὅτι μαλακωτάτη κοίτη ἐστί. καὶ ἀπόδειξιν φέρει περὶ ἑκάστου, τὸ θάρσος τὸ αὑτοῦ. τὴν ἀταραξίαν. τὴν ἐλευθερίαν. εἶτα καὶ τὸ σωμάτιον στίλβον, καὶ συνεστραμμένον. οὐδείς φησι πολέμιος ἐγγύς ἐστι. πάντα εἰρήνης γέμει. πῶς ὦ διόγενες. ἰδού φησι μή τι βέβλημαι; μή τι τέτρωμαι; μή τινα πέφευγα; τουτέστιν οἷος δεῖ κατάσκοπος. σὺ δ' ἡμῖν ἐλθὼν, ἄλλα ἐξ ἄλλων λέγεις; οὐκ ἀπελεύσῃ πάλιν καὶ ὄψει ἀκριβέστερον δίχα τῆς δειλίας; τί οὖν ποιήσω, τί ποιεῖς, ἐκ πλοίου ὅταν ἐξίῃς; μή τι τὸ πηδάλιον αἴρεις; μή τι τὰς κώπας; τί οὖν αἴρεις; τὰ σά. τὴν λήκυθον. τὴν πήραν, καὶ νῦν ἂν ᾖς μεμνημένος τῶν σῶν, οὐδέποτε τῶν ἀλλοτρίων ἀντιποιήσῃ. λέγει σοι θὲς τὴν πλατύσημον. ἰδοὺ στενόσημος. θὲς καὶ ταύτην. ἰδοὺ ἱμάτιον μόνον. θὲς τὸ ἱμάτιον. ἰδοὺ γυμνός. ἀλλὰ φθόνον μοι κινεῖς. λαβὲ τοίνυν ὅλον τὸ σωμάτιον. ᾧ δύναμαι ῥίψαι τὸ σωμάτιον, ἔτι τοῦτο φοβοῦμαι. ἀλλὰ κληρονόμον με οὐκ ἀπολείψει. τί οὖν, ἐπελαθόμην ὅτι τούτων οὐδὲν ἐμὸν ἦν. πῶς οὖν ἐμὰ αὐτὰ λέγομεν. ὡς τὸν κράββατον ἐν τῷ πανδοκείῳ. ἂν οὖν ὁ πανδοκεὺς ἀποθάνῃ, ἀπολίπῃ σοι τοὺς κραββάτους; ἂν δ' ἄλλῳ, ἐκεῖνος ἕξει. σὺ δ' ἄλλον

ζητήσεις. ἂν οὖν μὴ θύρας, χαμαὶ κοιμήσῃ. μένων
θαῤῥῶν καὶ ῥέγχων, καὶ μεμνημένος ὅτι ἐν τοῖς
πλουσίοις καὶ βασιλεῦσι καὶ τυράννοις αἱ τραγῳ-
δίαι τόπον ἔχουσιν. οὐδεὶς δὲ πένης τραγῳδίαν
συμπληροῖ, εἰ μὴ ὡς χορευτής. οἱ δὲ βασιλεῖς, ἄρ-
χονται μὲν ἀπ' ἀγαθῶν. στέψατε δώματα. εἶτα
περὶ τρίτον ἢ τέταρτον μέρος. ἰὼ κιθαιρών. τί μ' ἐ-
δέχου. ἀνδράποδον. ποῦ οἱ στέφανοι. ποῦ τὸ διά-
δημα. οὐδέν σε ὠφελοῦσιν οἱ δορυφόροι. ὅταν οὖν
ἐκείνων τινὶ προσίῃς, τούτων μέμνησο. ὅτι τραγῳ-
δῷ προσέρχῃ, οὐ τῷ ὑποκριτῇ. ἀλλ' αὐτῷ τῷ οἰδί-
ποδι. ἀλλὰ μακάριος ὁ δεῖνα. μετὰ πολλῶν γὰρ
περιπατεῖ. κἀγὼ συγκατατάττω ἐμαυτὸν σὺν
τοῖς πολλοῖς. καὶ μετὰ πολλῶν περιπατῶ. τὸ δὲ
κεφάλαιον μέμνησο ὅτι ἡ θύρα ἤνοικται. μὴ γίνου
τῶν παιδίων δειλότερος. ἀλλ' ὡς ἐκεῖνα ὅταν αὐ-
τοῖς μὴ ἀρέσκῃ τὸ πρᾶγμα, λέγει ὅτι οὐκέτι παί-
ξω, καὶ σὺ ὅταν σοι φαίνηταί τινα εἶναι τοιαῦ-
τα, εἰπὼν οὐκέτι παίξω, ἀπαλλάσσου. μένων
δὲ, μὴ θρήνει.

## Πρὸς τὸ αὐτό. κέ.

Εἰ ταῦτα ἀληθῆ ἐστὶ καὶ μὴ βλακεύομεν, μηδ'
ὑποκρινόμεθα. ὅτι τὸ ἀγαθὸν τοῦ ἀνθρώ-
που ἐν προαιρέσει καὶ τὸ κακὸν, τὰ δ' ἄλλα πάν-
τα οὐδὲν πρὸς ἡμᾶς, τί ἔτι ταρασσόμεθα. τί ἔτι



φοβούμεθα. περὶ ἃ ἐσπουδάκαμεν, τούτων ἐξου-
σίαν οὐδεὶς ἔχει. ὧν ἐξουσίαν οἱ ἄλλοι ἔχουσι, τού-
των οὐκ ἐπιστρεφόμεθα. ποῖον ἔτι πρᾶγμα ἔχο-
μεν; ἀλλὰ ἔντειλαί μοι. τί σοι ἐντέλλωμαι. ὁ Ζεύς
σοι οὐκ ἐντέταλται; οὐ δέδωκέ σοι τὰ μὲν σὰ ἀκώ-
λυτα καὶ ἀπαραπόδιστα, τὰ δὲ μὴ σὰ, κωλυτὰ καὶ
παραποδιστά; τίνα οὖν ἐντολὴν ἔχων ἐκεῖθεν ἐλή-
λυθας. ποῖον διάταγμα. τὰ σὰ τήρει ἐκ παντὸς
τρόπου. τῶν ἀλλοτρίων μὴ ἐφίεσο. τὸ πιστὸν, σόν.
τίς οὖν ἀφελέσθαι δύναταί σου ταῦτα. τίς κω-
λύσει χρῆσθαι αὐτοῖς ἄλλος, εἰ μὴ σύ. σὺ δὲ πῶς.



ὅταν τὰ μὴ σαυτοῦ σπουδάσῃς, τὰ σαυτοῦ ἀπώ-
λεσας. τοιαύτας ἔχων ὑποθήκας καὶ ἐντολὰς πα-
ρὰ τοῦ διὸς, ποίας ἔτι παρ' ἐμοῦ θέλεις. κρείσσων
εἰμὶ ἐκείνου; ἀξιοπιστότερος; ἀλλὰ ταύτας τηρῶν,
ἄλλων τινῶν προσδέῃ. ἀλλ' ἐκεῖνος οὐκ ἐντέταλ-
ται ταῦτα. φέρε τὰς προλήψεις. φέρε τὰς ἀποδεί-
ξεις τὰς τῶν φιλοσόφων. φέρε ἃ πολλάκις ἤκου-
σας. φέρε δ' ἃ εἶπας αὐτός. φέρε ἃ ἀνέγνως. φέρε
ἃ ἐμελέτησας. μέχρις οὗ τινος ταῦτα τηρεῖν κα-
λῶς ἔχεις καὶ τὴν παιδιὰν μὴ λύειν, μέχρις ἂν
κομψῶς διεξάγηται. ἐν σατουρναλίοις λέλογχε
βασιλεὺς. ἔδοξε γὰρ παῖξαι ταύτην τὴν παιδιάν.
προστάσσει, σὺ πίε. σὺ κέρασον. σὺ ᾆσον. σὺ ἄπελ-
θε. σὺ ἐλθέ. ὑπακούω ἵνα μὴ παρ' ἐμὲ λύηται ἡ
παιδιά. ἀλλὰ σὺ ὑπολάμβανε ὅτι ἐν κακοῖς εἶ.

οὐχ ὑπολαμβάνω. καὶ τίς με ἀναγκάσει ὑπολαμβάνειν; πάλιν συνεθέμεθα παῖξαι τὰ περὶ Ἀγαμέμνονα καὶ Ἀχιλλέα. καταταγεὶς Ἀγαμέμνων, λέγει μοι· πορεύου πρὸς τὸν Ἀχιλλέα καὶ ἀπόσπασον τὴν Βρισηΐδα. πορεύομαι. ἔρχου. ἔρχομαι. ὡς γὰρ ἐπὶ τῶν ὑποθετικῶν λόγων ἀναστρεφόμεθα, οὕτω δεῖ καὶ ἐπὶ τοῦ βίου. ἔστω νύξ. ἔστω. τί οὖν, ἡμέρα ἐστίν; οὔ. ἔλαβον γὰρ ὑπόθεσιν τὸ νύκτα εἶναι. ἔστω σε ὑπολαμβάνειν ὅτι νύξ ἐστιν. ἔστω. ἀλλὰ καὶ ὑπόλαβε ὅτι νύξ ἐστιν. οὐκ ἀκολουθεῖ τῇ ὑποθέσει; οὕτω καὶ ἐνταῦθα. ἔστω σε εἶναι δυστυχῆ. ἔστω. ἆρ' οὖν ἀτυχὴς εἶ; ναί. τί οὖν καὶ κακοδαιμονεῖς; ἀλλὰ καὶ ὑπόλαβε ὅτι ἐν κακοῖς εἶ. οὐκ ἀκολουθεῖ τῇ ὑποθέσει, καὶ ἄλλος με κωλύει. μέχρι πόσου οὖν ὑπακουστέον τοῖς τοιούτοις. μέχρις ἂν οὐ λυσιτελῇ. τοῦτο δέ ἐστι, μέχρις ἂν σῴζω τὸ πρέπον καὶ κατάλληλον. λοιπὸν οἱ μέν εἰσι κατάσκληροι καὶ κακοστόμαχοι. λέγουσιν ἐγὼ οὐ δύναμαι παρὰ τούτῳ δειπνεῖν. ἵν' αὐτοῦ ἀνέχωμαι καθ' ἡμέραν διηγουμένου. πῶς ἐν Μυσίᾳ ἐπολέμησε. διηγησάμην σοι ἀδελφέ. πῶς ἐπὶ τὸν λόφον ἀνέβην. πάλιν ἄρχομαι πολιορκεῖσθαι. ἄλλος λέγει. ἐγὼ δειπνῆσαι θέλω μᾶλλον καὶ ἀκούειν αὐτοῦ ὅσα θέλει ἀδολεσχοῦντος, καὶ σὺ σύγκρινε ταύτας τὰς ἀξίας. μόνον μηδὲν βαρούμενος ποίει. μὴ θλιβόμενος μηδ' ὑπο-



λαμβάνων ἐν κακοῖς εἶναι. τοῦτο γὰρ οὐδείς σε ἀναγκάζει. καπνὸν πεποίηκεν ἐν τῷ οἰκήματι. ἂν μέτριον, μενῶ. ἂν λίαν πολύν, ἐξέρχομαι. τούτου γὰρ δεῖ μεμνῆσθαι καὶ κρατεῖν. ὅτι ἡ θύρα ἤνοικται. ἀλλὰ μὴ οἴκει ἐν Νικοπόλει. οὐκ οἰκῶ. μὴ δ' ἐν Ἀθήναις. οὐδ' ἐν Ἀθήναις. μὴ δ' ἐν Ῥώμῃ. οὐδ' ἐν Ῥώμῃ. ἐν Γυάροις οἴκει. οἰκῶ. ἀλλὰ πολύς μοι καπνὸς φαίνεται τὸ ἐν Γυάροις οἰκεῖν. ἀποχωρῶ ὅπου με οὐδεὶς κωλύσει οἰκεῖν. ἐκείνη γὰρ ἡ οἴκησις παντὶ ἤνοικται. καὶ τὸ τελευταῖον χιτωνάριον, τουτέστι τὸ σωμάτιον. τούτου ἀνωτέρω οὐδενὶ οὐδὲν εἰς ἐμὲ ἔξεστι. διὰ

ΔΝ τοῦτο ὁ Δημήτριος εἶπε τῷ Νέρωνι. ἀπειλεῖς μοι θάνατον. σοὶ δ' ἡ φύσις. ἂν δὲ τὸ σωμάτιον θαυμάσω, δοῦλον ἐμαυτὸν παραδέδωκα, ἂν τὸ κτησίδιον, δοῦλον. εὐθὺς γὰρ ἐμαυτὸν κατ' ἐμαυτοῦ δηλῶ τίνι ἁλωτός εἰμι. ὡς ὁ ὄφις ἐὰν συσπᾷ τὴν κεφαλήν, λέγω ἐκεῖνο αὐτοῦ τύπτε ὃ φυλάσσει. καὶ σὺ γίνωσκε ὅτι ὃ ἂν φυλάσσειν ἐθέλῃς, κατ' ἐκεῖνο ἐπιβήσεταί σου ὁ κύριος. τούτων μεμνημένος, τίνα ἔτι κολακεύσεις ἢ φοβήσῃ; ἀλλὰ θέλω καθῆσθαι ὅπου οἱ συγκλητικοί. ὁρᾷς ὅτι σὺ σαυτῷ στενοχωρίαν παρέχεις; σὺ σαυτὸν θλίβεις; πῶς οὖν ἄλλως θεωρήσω καλῶς ἐν τῷ ἀμφιθεάτρῳ. ἄνθρωπε. καὶ μὴ θεώρει, καὶ οὐ μὴ θλι-

Nota Demetrii

βῆς. τί πράγματα ἔχεις; ἢ μικρὸν ἔκδεξαι. καὶ ἀχθέστης τῆς θεωρίας, κάθισον ἐς τῇ τῶν συγκλητικῶν τόποις καὶ ἡλιάζου. καθόλου γὰρ ἐκείνου μέμνησο, ὅτι ἑαυτοὺς θλίβομεν, ἑαυτοὺς στενοχωροῦμεν, τουτέστι τὰ δόγματα ἡμᾶς θλίβει καὶ στενοχωρεῖ. ἐπεὶ τί ἐστιν αὐτὸ τὸ λοιδορεῖσθαι; παραστὰς λίθον λοιδόρει· καὶ τί ποιήσεις; ἂν οὖν τις ὡς λίθος ἀκούῃ, τί ὄφελος τῷ λοιδοροῦντι; ἂν δ᾽ ἔχῃ τὴν ἀσθένειαν τοῦ λοιδορουμένου ὁ λοιδορῶν ἐπιβάθραν, τότε ἀνύει τι. περίσχισον αὐτόν. τί λέγεις αὐτόν; τὸ ἱμάτιον λαβὲ περίσχισον. ὕβριν σοι πεποίηκα. καλῶς σοι γένοιτο. ταῦτα ἐμελέτα Σωκράτης· διὰ τοῦτο ἓν ἔχων πρόσωπον ἀεὶ διετέλει. ἡμεῖς δὲ θέλομεν πάντα μᾶλλον ἀσκεῖν καὶ μελετᾶν, ἢ ὅπως ἀπαραπόδιστοι καὶ ἐλεύθεροι ἐσόμεθα. παράδοξα λέγουσιν οἱ φιλόσοφοι. ἐν δὲ ταῖς ἄλλαις τέχναις οὐκ ἔστι παράδοξα. καὶ τί παραδοξότερόν ἐστιν ἢ κεντεῖν τινὰ τὸν ὀφθαλμὸν ἵνα ἴδῃ. εἴ τις ἀπείρῳ τῶν ἰατρικῶν τοῦτο εἶπεν, οὐκ ἂν κατεγέλα τοῦ λέγοντος; τί οὖν θαυμαστὸν εἰ καὶ ἐν φιλοσοφίᾳ πολλὰ τῶν ἀληθῶν παράδοξα φαίνεται τοῖς ἀπείροις.

λοιδόρει Socrates 126 14H

## Τίς ὁ βιωτικὸς νόμος. κϛʹ.

Ἀναγινώσκοντος δὲ τοὺς ὑποθετικούς, ἔφη· νόμος ὑποθετικός ἐστι καὶ οὗτος, τὸ ἀκό-

Socrates semp gerebat eandem psonam —



λουθον τῇ ὑποθέσει παραδέχεσθαι. πολὺ πρότερον δὲ νόμος βιωτικός ἐστιν οὗτος, τὸ ἀκόλουθον τῇ φύσει πράττειν. εἰ γὰρ ἐπὶ πάσης ὕλης καὶ περιστάσεως βουλόμεθα τηρῆσαι τὸ κατὰ φύσιν, δῆλον ὅτι ἐν παντὶ στοχαστέον, τοῦ μήτε τὸ ἀκόλουθον ἡμᾶς ἐκφυγεῖν, μήτε παραδέξασθαι τὸ μαχόμενον. πρῶτον οὖν ἐπὶ τῆς θεωρίας γυμνάζουσιν ἡμᾶς οἱ φιλόσοφοι, ὅπου ῥᾷον. εἶτα οὕτως ἐπὶ τὰ χαλεπώτερα ἄγουσιν. ἐνταῦθα γὰρ οὐδέν ἐστι τὸ ἀνθέλκον ὡς πρὸς τὸ ἀκολουθῆσαι τοῖς διδασκομένοις. ἐπὶ δὲ τῶν βιωτικῶν πολλὰ τὰ περισπῶντα. γελοῖος οὖν ὁ λέγων πρῶτον βούλεσθαι ἀπ᾽ ἐκείνων. οὐ γὰρ ῥᾴδιον ἄρξασθαι ἀπὸ τῶν χαλεπωτέρων, καὶ τοῦτον ἀπολογισμὸν ἔδει φέρειν πρὸς τοὺς γονεῖς τοὺς ἀγανακτοῦντας ἐπὶ τῷ φιλοσοφεῖν τὰ τέκνα. οὐκοῦν ἁμαρτάνω πάτερ καὶ οὐκ οἶδα τὸ ἐπιβάλλον ἐμαυτῷ καὶ προσῆκον. εἰ μὲν οὐδὲ μαθητόν ἐστιν οὐδὲ διδακτόν, τί μοι ἐγκαλεῖς. εἰ δὲ διδακτόν, δίδαξον. εἰ δὲ σὺ μὴ δύνασαι, ἄφες με μαθεῖν παρὰ τῶν λεγόντων εἰδέναι. ἐπεὶ τί δοκεῖς. ὅτι θέλων περιπίπτω κακῷ καὶ ἀποτυγχάνω τοῦ ἀγαθοῦ; μὴ γένοιτο. τί οὖν ἐστι τὸ αἴτιον τοῦ ἁμαρτάνειν με; ἡ ἄγνοια. οὐ θέλεις οὖν ἀποθῶμαι τὴν ἄγνοιαν; τίνα πώποτε ὀργὴν ἐδίδαξε τὰ κυβερνητικά, τὰ μουσικά, τὰ βιωτικὰ καὶ ἦν διὰ τὴν ὀργήν σου δοκεῖς ὅτι μαθήσομαι;

127 15H # ὀργὴν

ὀργή. τρόπος. μανία. θυμός

ταῦτα ἐκείνῳ μόνῳ λέγειν ἔξεστι τῷ τοιαύτην ἐπιβολὴν ἐνηνοχότι. ὁ δέ τις μόνον ἐπιδείκνυσθαι θέλων ἐν συμποσίῳ ὅτι οἶδε τοὺς ὑποθετικούς, ἀναγινώσκει ταῦτα, καὶ προσέρχεται τοῖς φιλοσόφοις, οὗτος ἄλλο τι πράσσει. ἵνα αὐτὸν συγκλητικὸς παρακατακείμενος θαυμάσῃ. ἐκεῖ γὰρ τῷ ὄντι αἱ μεγάλαι ὕλαι εἰσί. καὶ οἱ ἐνθάδε πλοῦτοι, ἐκεῖ παίγνια δοκοῦσι. διὰ τοῦτο ἐκεῖ δύσκολον κρατῆσαι τῶν αὑτοῦ φαντασιῶν, ὅπου τὰ ἐκεῖ ὄντα μεγάλα. ἐγώ τινα οἶδα κλαίοντα ἐπαφροδίτου τῶν γονάτων ἁπτόμενον. καὶ λέγοντα ταλαιπωρεῖν, ἀπολελεῖφθαι γὰρ αὐτῷ μηδέν, εἰ μὴ ἑκατὸν πεντήκοντα μυριάδας. τί οὖν ὁ ἐπαφρόδιτος. κατεγέλασεν ὡς ὑμεῖς; οὔ. ἀλλ' ἐπιθαυμάσας λέγει. τάλας. πῶς οὖν ἐσιώπας. πῶς οὖν ἐκαρτέρεις. κράξας δὲ τὸν ἀναγινώσκοντα τοὺς ὑποθετικούς, καὶ γελάσαντος τοῦ ὑποθεμένου αὐτῷ τὴν ἀνάγνωσιν, σεαυτοῦ ἔφη καταγελᾷς. οὐ προεγύμνασας τὸν νεανίσκον. οὐδ' ἔγνως εἰ δύναται τούτοις παρακολουθεῖν. ἀλλ' ὡς ἀναγνώστῃ αὐτῷ χρῇ; τί οὖν ἔφη. τῇ δυναμένῃ διανοίᾳ συμπεπλεγμένον ἐπικρίσει παρακολουθεῖν, ἔπαινον πιστεύομεν. ψόγον πιστεύομεν. ἐπίκρισιν περὶ τῶν καλῶς ἢ κακῶς γινομένων. κἂν τινα κακῶς λέγῃ, οὗτος ἐπιστρέφεται. κἂν ἐπαινῇ τινά, ἐπαίρεται ἐν τοῖς οὕτω μικροῖς, ὁ μὴ εὑρίσκων τὸ ἑξῆς. αὕτη οὖν ἀρχὴ τοῦ φιλοσοφεῖν.

16 H

Epaphroditus





1 I

αἴσθησις τῶ ἰδίου ἡγεμονικοῦ πῶς ἔχει. μετὰ γὰρ τὸ γνῶναι ὅτι ἀσθενῶς, οὐκέτι θελήσει χρῆσθαι αὐτῷ πρὸς τὰ μέγιστα. νῦν δὲ μὴ δυνάμενοί τινες τὸν ψωμὸν καταπίνειν, συντάξεις ἀγοράζοντες ἐπιβάλλονται ἐσθίειν. διὰ τοῦτο ἐμοῦσιν ἢ ἀπεπτοῦσιν. εἶτα στρόφοι καὶ κατάρροιαι καὶ πυρετοί. ἔδει δ' ἐπιστήσειν εἰ δύνανται. ἀλλ' ἐν μὲν θεωρίᾳ, ῥᾴδιον ἐξελέγξαι τὸν οὐκ εἰδότα. ἐν δὲ τοῖς κατὰ τὸν βίον, οὔτε παρέχει ἑαυτόν τις ἐλέγχῳ, τόν τ' ἐξελέγξαντα μισοῦμεν. ὁ δὲ σωκράτης ἔλεγεν ἀνεξέταστον βίον μὴ ζῆν.

συντάξεις

Socrates

Ποσαχῶς αἱ φαντασίαι. καὶ τίνα πρόχειρα πρὸς αὐτὰ βοηθήματα παρασκευαστέον. κζ.

Τετραχῶς αἱ φαντασίαι γίνονται ἡμῖν. ἢ γὰρ ἔστι τινὰ οὕτως ὡς φαίνεται. ἢ οὐκ ὄντα οὐδὲ φαίνεται ὅτι ἔστιν. ἢ ἔστι καὶ οὐ φαίνεται. ἢ οὐκ ἔστι, καὶ φαίνεται. λοιπὸν ἐν πᾶσι τούτοις εὐστοχεῖν, ἔργον ἐστὶ τοῦ πεπαιδευμένου. ὅτι δ' ἂν ᾖ τὸ θλῖβον, ἐκείνῳ δεῖ προσάγειν τὴν βοήθειαν. εἰ σοφίσματα ἡμᾶς πυρρώνια καὶ ἀκαδημαϊκὰ τὰ θλίβοντά ἐστιν, ἐκείνοις προσάγωμεν τὴν βοήθειαν. εἰ αἱ τῶν πραγμάτων πιθανότητες καθ' ἃς φαίνεταί τινα ἀγαθὰ οὐκ ὄντα, ἐκεῖ τὴν βοήθειαν ζητῶμεν. εἰ ἔθος ἐστὶ τὸ θλῖβον. πρὸς ἐκεῖνο τὴν βοήθειαν εὑρίσκειν πειρατέον. τί οὖν

Quadrupliciter phantasiam

130

2 I

Pyrrhonia & academica sophismata.

πρὸς ἔθος ἐστὶν εὑρίσκειν βοήθημα; τὸ ἐναντίον ἔθος. ἀκούεις τῶν ἰδιωτῶν λεγόντων. τάλας ἐκεῖνος. ἀπέθανεν. ἀπώλετο ὁ πατὴρ αὐτοῦ. ἡ μήτηρ ἐξεκόπη. ἀλλὰ καὶ ἄωρος καὶ ἐπὶ ξένης. ἄκουσον τῶν ἐναντίων λόγων. ἀπόσπασον σεαυτὸν τούτων τῶν φωνῶν. ἀντίθες τῷ ἔθει, τὸ ἐναντίον ἔθος. πρὸς τοὺς σοφιστικοὺς λόγους, τὰ λογικά, καὶ τὴν ἐν τούτοις γυμνασίαν καὶ τριβήν. πρὸς τὰς τῶν πραγμάτων πιθανότητας, τὰς προλήψεις ἐναργεῖς ἐσμηγμένας καὶ προχείρους ἔχειν δεῖ. ὅταν θάνατος φαίνηται κακόν, πρόχειρον ἔχειν, ὅτι τὰ κακὰ ἐκκλίνειν καθήκει. καὶ ἀναγκαῖον ὁ θάνατος. τί γὰρ ποιήσω. ποῦ γὰρ αὐτὸν φύγω. ἔστω ἐμὲ εἶναι Σαρπηδόνα τὸν τοῦ Διός, ἵν' οὕτω γενναίως εἴπω, ἀπελθὼν ἢ αὐτὸς ἀριστεῦσαι θέλω, ἢ ἄλλῳ παρασχεῖν ἀφορμὴν τοῦ ἀριστεῦσαι. εἰ μὴ δύναμαι κατορθῶσαί τι αὐτός. οὐ φθονήσω ἄλλῳ τοῦ ποιῆσαί τι γενναῖον. ἔστω ταῦτα ὑπὲρ ὑμᾶς. ἐκεῖνο οὐ πίπτει εἰς ὑμᾶς. καὶ ποῦ φύγω τὸν θάνατον, μηνύσατέ μοι τὴν χώραν. μηνύσατε ἀνθρώποις εἰς οὓς ἀπέλθω. εἰς οὓς οὐ παραβάλλει. μηνύσατε ἐπαοιδήν. εἰ μὴ ἔχω, τί με θέλετε ποιεῖν. οὐ δύναμαι τὸν θάνατον ἀποφυγεῖν, τὸ φοβεῖσθαι αὐτὸν. μὴ ἀποφύγω; ἀλλ' ἀποθάνω πενθῶν καὶ τρέμων; αὕτη γὰρ γένεσις πάθους, θέλειν τι καὶ μὴ γίνεσθαι. ὅθεν ἂν μὲν δύνωμαι τὰ ἐκτὸς μετατιθέναι πρὸς τὴν βού-





λησιν τὴν ἐμαυτοῦ, μετατίθημι. εἰ δὲ μή, τὸν ἐμποδίζοντα ἐκτυφλῶσαι θέλω. πέφυκε γὰρ ὁ ἄνθρωπος, μὴ ὑπομένειν ἀφαιρεῖσθαι τοῦ ἀγαθοῦ. μὴ ὑπομένειν περιπίπτειν τῷ κακῷ. εἶτα τὸ τελευταῖον ὅταν μήτε πράγματα μεταθεῖναι δύνωμαι, μήτε τὸν ἐμποδίζοντα ἐκτυφλῶσαι, κάθημαι καὶ στένω. καὶ ὃν δύναμαι λοιδορῶ, τὸν Δία καὶ τοὺς θεοὺς τοὺς ἄλλους. εἰ γὰρ μὴ αὐτοὶ ἐπιστρέφονταί μου, τί ἐμοὶ καὶ αὐτοῖς. ναί; ἀλλ' ἀσεβὴς ἔσῃ. τί οὖν μοι χεῖρον ἔσται ἢ νῦν; καὶ τὸ σύνολον ἐκείνου μεμνῆσθαι. ὅτι ἐὰν μὴ ἐν τῷ αὐτῷ ᾖ τὸ εὐσεβὲς καὶ συμφέρον, οὐ δύναται σωθῆναι τὸ εὐσεβὲς ἔν τινι. ταῦτα οὐ δοκεῖ ἐπείγοντα; ἐρχέσθω καὶ ἀπαντάτω Πύρρων καὶ ὁ ἀκαδημαϊκός. ἐγὼ μὲν γὰρ τὸ ἐμὸν μέρος οὐκ ἄγω σχολὴν πρὸς ταῦτα. οὐδὲ δύναμαι συνηγορῆσαι τῇ συνηθείᾳ. εἰ καὶ περὶ ἀγροιδίου πραγμάτιον εἶχον, ἄλλον ἂν παρεκάλεσα τὸν συνηγορήσοντα. τίνι οὖν ἀρκοῦμαι; τῷ κατὰ τὸν τόπον. πῶς μὲν αἴσθησις γίνεται πότερον δι' ὅλων ἢ ἀπὸ μέρους, ἴσως οὐκ οἶδα ἀπολογίσασθαι. ταράσσει δέ με ἀμφότερα. ὅτι δ' ἐγὼ καὶ σὺ οὐκ ἐσμὲν οἱ αὐτοί, λίαν ἀκριβῶς οἶδα. πόθεν τοῦτο. οὐδέποτε καταπιεῖν τι θέλων, ἐκεῖ φέρω τὸν ψωμόν. ἀλλ' ὧδε. οὐδέποτ' ἄρτον θέλων λαβεῖν, τὸ σάρον ἔλαβον. ἀλλ' ἀεὶ ἐπὶ τὸν ἄρτον ἔρχομαι ὡς προκόπτων. ὑμεῖς δ' αὐτοὶ οἱ τὰς αἰσθήσεις

ἀγχιρουντες ἄλλο τι ποιεῖτε; τίς ὑμῶν εἰς βαλανεῖον ἀπελθεῖν θέλων, εἰς μυλῶνα ἀπῆλθε. τί οὖν; οὐ δεῖ κατὰ δύναμιν καὶ τούτων ἀντέχεσθαι, τὸ τηρῆσαι τὴν συνήθειαν, τὸ πεφράχθαι πρὸς τὰ κατ' αὐτῆς; καὶ τίς ἀντιλέγει; ἀλλὰ τὸν δυνάμενον, τὸν κολάζοντα, τὸν δὲ φέροντα καὶ παραστόμενον καὶ ῥηγνύμενον ἔσωθεν τὴν καρδίαν, ἄλλῳ τινὶ δεῖ προσευχαιρεῖν.

προσευχαιρεῖν

51 133

Ὅτι οὐ δεῖ χαλεπαίνειν ἀνθρώποις. καὶ τίνα τὰ μικρὰ καὶ μεγάλα ἐν ἀνθρώποις. κη'.

ὑπάρχει

Τί ἐστιν αἴτιον τοῦ συγκατατίθεσθαί τινι; τὸ φαίνεσθαι ὅτι ὑπάρχει. τῷ οὖν φαινομένῳ ὅτι οὐχ ὑπάρχει συγκατατίθεσθαι οὐχ οἷόν τε. διατί; ὅτι ἡ φύσις αὕτη ἐστὶ τῆς διανοίας. τοῖς μὲν ἀληθέσιν ἐπινεύειν. τοῖς δὲ ψευδέσι δυσαρεστεῖν. πρὸς δὲ τὰ ἄδηλα, ἐπέχειν. τίς τούτου πίστις; πάθε, εἰ δύνασαι νῦν, ὅτι νύξ ἐστιν. οὐχ οἷόν τε. ἀπόπαθε ὅτι ἡμέρα ἐστίν. οὐχ οἷόν τε. πάθε ἢ ἀπόπαθε, ἀπὸ τοῦ ἀρτίους εἶναι τοὺς ἀστέρας. οὐχ οἷόν τε. ὅταν οὖν τις συγκατατίθεται τῷ ψευδεῖ, ἴσθι ὅτι οὐκ ἤθελε ψευδεῖ συγκατατίθεσθαι. πᾶσα γὰρ ψυχὴ ἄκουσα στέρεται τῆς ἀληθείας ὡς λέγει Πλάτων. ἀλλ' ἔδοξεν αὐτῷ τὸ ψεῦδος, ἀληθές. ἄγε. ἐπὶ δὲ τῶν πράξεων τί ἔχομεν τοιοῦτον, οἷον ἐνθάδε τὸ

Plato

ὑπάρχει .i. utile ÷

πάθε
ἀπόπαθε



ἀληθὲς ἢ τὸ ψεῦδος. τὸ καθῆκον καὶ παρὰ τὸ καθῆκον. τὸ συμφέρον καὶ τὸ ἀσύμφορον, τὸ κατ' ἐμὲ καὶ οὐ κατ' ἐμέ. καὶ ὅσα τούτοις ὅμοια. οὐ δύναται οὖν τις δοκεῖν μὲν ὅτι συμφέρει αὐτῷ, μὴ αἱρεῖσθαι δ' αὐτό. οὐ δύναται. πῶς ἡ λέγουσα, καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά. θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων. ὅτι αὐτὸ τοῦτο τὸ θυμῷ χαρίσασθαι καὶ τιμωρήσασθαι τὸν ἄνδρα συμφορώτερον ἡγεῖται τοῦ σῶσαι τὰ τέκνα; ναί. ἀλλ' ἐξηπάτηται. δεῖξον αὐτῇ ἐναργῶς ὅτι ἐξηπάτηται, καὶ οὐ ποιήσει. μέχρι δ' ἂν οὐ μὴ δεικνύῃς, τίνι ἔχει ἀκολουθῆσαι ἢ τῷ φαινομένῳ; οὐδενί. τί οὖν χαλεπαίνεις αὐτῇ ὅτι πεπλάνηται ἡ ταλαίπωρος περὶ τῶν μεγίστων, καὶ ἔχις ἀντὶ τοῦ ἀνθρώπου γέγονεν. οὐχὶ δ' εἴπερ ἄρα μᾶλλον ἐλεεῖς, ὡς τοὺς τυφλοὺς ἐλεοῦμεν, ὡς τοὺς χωλούς. οὕτω τοὺς τὰ κυριώτατα τετυφλωμένους καὶ ἀποκεχωλωμένους. ὅστις οὖν τούτου μέμνηται καθαρῶς ὅτι ἀνθρώπῳ μέτρον πάσης πράξεως φαινόμενον, λοιπὸν ἢ καλῶς φαίνεται ἢ κακῶς. εἰ καλῶς, ἀνέγκλητός ἐστιν. εἰ κακῶς, αὐτὸς ἐζημίωται. οὐ δύναται γὰρ ἄλλος μὲν εἶναι ὁ πεπλανημένος, ἄλλος δ' ὁ βλαπτόμενος. οὐδενὶ ὀργισθήσεται, οὐδενὶ χαλεπανεῖ, οὐδένα λοιδορήσει, οὐδένα μέμψεται, οὐ μισήσει, οὐ προσκόψει οὐδενί. ὥστε καὶ τὰ οὕτω μεγάλα καὶ δεινὰ ἔργα, ταύτην ἔχει τὴν ἀρχήν. τὸ φαινόμενον. ταύτην οὐ

Ex Euripidis medea

14



οὐ προσκόψει οὐδενί

Ἀλλὰ ἡ Ἰλιὰς οὐδέν ἐστιν, ἢ φαντασία καὶ χρῆσις φαντασιῶν. ἐφάνη τῷ Ἀλεξάνδρῳ ἀπάγειν τοῦ Μενελάου τὴν γυναῖκα. ἐφάνη τῇ Ἑλένῃ ἀκολουθῆσαι αὐτῷ. εἰ οὖν ἐφάνη τῷ Μενελάῳ παθεῖν ὅτι κέρδος ἐστὶ τοιαύτης γυναικὸς στερηθῆναι. τί ἂν ἐγένετο, ἀπολώλει ἡ Ἰλιὰς οὐ μόνον, ἀλλὰ καὶ ἡ Ὀδύσσεια. ἐκ τοιούτου οὖν μικροῦ πράγματος ἤρτηται τὰ τηλικαῦτα; τίνα δὲ καὶ λέγεις τὰ τηλικαῦτα. πολέμους καὶ στάσεις καὶ ἀπωλείας πολλῶν ἀνθρώπων, καὶ κατασκαφὰς πόλεων; καὶ τί μέγα ἔχει ταῦτα. οὐδέν. τί δ' ἔχει μέγα πολλοὺς βοῦς ἀποθανεῖν καὶ πολλὰ πρόβατα. καὶ πολλὰς καλιὰς χελιδόνων, ἢ πελαργῶν ἐμπρησθῆναι ἢ κατασκαφῆναι. ὅμοια οὖν ἐστι ταῦτα ἐκείνοις; ὁμοιότατα. σώματα ἀπώλετο ἀνθρώπων καὶ βοῶν καὶ προβάτων. οἰκήματα ἐνεπρήσθη ἀνθρώπων. καὶ πελαργῶν νεοσσιαί. τί μέγα ἢ δεινόν. ἢ δεῖξόν μοι τί διαφέρει οἰκία ἀνθρώπου καὶ νεοσσιὰ πελαργοῦ. ὡς οἴκησις ὅμοιον οὖν ἐστι πελαργὸς καὶ ἄνθρωπος; τί λέγεις. κατὰ τὸ σῶμα ὁμοιότατον. πλὴν ὅτι ὁ μὲν ἐκ δοκῶν καὶ κεραμίδων καὶ πλίνθων οἰκοδομεῖται τὰ οἰκίδια. ὁ δ' ἐκ ῥάβδων καὶ πηλοῦ. οὐδὲν οὖν διαφέρει ἄνθρωπος πελαργοῦ; μὴ γένοιτο. ἀλλὰ τούτοις οὐ διαφέρει. τίνι οὖν διαφέρει. ζήτει καὶ εὑρήσεις. ὅτι ἄλλῳ διαφέρει. ὅρα μὴ τῷ παρακολουθεῖν οἷς ποιεῖ. ὅρα μὴ τῷ κοινωνικῷ. μὴ τῷ πιστῷ. τῷ αἰδήμονι. τῷ ἀσφαλεῖ. τῷ συνετῷ. ποῦ οὖν τὸ μέγα ἐν ἀνθρώποις κακὸν καὶ ἀγαθόν; ὅπου ἡ διαφορά. ἂν σῴζηται τοῦτο καὶ περιτετειχισμένον μένῃ καὶ μὴ διαφθείρηται τὸ αἰδῆμον, μηδὲ τὸ πιστὸν, μηδὲ τὸ συνετὸν, τότε σῴζεται καὶ αὐτός. ἂν δ' ἀπολλύηταί τι τούτων καὶ ἐκπολιορκῆται, τότε καὶ αὐτὸς ἀπόλλυται. καὶ τὰ μεγάλα πράγματα ἐν τούτῳ ἐστίν. ἔπταισε μεγάλα ὁ Ἀλέξανδρος ὅτ' ἐπῆλθόν φασιν οἱ Ἕλληνες. καὶ ὅτε ἐπόρθουν τὴν Τροίαν. καὶ ὅτε οἱ ἀδελφοὶ αὐτοῦ ἀπώλλυντο; οὐδαμῶς. δι' ἀλλότριον γὰρ ἔργον οὐδεὶς. ἀλλὰ τότε πελαργῶν νεοσσιαὶ ἐπορθοῦντο. πταῖσμα δ' ἦν, ὅτε ἀπώλεσε τὸν αἰδήμονα. τὸν πιστόν. τὸν φιλόξενον. τὸν κόσμιον. πότ' ἔπταισεν ὁ Ἀχιλλεύς. ὅτε ἀπέθανεν ὁ Πάτροκλος; μὴ γένοιτο. ἀλλ' ὅτε ὠργίζετο. ὅτε κορασίδιον ἔκλαεν. ὅτ' ἐπελάθετο ὅτι πάρεστιν οὐκ ἐπὶ τῷ ἐρωμένας κτᾶσθαι, ἀλλ' ἐπὶ τῷ πολεμεῖν. ταῦτ' ἐστὶ τὰ ἀνθρωπικὰ πταίσματα. τοῦτο ἐστὶν ἡ πολιορκία. τοῦτο ἐστὶ κατασκαφή. ὅταν τὰ δόγματα τὰ ὀρθὰ καθαιρῆται. ὅταν ἐκεῖνα διαφθείρηται. ὅταν οὖν γυναῖκες ἄγωνται καὶ παιδία αἰχμαλωτίζηται. καὶ ὅταν αὐτοὶ κατασφάζωνται, ταῦτα οὐκ ἔστι κακά; πόθεν οὖν τοῦτο προσδοξάζεις, κἀμὲ δίδαξον; οὔ. ἀλλὰ πόθεν σὺ λέγεις ὅτι οὐκ ἔστι κακά. ἔλθωμεν ἐπὶ τοὺς κανόνας. φέρε τὰς προ-

λήψεις. διὰ τοῦτο γὰρ οὐκ ἔστιν ἱκανῶς θαυμάσαι τὸ γινόμενον. ὅπου βαρὺ κεῖναι θέλομεν, οὐκ εἰκῇ κρίνομεν. ὅπου τὰ εὐθέα καὶ στρεβλὰ οὐκ εἰκῇ. ἁπλῶς ὅπου διαφέρει ἡμῖν γνῶναι τὸ κατὰ τὸν τόπον ἀληθές, οὐδέποθ' ἡμῶν οὐδεὶς οὐδὲν εἰκῇ ποιήσει. ὅπου δὲ τὸ πρῶτον καὶ μόνον αἴτιόν ἐστι τοῦ κατορθοῦν ἢ ἁμαρτάνειν, τοῦ εὐροεῖν ἢ δυσροεῖν, τοῦ ἀτυχεῖν ἢ εὐτυχεῖν, ἐνθάδε μόνον εἰκαῖοι καὶ προπετεῖς. οὐδαμοῦ ὅμοιόν τι ζυγῷ. οὐδαμοῦ ὅμοιόν τι κανόνι. ἀλλά τι ἐφάνη, καὶ εὐθὺς ποιῶ τὸ φανέν. κρείσσων γάρ εἰμι τοῦ ἀχιλλέως ἢ τοῦ ἀγαμέμνονος, ἵν' ἐκεῖνοι μὲν διὰ τὸ ἀκολουθῆσαι τοῖς φαινομένοις, τοιαῦτα κακὰ ποιήσωσι καὶ πάθωσιν, ἐμοὶ δὲ μὴ ἀρκῇ τὸ φαινόμενον; καὶ ποία τραγῳδία ἄλλην ἀρχὴν ἔχει. ἀτρεὺς εὐριπίδου. τί ἐστι τὸ φαινόμενον. οἰδίπους σοφοκλέους. τί ἐστι τὸ φαινόμενον. φοῖνιξ τὸ φαινόμενον. ἱππόλυτος τὸ φαινόμενον. τούτου οὖν μηδεμίαν ἐπιμέλειαν ποιεῖσθαι, τίνος ὑμῖν δοκεῖ. τίνες δὲ λέγονται οἱ παντὶ τῷ φαινομένῳ ἀκολουθοῦντες; μαινόμενοι. ἡμεῖς οὖν ἄλλο τι ποιοῦμεν.

## Περὶ εὐσταθείας. κθ'.

Οὐσία τοῦ ἀγαθοῦ, προαίρεσις ποιά. τοῦ κακοῦ, προαίρεσις ποιά. τί οὖν τὰ ἐκτός; ὕλαι τῇ προαιρέσει, περὶ ἃς ἀναστρεφομένη, τεύξεται τοῦ ἰδίου ἀγαθοῦ ἢ κακοῦ. πῶς τοῦ ἀγαθοῦ τεύξεται; ἂν τὰς ὕλας μὴ θαυμάσῃ. τὰ γὰρ περὶ τῶν ὑλῶν δόγματα, ὀρθὰ μὲν ὄντα, ἀγαθὴν ποιεῖ τὴν προαίρεσιν. στρεβλὰ δὲ καὶ διεστραμμένα, κακήν. τοῦτον τὸν νόμον ὁ θεὸς τέθεικε. καὶ φησίν, εἴ τι ἀγαθὸν θέλεις, παρὰ σεαυτοῦ λάβε. σὺ λέγεις. οὔ. ἀλλὰ παρ' ἄλλου. μή. ἀλλὰ παρὰ σεαυτοῦ. λοιπὸν ὅταν ἀπειλῇ ὁ τύραννος καὶ μὴ καλῇ, λέγω τίνι ἀπειλεῖ. ἂν λέγῃ δήσω σε, φημὶ ὅτι ταῖς χερσὶν ἀπειλεῖ καὶ τοῖς ποσίν. ἂν λέγῃ τραχηλοκοπήσω σε, λέγω. τῷ τραχήλῳ ἀπειλεῖ. ἂν λέγῃ εἰς φυλακήν σε βαλῶ, ὅλῳ τῷ σαρκιδίῳ. κἂν ἐξορισμὸν ἀπειλῇ, τὸ αὐτό. σοὶ οὖν οὐδὲν ἀπειλεῖ; ἂ πέπονθα ὅτι ταῦτα οὐδέν ἐστι πρὸς ἐμέ, οὐδέν. εἰ δὲ φοβοῦμαί τι τούτων, ἐμοὶ ἀπειλεῖ. τίνα λοιπὸν δέδοικα. τὸν τίνων ὄντα κύριον. τῶν ἐπ' ἐμοί; οὐδεὶς ἐστί. τῶν οὐκ ἐπ' ἐμοί; καὶ τί μοι αὐτῶν μέλει; ὑμεῖς οὖν οἱ φιλόσοφοι διδάσκετε καταφρονεῖν τῶν βασιλέων; μὴ γένοιτο. τίς ἡμῶν διδάσκει ἀντιποιεῖσθαι πρὸς αὐτοὺς τῶν ὧν ἐκεῖνοι ἔχουσιν ἐξουσίαν; τὸ σωμάτιον λάβε. τὴν κτῆσιν λάβε. τὴν φήμην λάβε. τοὺς περὶ ἐμὲ λάβε. ἄν τινας τούτων ἀναπείθω ἀντιποιεῖσθαι, τῷ ὄντι ἐγκαλείτω μοι. ναί. ἀλλὰ καὶ τῶν δογμάτων ἄρχειν θέλω. καὶ τίς σοι ταύτην τὴν ἐξουσίαν δέδωκε. ποῦ δύνασαι νικῆσαι δόγμα ἀλλότριον. προσάγων φησὶν αὐτῷ

φόβον, νικήσω. ἀγνοεῖς ὅτι αὐτὸ αὑτὸ ἐνίκησεν, οὐχ ὑπ' ἄλλου ἐνικήθη; προαίρεσιν δὲ οὐδὲν ἄλλο νικῆσαι δύναται, πλὴν αὐτὴ ἑαυτήν. διὰ τοῦτο καὶ ὁ τοῦ θεοῦ νόμος κράτιστός ἐστι καὶ δικαιότατος. τὸ κρεῖσσον ἀεὶ περιγινέσθω τοῦ χείρονος. κρείττονές εἰσιν οἱ δέκα, τοῦ ἑνός. πρὸς τί; πρὸς τὸ δῆσαι. πρὸς τὸ ἀποκτεῖναι. πρὸς τὸ ἀπαγαγεῖν, ὅπου θέλουσι. πρὸς τὸ ἀφελέσθαι τὰ ὄντα. νικῶσι τοίνυν οἱ δέκα τὸν ἕνα, ἐν τούτῳ ἐν ᾧ κρείσσονές εἰσιν. ἐν τίνι οὖν χείρονές εἰσιν; ἂν ὁ μὲν ἔχῃ δόγματα ὀρθά, ὁ δὲ μή. τί οὖν ἐν τούτῳ δύνανται νικῆσαι. πόθεν; εἰ δ' ἱστάμεθα ἐπὶ ζυγοῦ, οὐκ ἔδει τὸν βαρύτερον καθελκύσαι; Σωκράτης οὖν ἵνα πάθῃ ταῦτα ὑπ' Ἀθηναίων; ἀνδράποδον τί λέγεις τὸ Σωκράτης. ὡς ἔχει τὸ πρᾶγμα λέγε. ἵν' οὖν τὸ Σωκράτους πραγμάτιον ἀπαχθῇ καὶ συρῇ ὑπὸ τῶν ἰσχυροτέρων εἰς δεσμωτήριον, καὶ κώνειόν τις δῷ τῷ σωματίῳ τῷ Σωκράτους, κἀκεῖνο ἀποψύγῃ, ταῦτά σοι φαίνεται θαυμαστά; ταῦτα ἄδικα; ἐπὶ τούτοις ἐγκαλεῖς τῷ θεῷ; οὐδὲν οὖν εἶχε Σωκράτης ἀντὶ τούτων. ποῦ οὖν ἡ οὐσία αὐτῷ τοῦ ἀγαθοῦ. τίνι προσχῶμεν. σοί, ἢ αὐτῷ. καὶ τί λέγει ἐκεῖνος. ἐμὲ δ' Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δ' οὔ. καὶ πάλιν. εἰ ταύτῃ τῷ θεῷ φίλον, ταύτῃ γενέσθω. ἀλλὰ δεῖξον ὅτι χείρονα ἔχων δόγματα, κρατεῖ τοῦ

σωμάτι | cf. ut paulo post



κρείττονος ἐν δόγμασιν. οὐ δείξεις, οὐδ' ἐγγύς. νόμος γὰρ τῆς φύσεως καὶ τοῦ θεοῦ οὗτος. τὸ κρεῖσσον ἀεὶ περιγινέσθω τοῦ χείρονος. ἐν τίνι; ἐν ᾧ κρεῖσσόν ἐστι. σῶμα σώματος ἰσχυρότερον. οἱ πλείονες, τοῦ ἑνός. ὁ κλέπτης τοῦ μὴ κλέπτου. διὰ τοῦτο κἀγὼ τὸν λύχνον ἀπώλεσα. ὅτι ἐν τῷ ἀγρυπνεῖν μου κρείσσων ἦν ὁ κλέπτης. ἀλλ' ἐκεῖνος τοσούτου ὠνήσατο λύχνον. ἀντὶ λύχνου κλέπτης ἐγένετο. ἀντὶ λύχνου ἄπιστος. ἀντὶ λύχνου θηριώδης. τοῦτο ἔδοξεν αὐτῷ λυσιτελεῖν. ἔστω. ἀλλ' εἴληπταί μου τις τοῦ ἱματίου, καὶ ἕλκει με εἰς τὴν ἀγοράν. εἶτα ἐπικραυγάζουσιν ἄλλοι. φιλόσοφε. τί σε ὠφέληκε τὰ δόγματα. ἰδοὺ σύρῃ εἰς τὸ δεσμωτήριον. ἰδοὺ μέλλεις τραχηλοκοπεῖσθαι. καὶ ποίαν ἔπραξα ἂν εἰσαγωγήν, ἵν' ἂν ἰσχυρότερος ἐπιλάβηταί μου τοῦ ἱματίου μὴ σύρωμαι; ἵνα ἂν με δέκα περισπάσαντες εἰς τὸ δεσμωτήριον ἐμβάλλωσι μὴ ἐμβληθῶ; ἄλλο οὖν οὐδὲν ἔμαθον; ἔμαθον, ἵνα πᾶν τὸ γινόμενον ἴδω ὅτι ἂν ἀπροαίρετον ᾖ, οὐδέν ἐστι πρὸς ἐμέ. πρὸς τοῦτο οὖν οὐκ ὠφελῆσαι. τί οὖν ἐν ἄλλῳ ζητεῖς τὴν ὠφέλειαν, ἢ ἐν ᾧ ἔμαθες. καθήμενος λοιπὸν ἐν τῇ φυλακῇ λέγω. οὗτος ὁ ταῦτα κραυγάζων, οὔτε τοῦ σημαινομένου ἀκούει, οὔτε τῷ λεγομένῳ παρακολουθεῖ. οὔτε ὅλως μεμέληκεν αὐτῷ εἰδέναι περὶ τῶν φιλοσόφων τί λέγουσιν ἢ τί ποιοῦσιν. ἄφες αὐτόν. ἀλλ' ἔξελθε πάλιν ἀπὸ τῆς

φυλακῆς. ὅταν μηκέτι χρείαν ἔχῃ τέ μου ἐν τῇ φυλακῇ, ἐξέρχομαι. ἂν πάλιν ζητῆτε, εἰσελεύσομαι. μέχρι τίνος; μέχρις ἂν ὁ λόγος αἱρῇ συνεῖναί με τῷ σωματίῳ. ὅταν δὲ μὴ αἱρῇ, λάβετε αὐτὸ καὶ ὑγιαίνετε. μόνον μὴ ἀλογίστως. μόνον μὴ μαλακῶς. μὴ ἐκ τῆς τυχούσης προφάσεως. πάλιν γὰρ ὁ θεὸς οὐ βούλεται. χρείαν γὰρ ἔχει κόσμου τοιούτου, τῶν ἐπὶ γῆς ἀναστρεφομένων τοιούτων. ἐὰν δὲ σημήνῃ τὸ ἀνακλητικὸν ὡς τῷ Σωκράτει, πείθεσθαι δεῖ τῷ σημαίνοντι ὡς στρατηγῷ. τί οὖν λέγειν δεῖ ταῦτα πρὸς τοὺς πολλούς; ἵνα τί; οὐ γὰρ ἀρκεῖ τὸ αὐτὸν πείθεσθαι; τοῖς γὰρ παιδίοις ὅταν προσελθόντα κροτῇ καὶ λέγῃ, σήμερον σατορνάλια ἀγαθά, λέγομεν οὐκ ἔστιν ἀγαθὰ ταῦτα; οὐδαμῶς. ἀλλὰ καὶ αὐτοὶ ἐπικροτοῦμεν. καὶ σὺ τοίνυν ὅταν μεταπεῖσαί τινα μὴ δύνῃ, γίνωσκε ὅτι παιδίον ἐστί. καὶ ἐπικρότει αὐτῷ. ἐὰν δὲ μὴ τοῦτο θέλῃ, σιώπα λοιπόν. τούτων δεῖ μεμνῆσθαι. καὶ κληθέντα εἴς τινα τοιαύτην περίστασιν, εἰδέναι ὅτι ἐλήλυθεν ὁ καιρὸς τοῦ ἀποδεῖξαι εἰ πεπαιδεύμεθα. νέω γὰρ ἀπὸ σχολῆς ἀπιὼν εἰς περίστασιν, ὅμοιός ἐστι τῷ μεμελετηκότι συλλογισμοὺς ἀναλύειν. κἄν τις εὔλογον αὐτῷ προτείνῃ, λέγει. μᾶλλόν μοι πεπλεγμένον εὐφυῶς προτείνατε, ἵνα γυμνασθῶ. καὶ οἱ ἀθληταὶ τοῖς κούφοις νεανίσκοις δυσαρεστοῦσιν. οὐ βαστάζει με φησίν. οὗτός ἐστιν εὐφυὴς νέος; οὔ.



ἀλλὰ καλέσαντος τοῦ καιροῦ, κλάειν δεῖ. καὶ λέγειν. ἤθελον ἔτι μανθάνειν. τίνα; εἰ ταῦτα οὐκ ἔμαθες οὐχ ὥστ' ἔργῳ δεῖξαι, πρὸς τί αὐτὰ ἔμαθες. ἐγώ τινα οἶμαι τῶν καθημένων ἐνταῦθα ὠδίνειν αὐτὸν ἐφ' ἑαυτοῦ καὶ λέγειν. ἐμοὶ νῦν περίστασιν μὴ ἔρχεσθαι τοιαύτην, ὁποία τούτῳ ἐλήλυθεν. ἐμὲ νῦν κατατρίβεσθαι καθήμενον ἐν γωνίᾳ, δυνάμενον στεφανωθῆναι ὀλύμπια; πότε τις ἐμοὶ καταμελεῖ τοιοῦτον ἀγῶνα. οὕτως ἔχειν ἔδει πάντας ὑμᾶς. ἀλλ' ἐν μὲν τοῖς καίσαρος μονομάχοις, εἰσί τινες οἳ ἀγανακτοῦσιν ὅτι οὐδεὶς αὐτοὺς προάγει, οὐδὲ ζευγνύει. καὶ εὔχονται τῷ θεῷ. καὶ προσέρχονται τοῖς ἐπιτρόποις δεόμενοι μονομαχῆσαι. ἐξ ὑμῶν δ' οὐδεὶς φανήσεται τοιοῦτος; ἤθελον πλεῦσαι ἐπ' αὐτὸ τοῦτο καὶ ἰδεῖν τί μου ποιεῖ ὁ ἀθλητής. πῶς μελετᾷ τὴν ὑπόθεσιν. οὐ θέλω φησὶ τοιαύτην. ἐπὶ σοὶ γάρ ἐστι λαβεῖν ἣν θέλεις ὑπόθεσιν. δέδοταί σοι σῶμα τοιοῦτον. γονεῖς τοιοῦτοι. ἀδελφοὶ τοιοῦτοι. πατρὶς τοιαύτη. τάξις ἐν αὐτῇ τοιαύτη. εἶτα λέγεις μοι ἐλθών, ἄλλαξόν μοι τὴν ὑπόθεσιν. εἶτα οὐκ ἔχεις ἀφορμὰς πρὸς τὸ χρήσασθαι δοθείσῃ. σὸν ἐστὶ προτεῖναι. ἐμὸν μελετῆσαι καλῶς. οὔ. ἀλλὰ μὴ τοιοῦτό μοι προβάλῃς τροπικόν, ἀλλὰ τοιοῦτον. μὴ τοιαύτην ἐπενέγκῃς τὴν ὑποφοράν, ἀλλὰ τοιαύτην. ἔστι χρόνος τάχα ἐν ᾧ οἱ τραγῳδοὶ οἰήσονται ἑαυτοὺς

εἶναι προσωπεῖα, καὶ ἐμβάδας, καὶ τὸ σύρμα. ἄνθρωπε. ταῦτα ὕλην ἔχεις καὶ ὑπόθεσιν. φθέγξαι τι. ἵνα εἰδῶμεν πότερον τραγῳδὸς εἶ ἢ γελωτοποιός. κοινὰ γὰρ ἔχουσι τὰ ἄλλα ἀμφότεροι. διὰ τοῦτο ἂν ἀφέλῃ τις αὐτοῦ καὶ τὰς ἐμβάδας καὶ τὸ προσωπεῖον, καὶ ἐν εἰδώλῳ αὐτὸν προσαγάγῃ, ἀπόλετο ὁ τραγῳδὸς, ἢ μένει. ἂν φωνὴν ἔχῃ, μένει. καὶ ἐνθάδε λάβε ἡγεμονίαν. λαμβάνω. καὶ λαβὼν δεικνύω πῶς ἄνθρωπος ἀναστρέφεται πεπαιδευμένος. θὲς τὸν πλατύσημον, καὶ ἀναλαβὼν ῥάκη πρόσελθε ἐν προσώπῳ τοιούτῳ. τί οὖν. οὐ δέδοταί μοι καλὴν φωνὴν ἐπενεγκεῖν. πῶς οὖν ἀναβαίνεις νῦν. ὡς μάρτυς ὑπὸ τοῦ θεοῦ κεκλημένος. ἔρχου σὺ καὶ μαρτύρησόν μοι. σὺ γὰρ ἄξιος εἶ προαχθῆναι μάρτυς ὑπ' ἐμοῦ. μή τι τῶν ἐκτὸς τῆς προαιρέσεως; ἀγαθὸν ἐστὶν ἢ κακόν; μή τινα βλάπτω; μή τι ἐπ' ἄλλῳ τὴν ὠφέλειαν ἐποίησα τὴν ἑκάστου, ἢ ἐφ' αὐτῷ; τίνα μαρτυρίαν δίδως τῷ θεῷ. ἐν δεινοῖς εἰμι κύριε καὶ δυστυχῶ. οὐδείς μου ἐπιστρέφεται. οὐδείς μοι δίδωσιν οὐδέν. πάντες ψέγουσι. πάντες κακολογοῦσι. ταῦτα μέλλεις μαρτυρεῖν καὶ καταισχύνειν τὴν κλῆσιν ἣν κέκληκεν, ὅτι σε ἐτίμησε ταύτην τιμὴν καὶ ἄξιον ἡγήσατο προσαγαγεῖν εἰς μαρτυρίαν τηλικαύτην; ἀλλ' ἀπεφήνατο ὁ ἔχων τὴν ἐξουσίαν, κρίνωσε ἀσεβῆ καὶ ἀνόσιον εἶναι. τί σοι γέγονεν. ἐκεκρίθης ἀσεβὴς, καὶ ἀνόσιος εἶναι. ἄλλο οὐδέν; οὐδέν. εἰ δὲ περὶ

145

K

πλατύσημον



συνημμένου τινὸς ἐπικεκρίκει καὶ ἐδεδώκει ἀπόφασιν, τὸ εἰ ἡ ἡμέρα εἶναι φῶς εἶναι, κρίνω ψεῦδος εἶναι, τί ἐγεγόνει τῷ συνημμένῳ. τίς ἐνθάδε κρίνεται. τίς κατακέκριται. τὸ συνημμένον, ἢ ὁ ἐξαπατηθεὶς περὶ αὐτοῦ. οὗτος οὖν ποτε ὁ ἔχων ἐξουσίαν τοῦ ἀποφήνασθαί τι περὶ σοῦ, οἶδε τί εἶναι τὸ εὐσεβὲς ἢ τὸ ἀσεβές. μεμελέτηκεν αὐτό. μεμάθηκεν. ποῦ. παρὰ τίνι; εἶτα μουσικὸς μὲν οὐκ ἐπιστρέφεται αὐτοῦ ἀποφαινομένου περὶ τῆς νήτης εἶναι ὑπάτην. οὐδὲ γεωμέτρης, ἂν ἐπικρίνῃ τὰς ἀπὸ κέντρου πρὸς τὸν κύκλον προσπιπτούσας μὴ εἶναι ἴσας. ὁ δὲ τοῖς ἀληθείαις πεπαιδευμένος, αὐτοῦ ἀπαιδεύτου τινὸς ἐπιστραφήσεται, ἐπικρίνοντός τι περὶ ὁσίου καὶ ἀνοσίου, καὶ ἀδίκου καὶ δικαίου; ὢ πολλῆς ἀδικίας τῶν πεπαιδευμένων. ταῦτα οὖν ἔμαθες ἐνταῦθα; οὐ θέλεις τὰ μὲν λογάρια τὰ περὶ τούτων ἄλλοις ἀφεῖναι ἀταλαιπώροις ἀνθρωπαρίοις, ἵν' ἐν γωνίᾳ καθεζόμενοι μισθάρια λαμβάνωσιν, ἢ γογγύζωσιν, ὅτι οὐδεὶς αὐτοῖς παρέχει οὐδέν, σὺ δὲ χρῆσθαι παρελθὼν οἷς ἔμαθες; οὐ γὰρ λογάριά ἐστι τὰ λείποντα νῦν. ἀλλὰ γέμει τὰ βιβλία τῶν στωϊκῶν λογαρίων. τί οὖν τὸ λεῖπον ἐστίν; ὁ χρησόμενος. ὁ ἔργῳ μαρτυρήσων τοῖς λόγοις. τοῦτό μοι τὸ πρόσωπον ἀνάλαβε. ἵνα μηκέτι παλαιοῖς ἐν τῇ σχολῇ παραδείγμασι χρώμεθα. ἀλλ' ἔχωμέν τι καὶ καθ' ἡμᾶς παράδειγμα. ταῦτα οὖν τίνος ἐστὶ θεωρεῖν; τοῦ σχολάζον-

νήτη
ὑπάτη

ἀληθῶς

K

γογγύζωσι

τος. ἔστι γὰρ φιλοθεώρον τὸ ζῷον ὁ ἄνθρωπος. ἀλλ' αἰσχρόν ἐστι θεωρεῖν ταῦτα οὕτως ὡς οἱ δραπέται. ἀλλ' ἀπερισπάστως καθῆσθαι καὶ ἀκούειν νῦν μὲν τραγῳδοῦ, οὐχ ὡς ἐκεῖνοι ποιοῦσιν. ἅμα μὲν ἐπέστη, καὶ ἐπαινεῖ τὸν τραγῳδόν. ἅμα δὲ περιεβλέψατο. εἶτα ἄν τις φθέγξηται κύριον, εὐθὺς σεσόβηνται, ταράσσονται. αἰσχρόν ἐστιν οὕτω καὶ τοὺς φιλοσόφους θεωρεῖν τὰ ἔργα τῆς φύσεως. τί γάρ ἐστι κύριος; ἄνθρωπος ἀνθρώπου κύριος οὐκ ἔστιν. ἀλλὰ θάνατος καὶ ζωὴ καὶ ἡδονὴ καὶ πόνος. ἐπεὶ χωρὶς τούτων ἄγαγέ μοι τὸν καίσαρα, καὶ ὄψει πῶς εὐσταθῶ. ὅταν δὲ μετὰ τούτων ἔλθῃ βροντῶν καὶ ἀστράπτων, ἐγὼ δὲ ταῦτα φοβῶμαι, τί ἄλλο, ἢ ἐπέγνωκα τὸν κύριον ὡς ὁ δραπέτης. μέχρι δ' ἂν οὖν τινὰ ἀνοχὴν ἀπὸ τούτων ἔχω, ὡς δραπέτης ἐφίσταται θεάτρῳ, οὕτω κἀγώ. λούομαι, πίνω, ᾄδω. πάντα δὲ μετὰ φόβου καὶ ταλαιπωρίας. ἐὰν δ' ἐμαυτὸν ἀπολύσω τῶν δεσποτῶν, τουτέστιν ἐκείνων δι' ἃ οἱ δεσπόται εἰσὶ φοβεροί, ποῖον ἔτι πρᾶγμα ἔχω, ποῖον ἔτι κύριον; τί οὖν; κηρύσσειν δεῖ ταῦτα πρὸς πάντας; οὔ. ἀλλὰ τοῖς ἰδιώταις συμπεριφέρεσθαι καὶ λέγειν. οὗτος ὃ αὐτῷ ἀγαθὸν οἴεται, τοῦτο κἀμοὶ συμβουλεύει. συγγινώσκω αὐτῷ. καὶ γὰρ Σωκράτης συνεγίνωσκε τῷ ἐπὶ τῆς φυλακῆς κλαίοντι ὅτε ἔμελλε πίνειν τὸ φάρμακον, καὶ λέγει ὡς γενναίως ἡμᾶς ἀποδεδάκρυκε. μή τι οὖν



ἐκείνῳ λέγει ὅτι διὰ τοῦτο τὰς γυναῖκας ἀπελύσαμεν; ἀλλὰ τοῖς γνωρίμοις, τοῖς δυναμένοις αὐτὰ ἀκοῦσαι. ἐκείνῳ δὲ συμπεριφέρεται ὡς παιδίῳ.

## Τί δεῖ πρόχειρον ἔχειν ἐν ταῖς περιστάσεσιν. λ'.

Ὅταν εἰσίῃς πρός τινα τῶν ὑπερεχόντων, μέμνησο ὅτι καὶ ἄλλος ἄνωθεν βλέπει τὰ γινόμενα, καὶ ὅτι ἐκείνῳ σε δεῖ μᾶλλον ἀρέσκειν, ἢ τούτῳ. ἐκεῖνος οὖν σου πυνθάνεται, φυγὴν καὶ φυλακὴν καὶ δεσμὰ καὶ θάνατον καὶ ἀδοξίαν τί ἔλεγες ἐν τῇ σχολῇ; ἐγὼ ἀδιάφορα. νῦν οὖν τίνα αὐτὰ λέγεις; μή τι ἐκεῖνα ἠλλάγη; οὔ. σὺ οὖν ἠλλάγης; οὔ. λέγε οὖν τίνα ἐστὶν ἀδιάφορα. λέγε καὶ τὰ ἑξῆς. τὰ ἀπροαίρετα. οὐδὲν πρὸς ἐμέ. λέγε καὶ τὰ ἀγαθὰ τίνα ἡμῖν ἐδόκει. προαίρεσις οἵα δεῖ καὶ χρῆσις φαντασιῶν. τέλος δὲ τί; τὸ σοὶ ἀκολουθεῖν. ταῦτα καὶ νῦν λέγεις ταῦτα; καὶ νῦν λέγω. ἄπιθι λοιπὸν ἔσω θαρρῶν καὶ μεμνημένος τούτων καὶ ὄψει τί ἐστι νέος μεμελετηκὼς ἃ δεῖ, ἐν ἀνθρώποις ἀμελετήτοις. ἐγὼ μὲν νὴ τοὺς θεοὺς φαντάζομαι ὅτι πείσῃ τὸ τοιοῦτον. τί οὕτω μεγάλα καὶ πολλὰ παρασκευαζόμεθα πρὸς τὸ μηδέν; τοῦτο ἦν ἡ ἐξουσία; τοῦτο τὰ πρόθυρα; οἱ κοιτωνῖται; οἱ ἐπὶ τῆς μαχαίρας; τούτων ἕνεκα τοὺς πολλοὺς λόγους ἤκουον; ταῦτα οὐδὲν ἦν. ἐγὼ δ' ὡς πρὸς μεγάλα παρεσκευαζόμην.

## Πίναξ τοῦ δευτέρου βιβλίου.


α′ Ὅτι οὐ μάχεται τὸ θαῤῥεῖν, τῷ εὐλαβεῖσθαι.
β′ Περὶ ἀταραξίας.
γ′ Πρὸς τοὺς συνιστάντας τινὰς τοῖς φιλοσόφοις.
δ′ Πρὸς τὸν ἐπὶ μοιχείᾳ ποτὲ κατειλημμένον.
ε′ Πῶς συνυπάρχει μεγαλοφροσύνη καὶ ἐπιμέλεια.
ς′ Περὶ ἀδιαφορίας.
ζ′ Πῶς μαντευτέον.
η′ Τίς οὐσία τοῦ ἀγαθοῦ.
θ′ Ὅτι οὐ δυνάμενοι τὴν ἀνθρώπου ἐπαγγελίαν πληρῶσαι, τὴν φιλοσόφου προσλαμβάνομεν.
ι′ Πῶς ἀπὸ τῶν ὀνομάτων τὰ καθήκοντα ἔστιν εὑρίσκειν.
ια′ Τίς ἀρχὴ φιλοσοφίας.
ιβ′ Περὶ διαλέγεσθαι.
ιγ′ Περὶ τοῦ ἀγωνιᾶν.
ιδ′ Πρὸς Νάσωνα.
ιε′ Πρὸς τοὺς σκληρῶς τινῶν ὧν ἔκριναν ἐμμένοντας.
ις′ Ὅτι οὐ μελετῶμεν χρῆσθαι τοῖς περὶ ἀγαθῶν καὶ κακῶν δόγμασιν.
ιζ′ Πῶς ἐφαρμοστέον τὰς προλήψεις τοῖς ἐπὶ μέρους.


θ

150
6 K

ιη' Πῶς ἀγωνιστέον πρὸς τὰς φαντασίας.

ιθ' Πρὸς τοὺς μέχρι λόγων μόνον ἀναλαμβάνοντας τὰ τῶν φιλοσόφων.

κ' Πρὸς ἐπικουρείους καὶ ἀκαδημαϊκούς.

κα' Περὶ ἀνομαλίας.

κβ' Περὶ φιλίας.

κγ' Περὶ τῆς τοῦ λέγειν δυνάμεως.

κδ' Πρός τινα τῶν οὐκ ἠξιωμένων ὑπ' αὐτοῦ.

κε' Πῶς ἀναγκαῖα τὰ λογικά.

κϛ' Τί τὸ ἴδιον ἁμαρτήματος.


151 | 7 K

## Ὅτι οὐ μάχεται τὸ θαρρεῖν τῷ εὐλαβεῖσθαι. α'.

Παράδοξον μὲν τυχὸν φαίνεταί τισι τὸ ἀξιούμενον ὑπὸ τῶν φιλοσόφων· ὅμως δὲ σκεψώμεθα κατὰ δύναμιν, εἰ ἀληθές ἐστι τόδε. ἵν' ᾖ ἅμα μὲν εὐλαβῶς, ἅμα δὲ θαρρούντως πάντα ποιεῖν. ἐναντίως γάρ πως δοκεῖ τῷ θαρραλέῳ τὸ εὐλαβές. τὰ δ' ἐναντία οὐδαμῶς συνυπάρχει. τὸ δὲ φαινόμενον πολλοῖς ἐν τῷ τόπῳ παράδοξον, δοκεῖ μοι τοιοῦτόν τινος ἔχεσθαι. εἰ μὲν γὰρ πρὸς ταὐτὰ ἠξιοῦμεν χρῆσθαι τῇ τ' εὐλαβείᾳ καὶ τῷ θάρσει, δικαίως ἂν ἡμᾶς ᾐτιῶντο· ὡς τὰ ἀσύνακτα συνάγοντας. νῦν δὲ τί δεινὸν ἔχει τὸ λεγόμενον. εἰ γὰρ ὑγιῆ ταῦτ' ἐστὶ τὰ πολλάκις μὲν εἰρημένα, πολλάκις δ' ἀποδεδειγμένα, ὅτι ἡ οὐσία τοῦ ἀγαθοῦ ἐστὶν ἐν χρήσει φαντασιῶν. καὶ τοῦ κακοῦ ὡσαύτως, τὰ δ' ἀπροαίρετα οὔτε τὴν τοῦ κακοῦ ἐπιδέχεται φύσιν οὔτε τὴν τοῦ ἀγαθοῦ, τί παράδοξον ἀξιοῦσιν οἱ φιλόσοφοι, εἰ λέγουσιν, ὅπου μὲν τὰ ἀπροαίρετα ἐκεῖ τὸ θάρσος ἔστω σοι. ὅπου δὲ τὰ προαιρετικὰ ἐκεῖ ἡ εὐλάβεια. εἰ γὰρ ἐν κακῇ προαιρέσει τὸ κακόν, πρὸς μόνα ταῦτα χρῆσθαι ἄξιον τῇ εὐλαβείᾳ. εἰ δὲ τὰ ἀπροαίρετα καὶ μὴ ἐφ' ἡμῖν οὐδὲν πρὸς ἡμᾶς, πρὸς ταῦτα τῷ θάρσει χρηστέον. καὶ οὕτως ἅμα μὲν εὐλαβεῖς, ἅμα δὲ θαρραλέοι ἐσόμεθα. καὶ νὴ δία διὰ τὴν εὐλάβειαν θαρραλέοι. διὰ γὰρ τὸ εὐλαβεῖσθαι τὰ ὄντως κακά, συμβήσεται θαρρεῖν ἡμῖν πρὸς τὰ μὴ οὕτως ἔχοντα. αὐτὸ ἡμεῖς τὸ τῶν ἐλάφων πάσχομεν. ὅτε φοβοῦνται φεύγουσαι αἱ ἔλαφοι τὰ πτίλα, ποῦ τρέπονται. καὶ πρὸς τίνα ἀναχωροῦσιν ὡς ἀσφαλῆ. πρὸς τὰ δίκτυα. καὶ οὕτως ἀπόλλυνται ἐναλλάξασαι τὰ φοβερὰ καὶ τὰ θαρραλέα. οὕτω καὶ ἡμεῖς ποῦ χρώμεθα τῷ φόβῳ. πρὸς τὰ ἀπροαίρετα. ἐν τίσι πάλιν θαρροῦντες ἀναστρεφόμεθα ὡς οὐδενὸς ὄντος δεινοῦ ἐν τοῖς προαιρετικοῖς. ἐξαπατηθῆναι οὖν ἢ προπεσεῖν ἢ ἀναίσχυντόν τι ποιῆσαι. ἢ μετ' ἐπιθυμίας αἰσχρᾶς ὀρεχθῆναί τινος, οὐ-

Cõtraria nõ coeũt

#

152 | 8 K

δὲν διαφέρει ἡμῖν, οὐ μόνον ἐν τοῖς ἀπροαιρέτοις
καὶ τοῖς οὐ στοχῶμεν· ὅπου δὲ θάνατος ἢ φυγὴ ἢ πόνος
ἢ ἀδοξία, ἐκεῖ τὸ ἀναχωρητικόν, ἐκεῖ τὸ σεσοβη-
μένον. τοιγαροῦν ὥσπερ εἰκὸς τοὺς περὶ τὰ μέγιστα
διαμαρτάνοντας, τὸ μὲν φύσει θαρραλέον, θρασὺ
κατασκευάζομεν· ἀπονενοημένον. ἰταμόν. ἀναί-
σχυντον. τὸ δ᾽ εὐλαβὲς φύσει καὶ αἰδῆμον δειλὸν
καὶ ταπεινόν. φόβων καὶ ταραχῶν μεστόν. ἂν γὰρ
τις ἐκεῖ μεταθῇ τὸ εὐλαβὲς ὅπου προαίρεσις καὶ ἔρ-
γα προαιρέσεως, εὐθὺς ἅμα τῷ θέλειν εὐλαβεῖσθαι
καὶ ἐφ᾽ αὑτῷ κειμένην ἕξει τὴν ἔκκλισιν. ἂν δ᾽ ὅπου
τὰ μὴ ἐφ᾽ ἡμῖν ἐστι καὶ ἀπροαίρετα, πρὸς τὰ ἐπ᾽
ἄλλοις ὄντα τὴν ἔκκλισιν ἔχων, ἀναγκαίως φοβή-
σεται. ἀκαταστατήσει. ταραχθήσεται. οὐ γὰρ θά-
νατος, ἢ πόνος φοβερόν. ἀλλὰ τὸ φοβεῖσθαι πό-
νον, ἢ θάνατον. διὰ τοῦτο ἐπαινοῦμεν τὸν εἰπόντα.
ὅτι οὐ κατθανεῖν γὰρ δεινόν, ἀλλ᾽ αἰσχρῶς θανεῖν.
ἔδει οὖν πρὸς μὲν τὸν θάνατον, τὴν φυγήν. πρὸς
στρεψίαν δὲ τὸ περὶ αὐτοῦ δόγμα τὴν ἀναστρεψίαν καὶ τὸ
ἀφειδές. καὶ τὸ ἀδιαφορητικὸν ταῦτα δ᾽ ὁ Σωκρά- Σ
Socrate της καλῶς ποιῶν, μορμολύκεια ἐκάλει. ὡς γὰρ τοῖς
παιδίοις τὰ προσωπεῖα φαίνεται δεινὰ καὶ φο-
βερὰ δι᾽ ἀπειρίαν, τοιοῦτόν τι καὶ ἡμεῖς πάσχομεν
πρὸς τὰ πράγματα. δι᾽ οὐδὲν ἄλλο, ἢ ὥσπερ καὶ
τὰ παιδία πρὸς τὰς μορμολυκείας. τί γάρ ἐστι
παιδίον. ἄγνοια. τί ἐστι παιδίον. ἀμαθία. ἐπεὶ

μορμολύκια

μορμολυκεῖ



10 K

ὅπου οἶδε, καὶ ἐκεῖνα, οὐδὲν ἡμῶν ἔλαττον ἔχει. θάνα-
τος τί ἐστι. μορμολύκειον. στρέψας αὐτὸ κατάμα-
θε. ἰδοὺ πῶς οὐ δάκνει. τὸ σωμάτιον δεῖ χωρισθῆ-
ναι τοῦ πνευματίου, ὡς πρότερον ἐκεχώριστο, ἢ νῦν
ἢ ὕστερον. τί οὖν ἀγανακτεῖς εἰ νῦν. εἰ γὰρ μὴ νῦν, ὕστε-
ρον. διατί; ἵνα ἡ περίοδος ἀνύηται τοῦ κόσμου.
χρείαν γὰρ ἔχει τῶν μὲν ἐνισταμένων, τῶν δὲ μελ-
λόντων, τῶν δ᾽ ἠνυσμένων. πόνος τί ἐστι. μορμο-
λύκειον. στρέψον αὐτὸ καὶ κατάμαθε. τραχέως κι-
νεῖται τὸ σαρκίδιον. εἶτα πάλιν λείως. ἄν σοι μὴ
λυσιτελῇ, ἡ θύρα ἤνοικται. ἂν λυσιτελῇ, φέρε. πρὸς
πάντα γὰρ ~~ἀνοῖχθαι~~ δεῖ τὴν θύραν. καὶ πρᾶγμα ἠνοῖχθαι
οὐκ ἔχομεν. τίς οὖν τούτων τῶν δογμάτων καρ-
πὸς. ὅνπερ δεῖ κάλλιστόν τ᾽ εἶναι καὶ πρεπωδέστα-
τον τοῖς τῷ ὄντι παιδευομένοις. ἀταραξία. ἀφο-
βία. ἐλευθερία. οὐ γὰρ τοῖς πολλοῖς περὶ τούτων πι-
στευτέον. οἳ λέγουσι μόνοις ἐξεῖναι παιδεύεσθαι
τοῖς ἐλευθέροις. ἀλλὰ τοῖς φιλοσόφοις μᾶλλον. οἳ
λέγουσι μόνους τοὺς παιδευθέντας ἐλευθέρους
εἶναι. πῶς τοῦτο; οὕτω νῦν ἄλλο τί ἐστιν ἐλευθε-
ρία, ἢ τὸ ἐξεῖναι ὡς βουλόμεθα διεξάγειν. οὐδέν. διεξάγειν
λέγετε δή μοι ὦ ἄνθρωποι. βούλεσθε ζῆν ἁμαρ- 155
τάνοντες; οὐ βουλόμεθα. οὐδεὶς τοίνυν ἁμαρτά- 11 K
νων, ἐλεύθερός ἐστι. βούλεσθε ζῆν φοβούμενοι; βού-
λεσθε λυπούμενοι; βούλεσθε ταρασσόμενοι; οὐδα-
μῶς. οὐδεὶς ἄρα οὔτε φοβούμενος οὔτε λυπούμενος



iii ἠνοῖχθαι

οὔτε ταρασσόμενος, ἐλεύθερός ἐστιν. ὅστις δ' ἀπήλλακται λυπῶν καὶ φόβων καὶ ταραχῶν, οὗτος τῇ αὐτῇ ὁδῷ καὶ τοῦ δουλεύειν ἀπήλλακται. πῶς οὖν ἔτι ὑμῖν πιστεύσομεν ὦ φίλτατοι νομοθέται; οὐκ ἐπιτρέπομεν παιδεύεσθαι, ἀλλ' ἢ τοῖς ἐλευθέροις. οἱ φιλόσοφοι γὰρ λέγουσιν, ὅτι οὐκ ἐπιτρέπομεν ἐλευθέροις εἶναι, ἀλλ' ἢ τοῖς πεπαιδευμένοις. τοῦτό ἐστιν ὁ θεὸς οὐκ ἐπιτρέπει. ὅταν οὖν στρέψῃ τις ἐπὶ στρατηγοῦ τὸν αὑτοῦ δοῦλον, οὐδὲν ἐποίησεν; ἐποίησε. τί; ἔστρεψε τὸν αὑτοῦ δοῦλον ἐπὶ στρατηγοῦ. ἄλλο οὐδέν; ναί. καὶ εἰκοστὴν αὐτοῦ δοῦναι ὀφείλει. τί οὖν ὁ ταῦτα παθὼν οὐ γέγονεν ἐλεύθερος; οὐ μᾶλλον ἢ ἀτάραχος. ἐπεὶ σὺ ὁ ἄλλους τρέφειν δυνάμενος, οὐδένα ἔχεις κύριον, οὐκ ἀργύριον; οὐ κοράσιον; οὐ παιδάριον; οὐ τὸν τύραννον; οὐ φίλον τινὰ τοῦ τυράννου; τί οὖν τρέμεις ἐπί τινα τοιαύτην ἀπιὼν περίστασιν. διὰ τοῦτο λέγω πολλάκις, ταῦτα μελετᾶτε. καὶ ταῦτα πρόχειρα ἔχετε. πρὸς τίνα δεῖ τεθαρρηκέναι. καὶ πρὸς τίνα εὐλαβῶς διακεῖσθαι. ὅτι πρὸς τὰ ἀπροαίρετα θαρρεῖν. εὐλαβεῖσθαι τὰ προαιρετικά. ἀλλ' οὐκ ἀνέγνων σοι, οὐδ' ἔγνως τί ποιῶ; ἐν τίνι; ἐν λεξειδίοις. δεῖξον πῶς ἔχεις πρὸς ὄρεξιν καὶ ἔκκλισιν. εἰ μὴ ἀποτυγχάνεις ὧν θέλεις. εἰ μὴ περιπίπτεις οἷς οὐ θέλεις. ἐκεῖνα δὲ τὰ περιόδια ἂν νοῦν ἔχῃς, ἄρας ποῦ ποτε ἀπαλείψεις, τί οὖν. Σωκράτης οὐκ ἔγραφε; καὶ τίς τοσαῦτα. ἀλλὰ πῶς. ἐπεὶ μὴ ἐδύνατο ἔχειν ἀεὶ τὸν ἐλέγχοντα αὐτοῦ τὰ δόγματα ἢ ἐλεγχθησόμενον, ἐν τῷ μέρει αὐτὸς ἑαυτὸν ἤλεγχε καὶ ἐξήταζε. καὶ ἀεὶ μίαν γέ τινα πρόληψιν ἐγύμναζε χρηστικῶς. [illegible] λέγω, ἄλλοις ἀφίησι. τοῖς ἀναισθήτοις, ἢ τοῖς μακαρίοις. τοῖς σχολὴν ἄγουσιν ὑπὸ ἀπραξίας, ἢ τοῖς μηδὲν ἑξῆς ὑπολογιζομένοις διὰ μωρίαν. καὶ νῦν καιροῦ καλοῦντος ἐκεῖνα δείξεις ἐπελθὼν καὶ ἀναγνώσῃ καὶ ἐμπορεύσῃ. ἰδοὺ πῶς διαλόγους συντίθημι. μὴ ἄνθρωπε. ἀλλ' ἐκεῖνα μᾶλλον. ἰδοὺ πῶς ὀρεγόμενος οὐκ ἀποτυγχάνω. ἰδοὺ πῶς ἐκκλίνων οὐ περιπίπτω. φέρε θάνατον, καὶ γνώσῃ. φέρε πόνους, φέρε δεσμωτήριον. φέρε ἀδοξίαν. φέρε καταδίκην. αὕτη ἐπίδειξις νέου ἐκ σχολῆς ἐληλυθότος, τὰ δ' ἄλλα ἄλλοις ἄφες. μηδὲ φωνὴν τις ἀκούσῃ σου περὶ αὐτῶν ποτε. μηδ' ἂν ἐπαινέσῃ τις ἐπ' αὐτοῖς ἀνέχου. δόξον δὲ μηδεὶς εἶναι. καὶ εἰδέναι μηδέν. μόνον τοῦτο εἰδὼς φαίνου. πῶς μήτ' ἀποτύχῃς ποτὲ, μήτε περιπέσῃς. ἄλλοι μελετάτωσαν δίκας. ἄλλοι προβλήματα. ἄλλοι συλλογισμούς. σὺ ἀποθνήσκειν. σὺ δεδέσθαι. σὺ στρεβλοῦσθαι. σὺ ἐξορίζεσθαι. πάντα ταῦτα θαρρούντως. πεποιθότως τῷ κεκληκότι σε ἐπ' αὐτά. τῷ ἄξιον τῆς χώρας ταύτης κεκρικότι. ἐν ᾗ καταταχθεὶς, ἐπιδείξεις τίνα δύναται λογικὸν, ἡγεμονικὸν,

πρὸς τὰς ἀπροαιρέτοις δυνάμεις ἀντιταξάμενον.
καὶ οὕτω τὸ παράδοξον ἐκεῖνο οὐκέτι οὔτ᾽ ἀδύ-
νατον φανεῖται, οὔτε παράδοξον· ὅτι ἅμα μὲν
εὐλαβεῖσθαι δεῖ· ἅμα δὲ θαρρεῖν· πρὸς μὲν τὰ
ἀπροαίρετα θαρρεῖν· ἐν δὲ τοῖς προαιρετικοῖς,
εὐλαβεῖσθαι.

## Περὶ ἀταραξίας. β΄.

Ὅρα σὺ ὁ ἀπιὼν ἐπὶ τὴν δίκην, τί θέλεις τη-
ρῆσαι. καὶ ποῦ θέλεις ἀνύσαι. εἰ γὰρ προ-
αίρεσιν θέλεις τηρῆσαι κατὰ φύσιν ἔχουσαν, πᾶ-
158 σά σοι ἀσφάλεια. πᾶσά σοι εὐμάρεια, πράγματα
14 K οὐκ ἔχεις. τὰ γὰρ ἐπὶ σοὶ ἐξουσίας, καὶ φύσει ἐ-
λεύθερα θέλων τηρῆσαι, καὶ τούτοις ἀρκούμενος,
1. τίνος ἔτι ἐπιστρέφῃ; τίς γὰρ αὐτῶν κύριος. τίς αὐ-
τὰ δύναται ἀφελέσθαι; εἰ θέλεις αἰδήμων εἶναι
καὶ πιστός, τίς οὐκ ἐάσει; εἰ θέλεις μὴ κωλύεσθαι
μηδ᾽ ἀναγκάζεσθαι, τίς σε ἀναγκάσει ὀρέγεσθαι
ὧν οὐ δοκεῖ σοι; τίς ἐκκλίνειν ἃ μὴ φαίνεταί σοι;
ἀλλὰ τί; πράξει μέν σοι τινὰ ἃ δοκεῖ φοβερὰ εἶ-
ναι. ἵνα δὲ καὶ ἐκκλίνων αὐτὰ πάθῃς, πῶς δύνα-
ται ποιῆσαι. ὅταν οὖν ἐπὶ σοὶ ᾖ τὸ ὀρέγεσθαι καὶ
ἐκκλίνειν, τίνος ἔτι ἐπιστρέφῃ; τοῦτό σοι προοίμιον.
τοῦτο διήγησις. τοῦτο πίστις. τοῦτο νίκη. τοῦτο ἐπίλο-
Socrates γος. τοῦτο εὐδοκίμησις. διὰ τοῦτο ὁ Σωκράτης πρὸς Σ
τὸν ὑπομιμνήσκοντα ἵνα παρασκευάζηται πρὸς



τὴν δίκην, ἔφη. οὐ δοκῶ οὖν σοι ἅπαντι τῷ βίῳ
πρὸς τοῦτο παρεσκευάσθαι; ποίαν παρασκευήν;
τετήρηκα φησὶν τὸ ἐπ᾽ ἐμοί. πῶς οὖν; οὐδέν ποτ᾽
ἄδικον οὔτ᾽ ἰδίᾳ οὔτε δημοσίᾳ ἔπραξα. εἰ δὲ θέλεις
καὶ τὰ ἐκτὸς τηρῆσαι, τὸ σωμάτιον, καὶ τὸ ὀσίδιον, καὶ
τὸ ἀξιωμάτιον, λέγω σοι ἤδη αὐτόθεν παρασκευά-
ζου τὴν δυνατὴν παρασκευὴν πᾶσαν. καὶ λοιπὸν
σκέπτου καὶ τὴν φύσιν τοῦ δικαστοῦ καὶ τὸν ἀντί- 159
δικον. εἰ γονάτων ἅψασθαι δεῖ, γονάτων ἅψαι. εἰ 15 K
κλαῦσαι, κλαῦσον. καὶ οἰμῶξαι, οἴμωξον. ὅταν γὰρ
ὑποθῇς τὰ σὰ τοῖς ἐκτός, δούλευε τὸ λοιπὸν καὶ
μὴ ἀντισπῶ. καὶ ποτὲ μὲν θέλε δουλεύειν. ποτὲ δὲ
μὴ θέλε. ἀλλ᾽ ἁπλῶς καὶ ἐξ ὅλης τῆς διανοίας ἢ
ταῦτα ἢ ἐκεῖνα, ἢ ἐλεύθερος ἢ δοῦλος, ἢ πεπαι-
δευμένος, ἢ ἀπαίδευτος, ἢ γενναῖος ἀλεκτρυὼν ἢ
ἀγεννής. ἢ ὑπόμενε τυπτόμενος μέχρις ἂν ἀποθά-
νῃς, ἢ ἀπαγόρευσον εὐθύς. μή σοι γένοιτο πληγὰς
πολλὰς λαβεῖν καὶ ὕστερον ἀπαγορεῦσαι. εἰ δ᾽ αἰσχρὰ
ταῦτα, αὐτόθεν ἤδη διάκρινε. ποῦ φύσις κακῶν καὶ ἀ-
γαθῶν. οὗ καὶ ἀλήθεια. ὅπου ἀλήθεια καὶ οὗ φύσις, ἐκεῖ
τὸ εὐλαβές. ὅπου ἡ ἀλήθεια, ἐκεῖ τὸ θαρραλέον.
ὅπου ἡ φύσις. ἐπεὶ τί δοκεῖς. ὅτι τὰ ἐκτὸς τηρῆσαι
Σ θέλων Σωκράτης, παρελθὼν ἂν ἔλεγεν, ἐμὲ δ᾽ Ἄνυ- Socrates
Μ τος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλά-
ψαι δὲ οὔ; οὕτω μωρὸς ἦν, ἵνα μὴ ἴδῃ ὅτι αὕτη ἡ
ὁδὸς ἐνταῦθα οὐ φέρει, ἀλλ᾽ ἄλλῃ; τί οὖν ἐστιν ὅτι

ὀσίδιον. diminut ab ὀσία

Η Heraclitus Μ οὐκ ἔχω λόγον καὶ προσερεθίζω· ὡς ὁ ἐμὸς Ἡράκλειτος περὶ ἀγριδίου πραγματίου ἔχων ἐν Ῥόδῳ καὶ ἀποδείξας τοῖς δικασταῖς ὅτι δίκαια λέγει, ἐλθὼν ἐπὶ τὸν ἐπίλογον, ἔφη, ὅτι ἀλλ' οὔτε δεήσομαι ὑμῶν, οὔτ' ἐπιστρέφομαι τί μέλλετε κρίνειν· ὑμεῖς δὲ μᾶλλον οἱ κρινόμενοί ἐστε, ἢ ἐγώ· καὶ οὕτω κατέστρεψε τὸ πραγμάτιον. τί χρεία· μόνον μὴ δέου· μὴ προστίθει δ' ὅτι καὶ οὐ δέομαι, εἰ μή τι καιρός ἐστιν ἐπιτηδὲς ἐρεθίσαι τοὺς δικαστὰς ὡς Σωκράτει. Ζ καὶ σὺ εἰ τοιοῦτον ἐπίλογον παρασκευάζῃ, τί ἀναμένεις· τί ὑπακούεις· εἰ γὰρ σταυρωθῆναι θέλεις, ἔκδεξαι καὶ ἥξει ὁ σταυρός· εἰ δ' ὑπακοῦσαι λόγος αἱρεῖ, καὶ πεῖσαι τό γε παρ' αὐτὸν τὰ ἑξῆς τοῦτο ποιητέον· τηροῦντι μέντοι τὰ ἴδια πάντῃ καὶ γελοῖόν ἐστι τὸ λέγειν, ὑπόθου μοι. τί σοι ὑποθῶμαι· ἀλλὰ ποίησόν μου τὴν διάνοιαν ὅ,τι ἂν ἀποβαίνῃ πρὸς τοῦτο ἁρμόσασθαι. ἐπεὶ ἐκεῖνό γε ὅμοιόν ἐστιν, εἰ ἀγράμματος λέγοι· εἰπέ μοι τί γράψω ὅταν μοι προβληθῇ τι ὄνομα. Δ ἂν γὰρ εἴπω ὅτι Δίωνα, εἶτα παρελθὼν ἐκεῖνος αὐτῷ προ-Δ Θ βάλῃ μὴ τὸ Δίωνος ὄνομα ἀλλὰ τὸ Θέωνος, τί γένηται; τί γράψει; ἀλλ' εἰ μὲν μεμελέτηκας γράφειν, ἔχεις καὶ παρεσκευάσαι πρὸς πάντα τὰ ὑπαγορευόμενα. εἰ δὲ μή, τί σοι ἐγὼ νῦν ὑποθῶμαι; ἂν γὰρ ἄλλο τι ὑπαγορεύῃ τὰ πράγματα, τί ἐρεῖς, ἢ τί πράξεις. τούτου οὖν τοῦ καθολικοῦ μέμνησο, καὶ ὑπο- Ρ 160 10

1 L θήκης οὐκ ἀπορήσεις. ἐὰν δὲ πρὸς τὰ ἔξω κεχήνῃς, ἀνάγκη σε ἄνω καὶ κάτω κυλίεσθαι πρὸς τὸ βούλημα τοῦ κυρίου. τίς δ' ἐστὶ κύριος; ὁ τῶν ὑπὸ σοῦ τινος σπουδαζομένων ἢ ἐκκλινομένων ἔχων τὴν ἐξουσίαν.

## Πρὸς τοὺς συνιστάντας τινὰς τοῖς φιλοσόφοις. γ.

Δ Καλῶς ὁ Διογένης πρὸς τὸν ἀξιοῦντα γράμματα παρ' αὐτοῦ λαβεῖν συστατικά, ὅτι μέν, ἄνθρωπός φησιν εἶ, καὶ ἰδὼν γνώσεται· εἰ δ' ἀγαθὸς ἢ κακός, εἰ μὲν ἔμπειρός ἐστι διαγνῶναι τοὺς ἀγαθοὺς καὶ κακούς, γνώσεται· εἰ δ' ἄπειρος, οὐδ' ἂν μυριάκις γράψω αὐτῷ. ὅμοιον γὰρ ὥσπερ εἰ δραχμὴ συσταθῆναί τινι ἠξίου ἵνα δοκιμασθῇ. εἰ ἀργυρογνώμονικός ἐστι, σὺ σαυτὴν συστήσεις. ἔδει οὖν τοιοῦτόν τι ἔχειν ἡμᾶς καὶ ἐν τῷ βίῳ οἷον ἐπ' ἀργυρίου, ἵν' εἰπεῖν δύνωμαι καθάπερ ὁ ἀργυρογνώμων λέγει· φέρε ἣν θέλεις δραχμήν, καὶ διαγνώσομαι. ἀλλ' ἐπὶ συλλογισμῷ φέρε ὃν θέλεις, καὶ διακρινῶ σοι τὸν ἀναλυτικόν τε καὶ μή. διατί; οἶδα γὰρ ἀναλύειν συλλογισμούς. ἔχω τὴν δύναμιν ἣν ἔχειν δεῖ τὸν ἐπιγνωστικὸν τῶν περὶ συλλογισμοὺς κατορθούντων. ἐπὶ δὲ τοῦ βίου τί ποιῶ; νῦν μὲν λέγω ἀγαθόν, νῦν δὲ κακόν. τί τὸ αἴτιον. τὸ ἐναντίον. ἡ ἐπὶ τῶν συλλογισμῶν ἀμαθία καὶ ἀπειρία. Diogenes 162 2 L

συστατικὰ γράμματα
comendatitias litteras

## Πρὸς τὸν ἐν μοιχείᾳ ποτὲ καταλημμένον.

Λέγοντος αὐτοῦ ὅτι ὁ ἄνθρωπος πρὸς πίστιν γέγονε, καὶ τοῦτο ὁ ἀναφέπων, ἀνατρέπει τὸ ἴδιον τοῦ ἀνθρώπου, ἐπεισῆλθέ τις τῶν δοκούντων φιλολόγων. ὅς κατελήφθη ποτὲ μοιχὸς ἐν τῇ πόλει. ὁ δ' ἀλλ' ἂν φησὶν ἀφέντες τοῦτο τὸ πιστὸν πρὸς ὃ πεφύκαμεν, ἐπιβουλεύωμεν τῇ γυναικὶ τοῦ γείτονος; τί ποιοῦμεν; τί γὰρ ἄλλο, ἢ ἀπόλλυμεν καὶ ἀναιροῦμεν; τίνα; τὸν πιστόν. τὸν αἰδήμονα. τὸν ὅσιον. ταῦτα μόνα; γειτνίασιν δ' οὐκ ἀναιροῦμεν; φιλίαν δ' οὔ; πόλιν δ' οὔ; εἰς τίνα δὲ χώραν αὑτοὺς κατατάσσομεν. ὡς τίνι σοι χρῶμαι ἄνθρωπε. ὡς γείτονι; ὡς φίλῳ; ποίῳ τινί. ὡς πολίτῃ. τί σοι πιστεύσω; εἶτα σκευάριον μὲν εἰ ἦς οὕτω σαπρὸν ὥστε σοι πρὸς μηδὲν δύνασθαι χρῆσθαι, ἔξω ἂν ἐπὶ τὰς κοπρείας ἐρίπτου. καὶ οὐδ' ἐκεῖθεν ἄν τίς σε ἀνῃρεῖτο. εἰ δ' ἄνθρωπος ὤν, οὐδεμίαν χώραν δύνασαι ἀποπληρῶσαι ἀνθρωπικήν, τί σε ποιήσωμεν. ἔστω γὰρ, φίλου οὐ δύνασαι τόπον ἔχειν. δούλου δύνασαι; καὶ τίς σοι πιστεύσει; οὐ θέλεις οὖν ῥιφῆναί που καὶ αὐτὸς ἐπὶ κοπρείαν ὡς σκεῦος ἄχρηστον, ὡς κόπριον; εἶτα ἐρεῖς οὐδείς μου ἐπιστρέφεται ἀνθρώπου φιλολόγου. κακὸς γὰρ εἶ καὶ ἄχρηστος. οἷον εἰ οἱ σκώληκες ἠγανάκτουν ὅτι οὐδεὶς αὐτῶν ἐπιστρέφεται. ἀλλὰ φεύγουσι πάντες

κοπρίας
κοπρίαν



[redacted]. κἄν τις δύνηται, πλήξας κατέβαλε. σὺ κέντρον ἔχεις τοιοῦτον, ὥστε ὃν ἂν πλήξῃς, εἰς πράγματα καὶ ὀδύνας ἐμβάλλειν. τί σε θέλεις ποιήσωμεν. οὐκ ἔχεις ποῦ τεθῇς. τί οὖν, οὐκ εἰσὶν αἱ γυναῖκες κοιναὶ φύσει; κἀγὼ λέγω. καὶ γὰρ τὸ χοιρίδιον κοινὸν τῶν κεκλημένων. ἀλλ' ὅταν μέρη γένηται, ἄν σοι φαίνηται, ἀνάρπασον ἐλθὼν τὸ τοῦ παρακειμένου μέρος, λάθρα κλέψον, ἢ παρακαθεὶς, τὴν χεῖρα λίχνευε. κἂν μὴ δύνῃ τοῦ κρέως ἀποσπάσαι, λίπαινε τοὺς δακτύλους, καὶ περίλειχε. καλὸς συμπότης καὶ σύνδειπνος σωκρατικός. ἄγε. τὸ δὲ θέατρον οὐκ ἔστι κοινὸν τῶν πολιτῶν; ὅτε οὖν καθίσωσιν, ἐλθὼν ἄν σοι φαίνηται, ἔκβαλέ τινα αὐτῶν. οὕτω καὶ αἱ γυναῖκες φύσει κοιναί. ὅταν δ' ὁ νομοθέτης ὡς ἑστιάτωρ διέλῃ αὐτὰς, οὐ θέλεις καὶ αὐτὸς ἴδιον μέρος ζητεῖν, ἀλλὰ τὸ ἀλλότριον ὑφαρπάζεις καὶ λιχνεύεις; ἀλλὰ φιλόλογός εἰμι καὶ ἀρχέδημον νοῶ. ἀρχέδημον τοίνυν νοῶν, μοιχὸς ἴσθι καὶ ἄπιστος. καὶ ἀντὶ ἀνθρώπου λύκος ἢ πίθηκος, τί γὰρ διαφέρει;

## Πῶς συνυπάρχει μεγαλοφροσύνη καὶ ἐπιμέλεια. ε.

Αἱ ὗλαι ἀδιάφοροι, ἡ δὲ χρῆσις αὐτῶν οὐκ ἀδιάφορος. πῶς οὖν τηρήσει τις ἅμα μὲν τὸ εὐσταθὲς καὶ ἀτάραχον, ἅμα δὲ τὸ ἐπιμελὲς καὶ μὴ εἰκαῖον, μηδ' ἐπισεσυρμένον. ἂν μιμῆται τοὺς

κυβεύοντας. αἱ ψῆφοι ἀδιάφοροι, οἱ κύβοι ἀδιάφοροι. πόθεν οἶδα τί μέλλει πίπτειν; τῷ πεσόντι δ' ἐπιμελῶς καὶ τεχνικῶς χρῆσθαι, τοῦτο ἤδη ἐμὸν ἔργον ἐστίν. οὕτω τοίνυν τὸ μὲν προηγούμενον καὶ ἐπὶ τοῦ βίου ἔργον ἐκεῖνο. διέλε τὰ πράγματα καὶ διάστησον, καὶ εἰπέ, τὰ ἔξω οὐκ ἐπ' ἐμοί· προαίρεσις ἐπ' ἐμοί. ποῦ ζητήσω τὸ ἀγαθὸν καὶ τὸ κακόν; ἔσω ἐν τοῖς ἐμοῖς. ἐν δὲ τοῖς ἀλλοτρίοις μηδέποτε μήτ' ἀγαθὸν ὀνομάσῃς μήτε κακόν, μήτ' ὠφέλειαν μήτε βλάβην, μήτ' ἄλλο τι τῶν τοιούτων. τί οὖν ἀμελῶς τούτοις χρηστέον; οὐδαμῶς. τοῦτο γὰρ πάλιν τῇ προαιρέσει ~~κακόν~~ ἐστὶ, καὶ ταύτῃ παρὰ φύσιν. ἀλλ' ἅμα μὲν ἐπιμελῶς ὅτι ἡ χρῆσις οὐκ ἀδιάφορον. ἅμα δ' εὐσταθῶς καὶ ἀταράχως ὅτι ἡ ὕλη οὐ διαφέρουσα. ὅπου γὰρ τὸ διάφορον, ἐκεῖ οὔτε κωλῦσαί με τις δύναται, οὔτ' ἀναγκάσαι. ὅπου κωλυτὸς καὶ ἀναγκαστός εἰμι, ἐκείνων ἡ μὲν τεῦξις οὐκ ἐπ' ἐμοί, οὐδ' ἀγαθὸν ἢ κακόν. ἡ χρῆσις δ' ἢ κακὸν ἢ ἀγαθόν, ἀλλ' ἐπ' ἐμοί. δύσκολον δὲ μίξαι καὶ συναγαγεῖν ταῦτα, ἐπιμέλειαν τοῦ προσπεπονθότος ταῖς ὕλαις, καὶ εὐστάθειαν τοῦ ἀνεπιστρεπτοῦντος. πλὴν οὐκ ἀδύνατον. εἰ δὲ μὴ ἀδύνατον τὸ εὐδαιμονῆσαι, ἀλλ' οἷόν τι ἐπὶ τοῦ πλοῦ ποιοῦμεν, τί μοι δύναται; τὸ ἐκλέξασθαι τὸν κυβερνήτην, τοὺς ναύτας, τὴν ἡμέραν, τὸν καιρόν. εἶτα χειμὼν ἐμπέπτωκε. τί οὖν ἔτι μοι μέλει; τὰ γὰρ ἐμὰ ἐκπεπλήρωται. ἄλλου ἐστὶν

165

κακὸν

21



ἡ ὑπόθεσις τοῦ κυβερνήτου. ἀλλὰ καὶ ἡ ναῦς καταδύεται. τί οὖν ἔχω ποιῆσαι; ὃ δύναμαι, τοῦτο μόνον ποιῶ. μὴ φοβούμενος ἀποπνίγομαι, οὐδὲ κεκραγώς, οὐδ' ἐγκαλῶν τῷ θεῷ. ἀλλ' εἰδὼς ὅτι τὸ γενόμενον καὶ φθαρῆναι δεῖ. οὐ γάρ εἰμι αἰών, ἀλλ' ἄνθρωπος μέρος τῶν πάντων, ὡς ὥρα ἡμέρας. ἐνστῆναί με δεῖ ὡς τὴν ὥραν, καὶ παρελθεῖν ὡς ὥραν. τί οὖν μοι διαφέρει πῶς παρέλθω, πότερον πνιγεὶς ἢ πυρέξας. διὰ γὰρ τοιούτου τινὸς δεῖ παρελθεῖν με. τοῦτο ὄψει ποιοῦντας καὶ τοὺς σφαιρίζοντας ἐμπείρως. οὐδεὶς αὐτῶν διαφέρεται περὶ τοῦ ἀρπάστου ὡς περὶ ἀγαθοῦ ἢ κακοῦ. περὶ δὲ τὸ βάλλειν καὶ δέχεσθαι λοιπόν. ἐν τούτῳ ἡ εὐρυθμία, ἐν τούτῳ ἡ τέχνη, τὸ τάχος, ἡ εὐγνωμοσύνη. ἵν' ἐγὼ μηδ' ἂν τὸν κόλπον ἐκτείνω, δύνωμαι λαβεῖν αὐτό. ὁ δέ, ἂν βάλω, λαμβάνει. ἂν δὲ μετὰ ταραχῆς καὶ φόβου δεχώμεθα ἢ βάλωμεν αὐτό, ποία ἔτι παιδιά; πῶς δέ τις εὐσταθήσει, πῶς δέ τις τὸ ἑξῆς ὄψεται ἐν αὐτῇ; ἀλλ' ὁ μὲν ἐρεῖ βάλε, μὴ βάλῃς. ὁ δὲ μίαν ἔβαλες. τοῦτο δὲ μάχη ἐστὶ καὶ οὐ παιδιά. τοιγαροῦν Σωκράτης ᾔδει σφαιρίζειν. πῶς; παίζειν ἐν τῷ δικαστηρίῳ. λέγε μοι φησὶν Ἄνυτε, πῶς με φὴς θεὸν οὐ νομίζειν; οἱ δαίμονές σοι τίνες εἶναι δοκοῦσιν; οὐχὶ ἤτοι θεῶν παῖδές εἰσιν, ἢ ἐξ ἀνθρώπων καὶ θεῶν μεμιγμένοι τινές; ὁμολογήσαντος δέ, τίς οὖν σοι δοκεῖ δύνασθαι ἡμιόνους μὲν ἡγεῖσθαι εἶναι, ὄνους δὲ μή; ὡς ἄν τις

166

Socrates

διαφέρει
ἁρπάσου

δαίμονες

ρίῳ παίζων. καὶ τί ἐκεῖ ἐν μέσῳ ἁρπάστιον. τὸ ζῆν. τὸ δεδέσθαι. τὸ φυγαδευθῆναι. τὸ πιεῖν φάρμακον. τὸ γυναικὸς ἀφαιρεθῆναι. τὸ τέκνα ὀρφανὰ καταλιπεῖν. ταῦτα ἦν ἐν μέσῳ οἷς ἔπαιζεν. ἀλλ' οὐδὲν ἧττον ἔπαιζε καὶ ἐσφαίριζεν εὐρύθμως. οὕτω καὶ ἡμᾶς.. τὴν μὲν ἐπιμέλειαν σφαιριστικωτάτην. τὴν δ' ἀδιαφορίαν ὡς ὑπὲρ ἁρπαστίου. δεῖ γὰρ πάντως περί τινα τῶν ἐκτὸς ὑλῶν φιλοτεχνεῖν. ἀλλ' οὐκ ἐκείνην ἀποδεχόμενον. ἀλλ' οἵα ἂν ᾖ ἐκείνη τὴν περὶ αὐτὴν φιλοτεχνίαν ἐπιδεικνύοντα. οὕτω καὶ ὁ ὑφάντης, οὐκ ἔρια ποιεῖ. ἀλλ' οἷα ἂν παραλάβῃ, περὶ αὐτὰ φιλοτεχνεῖ. ἄλλος σοι δίδωσι τροφὰς καὶ κτῆσιν. καὶ αὐτὰ ταῦτα δύναται ἀφελέσθαι, καὶ τὸ σωμάτιον αὐτό. σὺ λοιπὸν παραλαβὼν τὴν ὕλην, ἐργάζου. εἶτα ἂν ἐξέλθῃς μηδὲν παθών, οἱ μὲν ἄλλοι ἀπαντῶντές σοι συγχαρήσονται ὅτι ἐσώθης. ὁ δ' εἰδὼς βλέπειν τὰ τοιαῦτα, ἂν μὲν ἴδῃ ὅτι εὐσχημόνως ἀνεστράφης ἐν τούτῳ, ἐπαινέσει καὶ συνησθήσεται. ἂν δὲ δι' ἀσχημοσύνην τινὰ διασεσωσμένον, τὰ ἐναντία. ὅπου γὰρ τὸ χαίρειν εὐλόγως, ἐκεῖ καὶ τὸ συγχαίρειν. πῶς οὖν λέγεται τῶν ἐκτός τινα κατὰ φύσιν καὶ παρὰ φύσιν. ὥσπερ ἂν εἰ ἀπόλυτοι ἦμεν, τῷ γὰρ ποδὶ κατὰ φύσιν εἶναι ἐρῶ τὸ καθαρῷ εἶναι. ἀλλ' ἂν αὐτὸν ὡς πόδα λάβῃς καὶ ὡς μὴ ἀπόλυτον, καθήξει αὐτὸν καὶ εἰς πηλὸν ἐμβαίνειν καὶ ἀκάνθας πατῆσαι

καὶ ἔστιν



καὶ ἔστιν ὅτε ἀποκοπῆναι ὑπὲρ τοῦ ὅλου. εἰ δὲ μή, οὐκέτι ἔσται πούς. τοιοῦτόν τι καὶ ἐφ' ἡμῶν ὑπολαβεῖν δεῖ. τί εἶ. ἄνθρωπος. εἰ μὲν ὡς ἀπόλυτον σκοπεῖς, κατὰ φύσιν ἐστὶ ζῆσαι. μέχρι γήρως πλουτεῖν. ὑγιαίνειν. εἰ δ' ὡς ἄνθρωπον σκοπεῖς καὶ μέρος ὅλου τινός, δι' ἐκεῖνο τὸ ὅλον, νῦν μέν σοι νοσῆσαι καθήκει, νῦν δὲ πλεῦσαι, καὶ κινδυνεῦσαι. νῦν δ' ἀπορηθῆναι. πρὸ ὥρας δ' ἔστιν ὅτε ἀποθανεῖν. τί οὖν ἀγανακτεῖς; οὐκ οἶδας ὅτι ὡς ἐκεῖνος οὐκέτι ἔσται πούς, οὕτως οὐδὲ σὺ ἄνθρωπος; τί γάρ ἐστιν ἄνθρωπος, μέρος πόλεως. πρώτης μὲν τῆς ἐκ θεῶν καὶ ἀνθρώπων. μετὰ ταῦτα δὲ τῆς ὡς ἔγγιστα λεγομένης. ἥ τί ἐστι μικρὸν τῆς ὅλης μίμημα. νῦν οὖν ἐμὲ κρίνεσθαι. νῦν οὖν ἄλλον πυρέσσειν. ἄλλον πλεῖν. ἄλλον ἀποθνήσκειν. ἄλλον κα[illegible]σθαι. ἀδύνατον γὰρ ἐν τοιούτῳ σώματι, ἐν τούτῳ τῷ περιέχοντι, τούτοις τοῖς συζῶσι μὴ συμπίπτειν ἄλλοις ἄλλα τοιαῦτα. σὸν οὖν ἔργον ἐλθόντα εἰπεῖν ἃ δεῖ, διαθέσθαι ταῦτα ὡς ἐπιβάλλει. εἶτα ἐκεῖνος λέγει. κρίνω σε ἀδικεῖν. εὖ σοι γένοιτο. ἐποίησα ἐγὼ τὸ ἐμόν. εἰ δὲ καὶ σὺ τὸ σὸν ἐποίησας, ὄψει αὐτός. ἔστι γάρ τις κἀκείνου κίνδυνος μή σε λανθανέτω.

κατακεκρίσθαι

## Περὶ ἀδιαφορίας. ς'.

Τὸ συνημμένον ἀδιάφορον, ἡ κρίσις ἡ περὶ αὐτοῦ, οὐκ ἀδιάφορος. ἀλλ' ἢ ἐπιστήμη, ἢ



συνημμένον

δείξει, ἢ ἀπέστη. οὕτω τὸ ζῆν ἀδιάφορον, ἡ χρῆσις οὐκ ἀδιάφορος. μή ποτ' οὖν ὅταν εἴπῃ τις ὑμῖν ἀδιαφορεῖν καὶ ταῦτα, ἀμελεῖς γίνεσθε. μηδ' ὅταν εἰς τὸ μελετᾶν τις ὑμᾶς παρακαλῇ, ταπεινοὶ καὶ τὰς ὕλας τεθαυμακότες. καλὸν δὲ καὶ τὸ εἰδέναι τὴν αὑτοῦ παρασκευὴν καὶ δύναμιν. ἵν' ἐν οἷς μὴ παρεσκεύασαι, ἡσυχίαν ἄγῃς. μὴ δ' ἀγανακτῇς εἴ τινες ἄλλοι πλεῖόν σου ἔχουσιν ἐν ἐκείνοις. καὶ γὰρ σὺ ἐν συλλογισμοῖς πλεῖον ἀξιώσεις σεαυτὸν ἔχειν. κἂν ἀγανακτῶσιν ἐπὶ τούτῳ, παραμυθήσῃ αὐτούς, ἐγὼ ἔμαθον, ὑμεῖς δ' οὔ. οὕτω καὶ ὅπου τινὸς χρείας τριβῆς, μὴ ζήτει τὸ ἀπὸ τῆς χρείας περιγινόμενον. ἀλλ' ἐκείνου μὲν παραχώρει τοῖς πεπραγματευμένοις. σοὶ δ' ἀρκείτω τὸ εὐσταθεῖν. ἄπελθε καὶ ἄσπασαι τὸν δεῖνα. πῶς; οὐ ταπεινῶς. ἀλλ' ἐξεκλείσθην. διὰ θυρίδος γὰρ οὐκ ἔμαθον εἰσέρχεσθαι. ὅταν δὲ κεκλιμένην εὕρω τὴν θύραν, ἀνάγκη μὲν ἀποχωρῆσαι ἢ διὰ τῆς θυρίδος εἰσελθεῖν. ἀλλὰ καὶ λάλησον αὐτῷ. λαλῶ. τίνα τρόπον; οὐ ταπεινῶς. ἀλλ' οὐκ ἐπέτυχες. μὴ γὰρ σὸν τοῦτο ἔργον ἦν, ἀλλ' ἐκείνου. τί οὖν ἀντιποιῇ τοῦ ἀλλοτρίου; ἀεὶ μεμνημένος ὅ, τι σὸν, καὶ τί ἀλλότριον, οὐ ταραχθήσῃ. διὰ τοῦτο καλῶς ὁ Χρύσιππος λέγει, ὅτι μέχρις ἂν ἄδηλά μοι ᾖ τὰ ἑξῆς, ἀεὶ τῶν εὐφυεστέρων ἔχομαι πρὸς τὸ τυγχάνειν τῶν κατὰ φύσιν. αὐτὸς γάρ μ' ὁ θεὸς τοιούτων ἐκλεκτικὸν ἐποίησεν. εἰ δέ γε ᾔδειν ὅτι νοσεῖν μοι [με]



καθείμαρται νῦν, καὶ ὥρμων ἂν ἐπ' αὐτό. καὶ γὰρ ὁ πούς, εἰ φρένας εἶχεν, ὥρμα ἂν ἐπὶ τὸ πηλοῦσθαι. ἐπεί τοι τίνος ἕνεκα γίνονται στάχυες; οὐχ ἵνα καὶ ξηρανθῶσιν; ἀλλὰ ξηραίνονται μὲν, οὐχ ἵνα δὲ καὶ θερισθῶσιν; οὐ γὰρ ἀπόλυτοι γίνονται. εἰ οὖν αἴσθησιν εἶχον, εὔχεσθαι αὐτοὺς ἔδει, ἵνα μὴ θερισθῶσι μηδέποτε. τοῦτο δὲ κατάρα ἐστὶν ἐπὶ σταχύων, τὸ μηδέποτε θερισθῆναι. οὕτως ἴσθ' ὅτι καὶ ἐπ' ~~αὐτῶν~~ κατάρα ἐστὶ τὸ μὴ ἀποθανεῖν. ὅμοιον τῷ μὴ πεπανθῆναι, μὴ τὸ θερισθῆναι. ἡμεῖς δ' ἐπειδὴ οἱ αὐτοί ἐσμεν, ἅμα μὲν οὓς δεῖ θερισθῆναι, ἅμα δὲ καὶ αὐτῷ τούτῳ παρακολουθοῦντες ὅτι θεριζόμεθα, διὰ τοῦτο ἀγανακτοῦμεν. οὔτε γὰρ ἴσμεν τίνες ἐσμέν, οὔτε μεμελετήκαμεν τὰ ἀνθρωπικά, ὡς ἱππικοὶ τὰ ἱππικά. ἀλλὰ Χρυσάντης μὲν παίειν μέλλων τὸν πολέμιον, ἐπειδὴ τῆς σάλπιγγος ἤκουσεν ἀνακαλούσης, ἀνέσχεν. οὕτω προὐργιαίτερον ἔδοξεν αὐτῷ τὸ τοῦ στρατηγοῦ πρόσταγμα, ἢ τὸ ἴδιον ποιεῖν. ἡμῶν δ' οὐδεὶς θέλει οὐδὲ τῆς ἀνάγκης καλούσης, εὐλύτως ὑπακοῦσαι αὐτῇ. ἀλλὰ κλαίοντες καὶ στένοντες πάσχομεν ἃ πάσχομεν καὶ περιστάσεις αὐτὰ καλοῦντες. ~~ποίας~~ περιστάσεις ~~ἄνθρωπε~~. εἰ περιστάσεις λέγεις, τὰ περιεστηκότα, πάντα περιστάσεις εἰσίν. εἰ δ' ὡς δύσκολα καλεῖς, ποίαν δυσκολίαν ἔχει τὸ γινόμενον φθαρῆναι; τὸ δὲ φθεῖρον, ἢ μάχαιρά ἐστιν ἢ τροχός, ἢ θάλασσα, ἢ κεραμίς, ἢ τύραννος. τί σοι μέλει ποίᾳ ὁδῷ κα-

ταβῆς εἰς ᾅδου· ἴσαι πᾶσαί εἰσιν. εἰ δὲ θέλεις ἀκοῦσαι τἀληθῆ, συντομωτέρα, ἣν πέμπει ὁ τύραννος. οὐδέποτ' οὐδεὶς τύραννος ἓξ μησί τινα ἔσφαξε. πυρετὸς δὲ καὶ ἐνιαυτῷ πολλάκις. ψόφος ἐστὶ ταῦτα πάντα καὶ κόμπος κενῶν ὀνομάτων. τῇ κεφαλῇ κινδυνεύω ἐπὶ καίσαρος. ἐγὼ δ' οὐ κινδυνεύω ὃς οἰκῶ ἐν νικοπόλει, ὅπου σεισμοὶ τοσοῦτοι. σὺ δ' αὐτὸς ὅταν διαπλέῃς τὸν ἀδρίαν, τί κινδυνεύεις; οὐ τῇ κεφαλῇ, ἀλλὰ τῇ ὑπολήψει κινδυνεύω. τῇ σῇ. πῶς; τίς γάρ σε ἀναγκάσαι δύναται ὑπολαβεῖν τι ὧν οὐ θέλεις. ἀλλὰ τῇ ἀλλοτρίᾳ; καὶ ποῖός ἐστι κίνδυνος σὸς ἄλλους τὰ ψευδῆ ὑπολαβεῖν. ἀλλ' ἐξορισθῆναι κινδυνεύω. τί ἐστιν ἐξορισθῆναι; ἀλλαχοῦ εἶναι ἐν ῥώμῃ; ναί. τί οὖν ἂν εἰς γύαρα πεμφθῶ. ἄν σοι ποιῇ, ἀπελεύσῃ. εἰ δὲ μὴ ἔχεις, ποῦ ἀντὶ γυάρων ἀπέλθῃς, ὅπου κἀκεῖνος ἐλεύσεται ἄν τε θέλῃ ἄν τε μή. ὁ πέμπων σε εἰς γύαρα τί λοιπὸν ὡς ἐπὶ μεγάλα ἀνέρχῃ. μικρότερά ἐστι τῆς παρασκευῆς. ἵν' εἴπῃ νέος εὐφυὴς ὅτι οὐκ ἦν τοσούτου, τοσούτων μὲν ἀκηκοέναι, τοσαῦτα δὲ γεγραφέναι. τοσούτῳ δὲ χρόνῳ παρακεκαθικέναι γεροντίῳ οὐ πολλοῦ ἀξίῳ. μόνον ἐκείνης τῆς διαιρέσεως μέμνησο καθ' ἣν διορίζεται τὰ σὰ καὶ οὐ τὰ σά, μή ποτ' ἀντιποιήσῃ τινὸς τῶν ἀλλοτρίων. βῆμα καὶ φυλακή, τόπος ἐστὶν ἑκάτερον. ὁ μὲν ὑψηλός, ὁ δὲ ταπεινός. ἡ προαίρεσις δ' ἴση. ἂν ἴσην



αὐτὴν ἑκατέρῳ φυλάξαι θέλῃς, δύναται φυλαχθῆναι. καὶ τότ' ἐσόμεθα ζηλωταὶ σωκράτους, ὅταν ἐν φυλακῇ δυνώμεθα παιᾶνας γράφειν. μέχρι δὲ νῦν ὡς ἔχομεν, ὅρα εἰ ἠνεσχόμεθα ἐν τῇ φυλακῇ ἄλλου τινὸς ἡμῖν λέγοντος, θέλεις ἀναγνῶ σοι παιᾶνας. τί μοι πράγματα παρέχεις. οὐκ οἶδας τὰ ἔχοντά με κακά; ἐν τούτοις γάρ μοι ἐστίν. ἐν τίσιν οὖν, ἀποθνήσκειν μέλλω. ἄνθρωποι δ' ἄλλοι ἀθάνατοι ἔσονται.

## Πῶς μαντευτέον. ζ.

Διὰ τὸ ἀκαίρως μαντεύεσθαι, πολλὰ πολλοὶ καθήκοντα παραλείπομεν. τί γὰρ ὁ μάντις δύναται πλέον ἰδεῖν θανάτου, ἢ κινδύνου, ἢ νόσου, ἢ ὅλως τῶν τοιούτων. ἂν οὖν δέῃ κινδυνεῦσαι ὑπὲρ τοῦ φίλου, ἂν δὲ καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ καθήκῃ, ποῦ μοι καιρὸς ἔτι μαντεύεσθαι. οὐκ ἔχω τὸν μάντιν ἔσω τὸν εἰρηκότα μοι τὴν οὐσίαν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, τὸν ἐξηγημένον τὰ σημεῖα ἀμφοτέρων; τί οὖν ἔτι χρείαν ἔχω τῶν σπλάγχνων, ἢ τῶν οἰωνῶν, ἀλλ' ἀνέχομαι λέγοντος ἐκείνου, συμφέρει σοι. τί γάρ ἐστι συμφέρον. οἶδε τί ἐστιν ἀγαθόν; εἰ δὲ μεμάθηκεν ὥσπερ τὰ σημεῖα τῶν σπλάγχνων, οὕτω σημεῖα τινὰ ἀγαθῶν καὶ κακῶν; εἰ γὰρ τούτων οἶδε σημεῖα, καὶ καλῶν καὶ αἰσχρῶν οἶδε. καὶ δικαίων καὶ ἀδίκων. ἄνθρωπε. σύ

μοι λέγε τί σημαίνεται ζωὴ ἢ θάνατος. πενία, ἢ
πλοῦτος. πότερον δὲ συμφέρει ταῦτα, ἢ ἀσύμφο-
ρά ἐστι. σοῦ μέλλω πυνθάνεσθαι. διατί οὖν γραμμα-
ἀνθρώποις τικοῖς οὐ λέγεις. ἐνθάδε δ' οὖν ὅπου πάντες ~~αὐτοὶ~~ πλα-
νώμεθα καὶ πρὸς ἀλλήλους μαχόμεθα. διατοῦτο
ἡ γυνὴ καλῶς εἶπεν ἡ πέμψαι θέλουσα τῇ Γρα- Γ
Gratylla τίλλῃ ἐξωρισμένῃ τὸ πλοῖον τῶν ἐπιμηνίων. καὶ π-
Domitian ρὸς τὸν εἰπόντα ὅτι ἀφαιρήσεται αὐτὰ Δομιτιανός. Δ
μᾶλλον θέλω φησὶν ἵν' ἐκεῖνος αὐτὰ ἀφέληται, ἢ
ἐγὼ μὴ πέμψω. τί οὖν ἡμᾶς ἐπὶ τὸ συνεχῶς μαν-
τεύεσθαι ἄγει; ἡ δειλία, τὸ φοβεῖσθαι τὰς ἐκβά-
σεις. διατοῦτο κολακεύομεν τοὺς μάντεις. κληρο-
νομήσω κύριε τὸν πατέρα; ἴδωμεν. ἐπιθυσώμεθα.
ναί. κύριε ὡς ἡ τύχη θέλει. εἶτ' ἂν εἴπῃ κληρονομή-
σεις, ὡς παρ' αὐτοῦ τὴν κληρονομίαν εἰληφότες,
εὐχαριστοῦμεν αὐτῷ. διατοῦτο κἀκεῖνοι λοιπὸν ἐμ-
παίζουσιν ἡμῖν. τί οὖν δεῖ δίχα ὀρέξεως ἔρχε-
σθαι καὶ ἐκκλίσεως, ὡς ὁ ὁδοιπόρος πυνθάνεται
175 παρὰ τοῦ ἀπαντήσαντος ποτέρα τῶν ὁδῶν φέρει.
οὐκ ἔχων ὄρεξιν πρὸς τὴν δεξιὰν μᾶλλον φέρειν
15 L ἢ τὴν ἀριστεράν. οὐ γὰρ τούτων τινὰ ἀπελθεῖν θέ-
λει. ἀλλὰ τὴν φέρουσαν. οὕτως ἔδει καὶ ἐπὶ τὸν
ἔρχεσθαι θεὸν ἄρχεσθαι, ὡς ὁδηγόν, ὡς τοῖς ὀφθαλμοῖς
χρώμεθα, οὐ παρακαλοῦντες αὐτούς, ἵνα ταῦτα
μᾶλλον ἡμῖν δεικνύωσιν. ἀλλ' οἷα ἂν δεικνύωσι,
τούτων τὰς φαντασίας δεχόμενοι. νῦν δὲ τρέμον-

νῦν δὲ τρέμοντες



τες τὸ ὀρνιθάριον κρατοῦμεν. καὶ τὸν θεὸν ἐπικα-
λούμενοι δεόμεθα αὐτοῦ, κύριε ἐλέησον. ἐπίτρεψόν
μοι ἐξελθεῖν. ἀνδράποδον. ἄλλο γάρ τι θέλεις, ἢ
τὸ ἄμεινον; ἄλλο οὖν τι ἄμεινον, ἢ τὸ τῷ θεῷ δο-
κοῦν; τί τὸ ὅσον ἐπὶ σοί, διαφθείρεις τὸν κριτήν,
παράγεις τὸν σύμβουλον.

Τίς οὐσία τοῦ ἀγαθοῦ. η.

Ὁ θεὸς ὠφέλιμος. ἀλλὰ καὶ τἀγαθὸν ὠ-
φέλιμον. εἰκὸς οὖν ὅπου ἡ οὐσία τοῦ θεοῦ, ἐκεῖ
εἶναι καὶ τὴν τοῦ ἀγαθοῦ. τίς οὖν οὐσία θεοῦ. σάρξ;
μὴ γένοιτο. ἀγρός; μὴ γένοιτο. φήμη; μὴ γένοιτο.
νοῦς. ἐπιστήμη. λόγος ὀρθός. ἐνταῦθα τοίνυν ἁπλῶς
ζήτει τὴν οὐσίαν τοῦ ἀγαθοῦ, ἐπεί τοι μή τι αὐτὴν
ἐν φυτῷ ζητεῖς; οὔ. μή τι ἐν ἀλόγῳ; οὔ. ἐν λογικῷ 170
οὖν ζητῶν, τί ἔτι ἀλλαχοῦ ζητεῖς ἢ ἐν τῇ παραλλαγῇ
τῇ πρὸς τὰ ἄλογα. τὰ φυτὰ οὐδὲ φαντασίαις χρηστι- 10 L
κά ἐστι. διατοῦτο οὐ λέγεις ἐπ' αὐτῶν τὸ ἀγαθόν. δεῖ-
ται οὖν τὸ ἀγαθὸν χρήσεως φαντασιῶν. ἆρά γε μό-
νης; εἰ γὰρ μόνης, λέγε καὶ ἐν τοῖς ἄλλοις ζῴοις τὰ ἀ-
γαθὰ εἶναι, καὶ εὐδαιμονίαν καὶ κακοδαιμονίαν. νῦν δ' ~~[illegible]~~ μονίαν
οὐ λέγεις. καὶ καλῶς ποιεῖς. εἰ γὰρ καὶ τὰ μάλιστα χρῆ-
σιν φαντασιῶν ἔχει, ἀλλὰ παρακολούθησίν γε τῇ
χρήσει τῶν φαντασιῶν οὐκ ἔχει. καὶ εἰκότως. ὑπηρετι-
κὰ γὰρ γέγονεν ἄλλοις, οὐ κατ' προηγούμενα. ὁ ὄνος nel redundat, ne...
ἐπεὶ γέγονε μή τι προηγουμένως; οὔ. ἀλλ' ὅτι νώτου χρείαν loco eius ponendi
εἴχομεν βαστάζειν τι δυναμένου. ἀλλὰ νὴ Δία, καὶ πε- οὐ.

κύριε ἐλέησον. sine apostropho ...

κύριε ἐλέησον

εἶπε τούτου χρείαν ἔχομεν. διὰ τοῦτο προσείληφε καὶ τὸ χρῆσθαι φαντασίαις. ἄλλως γὰρ περιπατεῖν οὐκ ἐδύνατο. καὶ λοιπὸν αὐτοῦ που πέπαυται. ἃ δὲ καὶ αὐτός που προσείληφε παρακολουθεῖν τῇ χρήσει τῶν φαντασιῶν, καὶ δῆλον ὅτι κατὰ λόγον, οὐκ ἔτ' ἂν ἡμῖν ὑποτέτακτο. οὐδὲ τὰς χρείας ταύτας παρεῖχεν. ἀλλ' ἦν ἄν, ἴσος ἡμῖν καὶ ὅμοιος. οὐ θέλεις οὖν ἐκεῖ ζητεῖν τὴν οὐσίαν τοῦ ἀγαθοῦ, οὗ μὴ παρόντος, ἐπ' οὐδενὸς τῶν ἄλλων θέλεις λέγειν τὸ ἀγαθόν; τί οὖν οὐκ ἔστι θεῶν ἔργα

177

κἀκεῖνα; ἔστιν. ἀλλ' οὐ προηγούμενα. οὐδὲ μέρη

1 M

θεῶν. σὺ δὲ προηγούμενον εἶ. σὺ ἀπόσπασμα εἶ τοῦ θεοῦ. ἔχεις τι ἐν σεαυτῷ μέρος ἐκείνου. τί οὖν ἀγνοεῖς σου τὴν συγγένειαν. τί οὐκ οἶδας πόθεν ἐλήλυθας; οὐ θέλεις μεμνῆσθαι ὅταν ἐσθίῃς, τίς ὢν ἐσθίεις καὶ τίνα τρέφεις; ὅταν συνουσίᾳ χρῇ, τίς ὢν χρῇ; ὅταν ὁμιλίᾳ, ὅταν γυμνάζῃ, ὅταν διαλέγῃ, οὐκ οἶδας ὅτι θεὸν τρέφεις; θεὸν γυμνάζεις; θεὸν περιφέρεις. τάλας καὶ ἀγνοεῖς; δοκεῖς με λέγειν ἀργυροῦν τινα ἢ χρυσοῦν ἔξωθεν; ἐν σαυτῷ φέρεις αὐτὸν. καὶ μολύνων οὐκ αἰσθάνῃ. ἀκαθάρτοις μὲν διανοήμασι, ῥυπαραῖς δὲ πράξεσι. καὶ ἀγάλματος μὲν τοῦ θεοῦ παρόντος, οὐκ ἂν τολμήσαις τι τούτων ποιεῖν ὧν ποιεῖς. αὐτοῦ δὲ τοῦ θεοῦ παρόντος ἔσωθεν καὶ ἐφορῶντος πάντα, καὶ ἐπακούοντος, οὐκ αἰσχύνῃ ταῦτα ἐνθυμούμενος καὶ ποιῶν,



ἀναίσθητε τῆς σαυτοῦ φύσεως καὶ θεοχόλωτε; λοιπὸν ἡμεῖς τί φοβούμεθα ἐκπέμποντες νέον αὐτόν τινας πράξεις ἐκ τῆς σχολῆς. μὴ ἄλλως ποιήσῃ τι. μὴ ἄλλως φάγῃ. μὴ ἄλλως συνουσιάσῃ. μὴ ταπεινώσῃ αὐτὸν ῥάκη περιτεθέντα. μὴ ἐπάρῃ κομψὰ ἱμάτια. οὗτος οὐκ οἶδεν αὐτοῦ θεόν. οὗτος οὐκ οἶδε μετὰ τίνος ἀπέρχεται. ἀλλ' ἀνεχόμεθα λέγοντος αὐτοῦ. σὲ ἤθελον ἔχειν. ἐκεῖ τὸν θεὸν οὐκ ἔχεις. εἶτ' ἄλλον τινὰ ζητεῖς ἐκεῖνον ἔχων; ἢ ἄλλα σοι ἐρεῖ ἐκεῖνος ἢ ταῦτα; ἀλλ' εἰ μὲν τὸ ἄγαλμα ἧς τὸ Φειδίου, ἢ Ἀθηνᾶ ἢ ὁ Ζεύς, ἐμέμνησο ἂν καὶ σαυτοῦ καὶ τοῦ τεχνίτου. καὶ εἴ τινα αἴσθησιν εἶχες, ἐπειρῶ ἂν μηδὲν ἀνάξιον ποιεῖν τοῦ κατασκευάσαντος, μηδὲ σεαυτοῦ, μηδ' ἐν ἀπρεπεῖ σχήματι φαίνεσθαι τοῖς ὁρῶσι. νῦν δέ σε ὅτι ὁ Ζεὺς πεποίηκε, διὰ τοῦτο ἀμελεῖς οἷόν τινα δείξεις σεαυτόν; καὶ τί ὁ τεχνίτης τῷ τεχνίτῃ ὅμοιος, ἢ τὸ κατασκεύασμα τῷ κατασκευάσματι. καὶ ποῖον ἔργον τεχνίτου εὐθὺς ἔχει τὰς δυνάμεις ἐν ἑαυτῷ, ἃς ἐμφαίνει διὰ τῆς κατασκευῆς. οὐχὶ λίθος ἐστίν, ἢ χαλκός, ἢ χρυσός ἢ ἐλέφας, καὶ ἡ Ἀθηνᾶ ἡ Φειδίου ἅπαξ ἐκτείνασα τὴν χεῖρα, καὶ τὴν νίκην ἐπ' αὐτῆς δεξαμένη ἕστηκεν οὕτως ὅλῳ τῷ αἰῶνι; τὰ δὲ τοῦ θεοῦ, κινούμενα. ἔμπνοα. χρηστικὰ φαντασιῶν. δοκιμαστικά. τούτου τοῦ δημιουργοῦ κατασκεύασμα ὢν καταισχύνεις αὐτό; τί δ' ὅτι οὐ μόνον σε κατεσκεύασεν.

178

2 M

Phidias

Minerva phidiae figura

ἀλλὰ καὶ σοὶ μόνῳ σεαυτὸν ἔδωκε καὶ παρακατέθετο. οὐδὲ τούτου μέμνησαι, ἀλλὰ καὶ καταισχυνεῖς τὴν παρακαταθήκην; εἰ δέ σοι ὀρφανόν τινα ὁ θεὸς παρέθετο, οὕτως ἂν αὐτοῦ ἠμέλεις; παραδέδωκέ σοι σεαυτὸν καὶ λέγει, οὐκ εἶχον ἄλλον πιστότερόν σου. τοῦτόν μοι φύλασσε τοιοῦτον, οἷος πέφυκεν. αἰδήμονα. πιστόν. ὑψηλόν. ἀκατάπληκτον. ἀπαθῆ. ἀτάραχον. εἶτα σὺ οὐ φυλάσσεις. ἀλλ᾽ ἐροῦσι πόθεν ἡμῖν οὗτος ὀφρῦν ἀνήνοχε καὶ σεμνοπροσωπεῖ. οὔπω κατ᾽ ἀξίαν. ἔτι γὰρ οὐ θαρρῶ οἷς ἔμαθον καὶ συγκατεθέμην. ἔτι τὴν ἀσθένειαν τὴν ἐμαυτοῦ φοβοῦμαι. ἐπεί τοι ἄφετέ με θαρρῆσαι, καὶ τότε ὄψεσθε βλέμμα οἷον δεῖ. καὶ σχῆμα οἷον δεῖ. τότε ὑμῖν δείξω τὸ ἄγαλμα, ὅταν τελειωθῇ. ὅταν στιλπνωθῇ. τί δοκεῖτε. ὀφρῦν; μὴ γένοιτο. μὴ γὰρ ὁ Ζεὺς ὁ ἐν Ὀλυμπίᾳ ὀφρῦν ἀνέσπακεν; ἀλλὰ πέπηγεν αὐτοῦ τὸ βλέμμα, οἷον δεῖ εἶναι τοῦ ἐροῦντος. οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ᾽ ἀπατηλόν. τοιοῦτον ὑμῖν δείξω ἐμαυτόν. πιστόν. αἰδήμονα. γενναῖον. ἀτάραχον. μή τι οὖν ἀθάνατον; ἀγήρων; μή τι ἄνοσον; ἀλλ᾽ ἀποθνήσκοντα θείως. νοσοῦντα θείως. ταῦτα ἔχω. ταῦτα δύναμαι. τὰ δ᾽ ἄλλα οὔτε ἔχω οὔτε δύναμαι. δείξω ὑμῖν νεῦρα φιλοσόφου. ποῖα νεῦρα. ὄρεξιν ἀναπότευκτον. ἔκκλισιν ἀπερίπτωτον. ὁρμὴν καθήκουσαν. πρόθεσιν ἐπιμελῆ. συγκατάθεσιν ἀπρόπτωτον. ταῦτα ὄψεσθε.

Olympi Iupiter

Philosoph. nervi.





Ὅτι οὐ δυνάμενοι τὴν ἀνθρώπου ἐπαγγελίαν πληρῶσαι, τὴν φιλοσόφου προσλαμβάνομεν. θ΄.

Οὐκ ἔστι τὸ τυχὸν αὐτὸ μόνον, ἀνθρώπου ἐπαγγελίαν πληρῶσαι. τί γάρ ἐστιν ἄνθρωπος; ζῷον φησὶ λογικὸν θνητόν. εὐθὺς ἐν τῷ λογικῷ, τίνων χωριζόμεθα; τῶν θηρίων. καὶ τίνων ἄλλων; τῶν προβάτων, καὶ τῶν ὁμοίων. ὅρα οὖν μή τι πως ὡς θηρίον ποιήσῃς. εἰ δὲ μή, ἀπώλεσας τὸν ἄνθρωπον. οὐκ ἐπλήρωσας τὴν ἐπαγγελίαν. ὅρα μή τι ὡς πρόβατον. εἰ δὲ μή, καὶ οὕτως ἀπώλετο ὁ ἄνθρωπος. τίνα οὖν ποιοῦμεν ὡς πρόβατα; ὅταν τῆς γαστρὸς ἕνεκα. ὅταν τῶν αἰδοίων. ὅταν εἰκῆ. ὅταν ῥυπαρῶς. ὅταν ἀνεπιστρέπτως. ποῦ ἀπεκλίναμεν; ἐπὶ τὰ πρόβατα. τί ἀπωλέσαμεν; τὸ λογικόν. ὅταν μαχίμως, καὶ βλαβερῶς. καὶ θυμικῶς. καὶ ὠστικῶς. ποῦ ἀπεκλίναμεν; ἐπὶ τὰ θηρία. λοιπὸν οἱ μὲν ἡμῶν μεγάλα θηρία εἰσίν. οἱ δὲ θηρίδια κακοήθη καὶ μικρά, ἐφ᾽ ὧν ἔστιν εἰπεῖν, λέων με καὶ φαγέτω. διὰ πάντων δὲ τούτων ἀπόλλυται ἡ τοῦ ἀνθρώπου ἐπαγγελία. πότε γὰρ σῴζεται συμπεπλεγμένον; ὅταν τὴν ἐπαγγελίαν πληρώσῃ. ὥστε σωτηρία συμπεπλεγμένου ἐστὶ τὸ ἐξ ἀληθῶν συμπεπλέχθαι. πότε

διεζευγμένον; ὅταν τὴν ἐπαγγελίαν πληρώσῃ.
πότε αὐλοί. πότε λύρα. πότε ἵππος. πότε κύων.
τί οὖν θαυμαστὸν εἰ καὶ ἄνθρωπος ὡσαύτως μὲν σώ-
ζεται. ὡσαύτως δ᾽ ἀπόλλυται. αὔξει δ᾽ ἑκάστην
καὶ σώζει τὰ κατάλληλα ἔργα. τὸν τέκτονα, τὰ
τεκτονικά. τὸν γραμματικὸν, τὰ γραμματικά.
ἂν δ᾽ ἐθίσῃ γράφειν ἀγραμμάτως, ἀνάγκη κα-
ταφθείρεσθαι καὶ ἀπόλλυσθαι τὴν τέχνην. οὕτω
τὸν μὲν αἰδήμονα σώζει τὰ αἰδήμονα ἔργα. ἀπολ-
λύει δὲ τὸν ἀναιδῆ. τὸν δὲ πιστὸν, τὰ πιστά. καὶ τὰ
ἐναντία ἀπόλλυσι, καὶ τὸν ἐναντίον πάλιν ἐπαύ-
ξει τὰ ἐναντία. τὸν ἀναίσχυντον. τὸν ἄπιστον. τὸν
λοίδορον, λοιδορία. τὸν ὀργίλον, ὀργή. τὸν φιλάρ-
γυρον, αἱ ἀκατάλληλοι λήψεις καὶ δόσεις. διὰ τοῦτο
παραγγέλλουσιν οἱ φιλόσοφοι μὴ ἀρκεῖσθαι μό-
νῳ τῷ μαθεῖν, ἀλλὰ καὶ μελέτην προσλαμβά-
νειν. εἶτα ἄσκησιν. πολλῷ γὰρ χρόνῳ τὰ ἐναντία
ποιεῖν εἰθίσμεθα. καὶ τὰς ὑπολήψεις τὰς ἐναντίας
ταῖς ὀρθαῖς χρηστικὰς ἔχομεν. ἂν οὖν μὴ καὶ τὰς
ὀρθὰς χρηστικὰς ποιήσωμεν, οὐδὲν ἄλλο, ἐξηγη-
ταὶ ἐσόμεθα ἀλλοτρίων δογμάτων. ἄρτι γάρ τις
ἡμῶν οὐ δύναται τεχνολογῆσαι περὶ ἀγαθῶν, καὶ
κακῶν. ὅτι τῶν ὄντων, τὰ μὲν ἀγαθά. τὰ δὲ, κα-
κά. τὰ δὲ ἀμφότερα. ἀγαθὰ μὲν οὖν ἀρεταί. καὶ
τὰ μετέχοντα τῶν ἀρετῶν. κακὰ. τὰ δ᾽ ἐναντία.
ἀδιάφορα δὲ, πλοῦτος. ὑγεία. δόξα. εἶτ᾽ ἂν μετα-
ξὺ λεγόντων ἡμῶν ψόφος μείζων γένηται, ἢ τῶν
παρόντων τις καταγελάσῃ ἡμῶν, ἐξεπλάγημεν.
ποῦ ἐστι φιλόσοφε ἐκεῖνα ἃ ἔλεγες. πόθεν αὐτὰ
προφερόμενος ἔλεγες, ἀπὸ τῶν χειλῶν αὐτόθεν.
τί οὖν ἀλλότρια βοηθήματα μολύνεις. τί κυβεύεις
περὶ τὰ μέγιστα; ἄλλο γάρ ἐστιν ὡς εἰς ταμιεῖον ἀ-
ποθέσθαι ἄρτους καὶ οἶνον. ἄλλο ἐστὶ φαγεῖν. τὸ
βρωθὲν ἐπέφθη. ἀνεδόθη. νεῦρα ἐγένετο. σάρκες.
ὀστέα. αἷμα. εὔχροια. εὔπνοια. τὰ ἀποκείμενα, ὅ-
ταν μὲν θελήσῃς ἐκ προχείρου λαβὼν δεῖξαι, δύνα-
σαι. ἀπ᾽ αὐτῶν δέ σοι ὄφελος οὐδὲν, εἰ μὴ μέχρι τοῦ
δοκεῖν ὅτι ἔχεις. τί γὰρ διαφέρει ταῦτα ἐξηγεῖσθαι,
ἢ τὰ τῶν ἑτεροδόξων. τεχνολόγει νῦν καθίσας
τὰ Ἐπικούρου. καὶ τάχα ἐκείνου χρηστικώτερον τε-
χνολογήσεις. τί οὖν Στωικὸν λέγεις σεαυτόν. τί ἐξα-
πατᾷς τοὺς πολλούς. τί ὑποκρίνῃ Ἰουδαῖος ὢν Ἕλ-
λην. οὐχ ὁρᾷς πῶς ἕκαστος λέγεται Ἰουδαῖος,
πῶς Σύρος; πῶς Αἰγύπτιος; καὶ ὅταν τινὰ ἐπαμφο-
τερίζοντα ἴδωμεν, εἰώθαμεν λέγειν. οὐκ ἔστιν Ἰου-
δαῖος. ἀλλ᾽ ὑποκρίνεται. ὅταν δ᾽ ἀναλάβῃ τὸ πά-
θος. τὸ τοῦ βεβαμμένου καὶ ᾑρημένου, τότε καὶ
ἔστι τῷ ὄντι, καὶ καλεῖται Ἰουδαῖος. οὕτω καὶ ἡ-
μεῖς παραβαπτισταί, λόγῳ μὲν Ἰουδαῖοι, ἔργῳ δ᾽ ἄλ-
λο τι. ἀσυμπαθεῖς πρὸς τὸν λόγον, μακρὰν ἀπὸ τοῦ
χρῆσθαι τούτοις ἃ λέγομεν, ἐφ᾽ οἷς ὡς εἰδότες αὐ-
τὰ ἐπαιρόμεθα. οὕτως οὐδὲ τὴν τοῦ ἀνθρώπου

ἐπαγγελίαν πληρῶσαι δυνάμενοι, προσλαμβάνο-
μεν τὴν τοῦ φιλοσόφου· τηλικοῦτο φορτίον, οἷον εἴ-
τις δέκα λίτρας ἆραι μὴ δυνάμενος, τὸν τοῦ αἴαν-
τος λίθον βαστάζειν ἤθελεν.

## Πῶς ἀπὸ τῶν ὀνομάτων τὰ καθήκοντα ἔστιν εὑρεῖν. ι.

Σκέψαι τίς εἶ. τὸ πρῶτον ἄνθρωπος. τοῦτο δ᾽ ἔ-
στιν, οὐδὲν ἔχων κυριώτερον προαιρέσεως.
ἀλλὰ ταύτῃ τὰ ἄλλα ὑποτεταγμένα. αὐτὴν δ᾽ ἀ-
δούλευτον καὶ ἀνυπότακτον. σκόπει οὖν τίνων κε-
χώρισαι κατὰ λόγον. κεχώρισαι θηρίων. κεχώρισαι
προβάτων. ἐπὶ τούτοις, πολίτης εἶ τοῦ κόσμου καὶ
μέρος αὐτοῦ. οὐχ ἓν τῶν ὑπηρετικῶν, ἀλλὰ τῶν
προηγουμένων. παρηκολουθητικὸς γὰρ εἶ τῇ θείᾳ διοι-
κήσει, καὶ τοῦ ἑξῆς ἐπιλογιστικός. τίς οὖν ἐπαγγελία
πολίτου; μηδὲν ἔχειν ἰδίᾳ συμφέρον, περὶ μηδε-
νὸς βουλεύεσθαι ὡς ἀπόλυτον. ἀλλ᾽ ὥσπερ ἄν, εἰ ἡ
χεὶρ ἢ ὁ πούς λογισμὸν εἶχον, καὶ παρηκολούθουν
τῇ φυσικῇ κατασκευῇ, οὐδέποτ᾽ ἂν *ἄλλως ὥρμη-
σαν, ἢ ὠρέχθησαν, ἢ ἐπανενεγκόντες ἐπὶ τὸ ὅλον.
διὰ τοῦτο καλῶς λέγουσιν οἱ φιλόσοφοι ὅτι εἰ προῄ-
δει ὁ καλὸς καὶ ἀγαθὸς τὰ ἐσόμενα, συνήργει ἂν
καὶ τῷ νοσεῖν καὶ τῷ ἀποθνῄσκειν καὶ τῷ πη-
ροῦσθαι. αἰσθανόμενός γε ὅτι ἀπὸ τῆς τῶν ὅλων
διατάξεως τοῦτο ἀπονέμεται. κυριώτερον δὲ τὸ



ὅλον τοῦ μέρους. καὶ ἡ πόλις τοῦ πολίτου. νῦν δ᾽
ὅτι οὐ προγινώσκομεν, καθήκει τῶν πρὸς ἐκλογὴν
εὐφυεστέρων ἔχεσθαι. ὅτι καὶ πρὸς τοῦτο γεγόνα-
μεν. μετὰ τοῦτο μέμνησο, ὅτι υἱὸς εἶ τίς τούτου τοῦ
προσώπου ἐπαγγελία. πάντα αὐτοῦ ἡγεῖσθαι τοῦ πα-
τρός. πάντα ὑπακούειν. μηδέποτε ψέξαι πρός τι-
να. μηδὲ βλαβερόν τι αὐτῷ εἰπεῖν ἢ πρᾶξαι, ἐξί-
στασθαι ἐν πᾶσι καὶ παραχωρεῖν, συνεργοῦντα
κατὰ δύναμιν. μετὰ τοῦτο ἴσθι ὅτι καὶ ἀδελ-
φὸς εἶ. καὶ πρὸς τοῦτο δὲ τὸ πρόσωπον ὀφείλε-
ται παραχώρησις, εὐπείθεια. εὐφημία. μηδέπο-
τ᾽ ἀντιποιήσασθαί τινος πρὸς ἑαυτὸν τῶν ἀπρο-
αιρέτων. ἀλλ᾽ ἡδέως ἐκεῖνα προΐεσθαι. ἵν᾽ ἐν
τοῖς προαιρετικοῖς πλέον ἔχῃς. ὅρα γὰρ οἷόν
ἐστιν ἀντὶ θιδρακίνης ἂν οὕτω τύχῃ καὶ καθέ-
δρας αὐτὸν εὐγνωμοσύνην, κτήσασθαι, ὅση ἡ
πλεονεξία. μετὰ ταῦτα εἰ βουλευτὴς πόλεώς τι-
νος, ὅτι βουλευτής. νέος, ὅτι νέος. εἰ πρεσβύτης,
ὅτι πρεσβύτης. εἰ πατήρ, ὅτι πατήρ. ἀεὶ γὰρ ἕ-
καστον τῶν τοιούτων ὀνομάτων εἰς ἐπιλογισμὸν
ἐρχόμενον, ὑπογράφει τὰ οἰκεῖα ἔργα. ἐὰν δ᾽ ἀ-
πελθὼν ψέγῃς σου τὸν ἀδελφόν, λέγω σοι, ἐπελά-
θου τίς εἶ, καὶ τί σοι ὄνομα. εἶτα εἰ μὲν χαλκεὺς ὢν
ἐχρῶ τῇ σφύρᾳ ἄλλως, ἐπιλελησμένος ἂν ἦς τοῦ
χαλκέως. εἰ δὲ τοῦ ἀδελφοῦ ἐπελάθου. καὶ ἀντὶ ἀδελ-
φοῦ ἐχθρὸς ἐγένου. οὐδὲν ἀντ᾽ οὐδενὸς ἠλλάχθαι φα-

ἀντὶ ἀνθρώπου ἡμέρου ζώου καὶ κοινωνικοῦ, θηρίον γέγονας βλαβερόν, ἐπίβουλον, δηκτικόν, οὐδὲν ἀπολώλεκας; ἀλλὰ δεῖ σε κέρμα ἀπολέσαι ἵνα ζημιωθῇς, ἄλλου δ' οὐδενὸς ἀπώλεια ζημιοῖ τὸν ἄνθρωπον; εἶτα γραμματικὴν μὲν ἂν ἀποβαλὼν, ἢ μουσικὴν, ζημίαν ἡγοῦ τὴν ἀπώλειαν αὐτῆς· εἰ δ' αἰδῶ καὶ καταστολὴν καὶ ἡμερότητα ἀποβαλῇς, οὐδὲν ἡγῇ τὸ πρᾶγμα. καί τοι ἐκεῖνα μὲν παρ' ἔξωθεν τινα καὶ ἀπροαίρετον αἰτίαν ἀπόλλυνται. ταῦτα δὲ παρ' ἡμᾶς. καὶ ἐκεῖνα μὲν οὔτ' ἔχειν οὔτ' ἀπολλύειν αἰσχρόν ἐστι. ταῦτα δὲ καὶ μὴ ἔχειν καὶ ἀπολλύειν, καὶ ἐπονείδιστον καὶ ἀτύχημα. τί ἀπολλύει ὁ τὰ τοῦ κιναίδου πάσχων. τὸν ἄνδρα. ὁ δὲ διατιθεὶς, πολλὰ μὲν καὶ ἄλλα, ἢ αὐτὸς δ' οὐδὲν ἧττον ἄνδρα. τί ἀπολλύει ὁ μοιχεύων. τὸν αἰδήμονα, τὸν ἐγκρατῆ. τὸν κόσμιον. τὸν πολίτην. τὸν γείτονα. τί ἀπολλύει ὁ ὀργιζόμενος, ἄλλό τι. ὁ φοβούμενος, ἄλλό τι. οὐδεὶς δίχα ἀπωλείας καὶ ζημίας κακός ἐστι. λοιπὸν εἰ τὴν ζημίαν ζητεῖς ἐν κέρματι, πάντες οὗτοι ἀβλαβεῖς, ἀζήμιοι, ἂν οὕτω τύχῃ, καὶ ὠφελούμενοι καὶ κερδαίνοντες. ὅταν διά τινος τούτων τῶν ἔργων κέρμα αὐτοῖς προσγένηται. ὅρα δ' ὅτι εἰ ἐπὶ κερμάτιον πάντα ἀνάγεις, ὅτι οὐδ' ὁ τὴν ῥῖνά σοι ἀπολλύων ἔσται βεβλαμμένος. ναί φησι. κεκολόβωται γὰρ τὸ σῶμα. ἄγε. ὁ δὲ τὴν ὀσφρασίαν αὐτὴν ἀπολωλεκώς,

λωλεκώς

ἀπολωλεκώς, οὐδὲν ἀπολλύει; ψυχῆς οὖν δύναμις οὐκ ἔστιν οὐδεμία, ἣν ὁ μὲν κτησάμενος ὠφελεῖται, ὁ δ' ἀποβαλὼν, ζημιοῦται; ποίαν καὶ λέγεις. οὐδὲν ἔχομεν αἰδῆμον; φύσει ἔχομεν. ὁ τοῦτο ἀπολλύων οὐ ζημιοῦται; οὐδενὸς στερίσκεται; οὐδὲν ἀποβάλλει τῶν πρὸς αὑτόν; οὐκ ἔχομεν φύσει τι; πιστὸν φύσει; στερκτικὸν φύσει. ὠφελητικὸν φύσει. ἀλλήλων ἀνεκτικόν. ὅστις οὖν εἰς ταῦτα περιορᾷ ζημιούμενον ἑαυτὸν, οὗτος ἢ ἀβλαβὴς καὶ ἀζήμιος; τί οὖν. μὴ βλάψω τὸν βλάψαντα; πρῶτον μὲν ἰδοὺ τί ἐστι βλάβη. καὶ μνήσθητι ὧν ἤκουσας παρὰ τῶν φιλοσόφων. εἰ γὰρ τὸ ἀγαθὸν ἐν προαιρέσει, καὶ τὸ κακὸν ὡσαύτως ἐν προαιρέσει, βλέπε μὴ τοιοῦτόν ἐστιν ὃ λέγεις. τί οὖν ἐπειδὴ ἐκεῖνος ἑαυτὸν ἔβλαψε πρὸς ἐμέ τι ἄδικον ποιήσας, ἐγὼ ἐμαυτὸν μὴ βλάψω πρὸς ἐκεῖνον ἄδικόν τι ποιήσας; τί οὖν οὐ τοιοῦτόν τι φανταζόμεθα. ἀλλ' ὅπου τι σωματικὸν ἐλάττωμα εἰς κτῆσιν, ἐκεῖ ἡ βλάβη. ὅπου εἰς τὴν προαίρεσιν, οὐδεμία βλάβη; οὔτε γὰρ τὴν κεφαλὴν ἀλγεῖ ὁ ἐξαπατηθεὶς ἢ ἀδικήσας, οὔτε τὸν ὀφθαλμὸν, οὔτε τὸ ἰσχίον, οὔτε τὸν ἀγρὸν ἀπολλύει. ἡμεῖς δ' ἄλλο οὐδὲν ἐθέλομεν, ἢ ταῦτα. τὴν προαίρεσιν δὲ πότερον αἰδήμονα καὶ πιστὴν ἕξομεν, ἢ ἀναίσχυντον καὶ ἄπιστον, οὐδ' ἐγγὺς διαφερόμεθα. πλὴν μόνον ἐν τῇ σχολῇ μέχρι τῶν λογαρίων. τοιγαροῦν μέχρι τῶν λογαρίων

προσκόπτομεν· ἔξω δ' αὐτῶν, οὐδὲ τὸ ἐλάχιστον.

## Τίς ἀρχὴ φιλοσοφίας. ια.

Ἀρχὴ φιλοσοφίας παρά γε τοῖς ὡς δεῖ καὶ κατὰ τὴν θύραν ἁπτομένοις αὐτῆς, συναίσθησις τῆς αὑτοῦ ἀσθενείας καὶ ἀδυναμίας περὶ τὰ ἀναγκαῖα. ὀρθογωνίου μὲν γὰρ τριγώνου ἢ διέσεως ἡμιτονίου οὐδεμίαν φύσει ἔννοιαν ἥκομεν ἔχοντες, ἀλλ' ἔκ τινος τεχνικῆς παραλήψεως διδασκόμεθα ἕκαστον αὐτῶν· καὶ διὰ τοῦτο οἱ μὴ εἰδότες αὐτά, οὐδ' οἴονται εἰδέναι. ἀγαθοῦ δὲ καὶ κακοῦ, καὶ καλοῦ καὶ αἰσχροῦ, καὶ πρέποντος καὶ ἀπρεποῦς, καὶ εὐδαιμονίας, δυστυχίας, καὶ προσήκοντος, καὶ ἐπιβάλλοντος, καὶ ὅ, τι δεῖ ποιῆσαι, καὶ ὅ, τι οὐ δεῖ ποιῆσαι, τίς οὐκ ἔχων ἔμφυτον ἔννοιαν ἐλήλυθε. διὰ τοῦτο πάντες χρώμεθα τοῖς ὀνόμασι· καὶ ἐφαρμόζειν πειρώμεθα τὰς προλήψεις ταῖς ἐπὶ μέρους οὐσίαις. καλῶς ἐποίησε· δεόντως· οὐ δεόντως· ἠτύχησεν· εὐτύχησεν· ἄδικός ἐστι· δίκαιός ἐστι. τίς ἡμῶν φείδεται τούτων τῶν ὀνομάτων· τίς ἡμῶν ἀναβάλλεται τὴν χρῆσιν αὐτῶν μέχρι μάθῃ, καθάπερ τῶν περὶ τὰς γραμμὰς ἢ τοὺς φθόγγους, οἱ οὐκ εἰδότες. τούτου δ' αἴτιον, τὸ ἥκειν ἤδη τινὰς ὑπὸ τῆς φύσεως κατὰ τὸν τόπον ὥσπερ δεδιδαγμένους. ἀφ' ὧν ὁρμώμενοι καὶ τὴν οἴησιν προσειλήφαμεν. δία γάρ φησιν οὐκ οἶδα ἐγὼ τὸ καλὸν καὶ τὸ αἰσχρόν, οὐκ ἔχω ἔννοιαν αὐτοῦ; ἔχεις. οὐκ ἐφαρμόζω τοῖς ἐπὶ μέρους; ἐφαρμόζεις. οὐ καλῶς οὖν ἐφαρμόζω; ἐνταῦθα ἐστὶ τὸ ζήτημα πᾶν· καὶ οἴησις ἐνταῦθα προσγίνεται. ἀφ' ὁμολογουμένων γὰρ ὁρμώμενοι τούτων, ἐπὶ τὸ ἀμφισβητούμενον προάγουσιν ὑπὸ τῆς ἀκαταλλήλου ἐφαρμογῆς. ὡς εἴγε καὶ τοῦτο ἔτι πρὸς ἐκείνοις ἐκέκτηντο, τί ἐκώλυεν αὐτοὺς εἶναι τελείους; νῦν δ' ἐπεὶ δοκεῖς ὅτι καὶ καταλλήλως ἐφαρμόζεις τὰς προλήψεις τοῖς ἐπὶ μέρους, εἰπέ μοι πόθεν τοῦτο λαμβάνεις; ὅτι δοκεῖ μοι. τούτῳ οὖν τινι οὐ δοκεῖ· καὶ οἴεται καὶ αὐτὸς ἐφαρμόζειν καλῶς, ἢ οὐκ οἴεται; οἴεται. δύνασθε οὖν περὶ ὧν τὰ μαχόμενα δοξάζετε ἀμφότεροι, καταλλήλως ἐφαρμόζειν τὰς προλήψεις; οὐ δυνάμεθα. ἔχεις οὖν δεῖξαί τι ἡμῖν πρὸς τὸ αὐτὰς ἐφαρμόζειν ἄμεινον ἀνώτερω τοῦ δοκεῖν σοι; ὁ δὲ μαινόμενος ἄλλα τινὰ ποιεῖ, ἢ τὰ δοκοῦντά οἱ καλά; κἀκείνῳ οὖν ἀρκεῖ τοῦτο τὸ κριτήριον; οὐκ ἀρκεῖ. ἔλθε οὖν ἐπί τι ἀνώτερω τοῦ δοκεῖν, τί τοῦτό ἐστιν; ἰδοὺ ἀρχὴ φιλοσοφίας, αἴσθησις μάχης τῆς πρὸς ἀλλήλους τῶν ἀνθρώπων· καὶ ζήτησις τοῦ παρ' ὃ γίνεται ἡ μάχη· καὶ κατάγνωσις καὶ ἀπιστία πρὸς τὸ ψιλῶς δοκοῦν· ἔρευνα δέ τις περὶ τὸ δοκοῦν, εἰ ὀρθῶς δοκεῖ· καὶ εὕρεσις κανόνος τινός, οἷον ἐπὶ βαρῶν τὸν ζυγὸν εὕρομεν· οἷον ἐπὶ εὐθέων καὶ στρεβλῶν, τὴν στάθμην. τουτέστιν ἀρχὴ φιλο-

Σ Α

ἔμφασις

191

15 M

λοσοφίας. πάντα καλῶς ἔχειν τὰ δοκοῦντα ἅπασι. καὶ πῶς δυνατὸν τὰ μαχόμενα καλῶς ἔχειν. οὐκοῦν οὐ πάντα. ἀλλὰ τὰ ἡμῖν δοκοῦντα. τί μᾶλλον ἢ τὰ σύροις. τί μᾶλλον ἢ τὰ αἰγυπτίοις. τί μᾶλλον ἢ τὰ ἐμοὶ φαινόμενα ἢ τὰ τῷ δεῖνι. οὐδὲν μᾶλλον. οὐκ ἄρα ἀρκεῖ τὸ δοκεῖν ἑκάστῳ πρὸς τὸ εἶναι. οὐδὲ γὰρ ἐπὶ βαρῶν ἢ μέτρων, ψιλῇ τῇ ἐμφάσει ἀρκούμεθα. ἀλλὰ κανόνα τινὰ ἐφ' ἑκάστου εὕρομεν. ἐνταῦθ' οὖν οὐδεὶς κανὼν ἀνωτέρω τοῦ δοκεῖν; καὶ πῶς οἷόν τε ἀτέκμαρτα εἶναι καὶ ἀνεύρετα τὰ ἀναγκαιότατα ἐν ἀνθρώποις; ἔστιν οὖν. καὶ διατί οὐ ζητοῦμεν αὐτὸν καὶ ἀνευρίσκομεν. καὶ ἀνευρόντες λοιπὸν ἀπαραβάτως χρώμεθα, δίχα αὐτοῦ μηδὲ τὸν δάκτυλον ἐκτείνοντες. τοῦτο γὰρ οἶμαι ἐστὶν ὃ εὑρεθὲν, ἀπαλλάσσειν μανίας τοὺς μόνῳ τῷ δοκεῖν μέτρῳ παραχρωμένους. ἵνα λοιπὸν ἀπό τινων γνωρίμων καὶ διευκρινημένων ὁρμώμενοι, χρώμεθα ἐπὶ τῶν ἐπὶ μέρους διηρθρωμέναις ταῖς προλήψεσι. τίς ὑποπέπτωκεν οὐσία περὶ ἧς ζητοῦμεν; ἡδονή. ὕπαγε αὐτὴν τῷ κανόνι, βάλε εἰς τὸν ζυγόν. τὸ ἀγαθὸν δεῖ εἶναι τοιοῦτον ἐφ' ᾧ θαῤῥεῖν ἄξιον; οὔ. μή τι οὖν βέβαιον ἡ ἡδονή; οὔ. ἆρον οὖν καὶ βάλε ἔξω ἐκ τοῦ ζυγοῦ. καὶ ἀπέλασον τῆς χώρας τῶν ἀγαθῶν μακράν. εἰ δ' οὐκ ὀξυβλεπεῖς, καὶ ἕν σοι ζυγὸν οὐκ ἀρκεῖ, φέρε ἄλλο. ἐπὶ τῷ ἀγαθῷ ἄξιον ἐπαίρεσθαι; ναί. ἐφ'



ἡδονῇ οὖν παρούσῃ ἄξιον ἐπαίρεσθαι; βλέπε μὴ εἴπῃς ὅτι ἄξιον. εἰ δὲ μή, οὐκέτι σε οὐδὲ τοῦ ζυγοῦ ἄξιον ἡγήσομαι. οὕτω κρίνεται τὰ πράγματα καὶ ἵσταται τῶν κανόνων ἡτοιμασμένων. καὶ τὸ φιλοσοφεῖν τοῦτο ἐστὶν, ἐπισκέπτεσθαι καὶ βεβαιοῦν τοὺς κανόνας. τὸ δ' ἤδη χρῆσθαι τοῖς ἐγνωσμένοις, τοῦτο τοῦ καλοῦ καὶ ἀγαθοῦ ἔργον ἐστίν.

192

16 M

## Περὶ τοῦ διαλέγεσθαι.

Ἃ μὲν δεῖ μαθόντα εἰδέναι χρῆσθαι λόγῳ, ἠκρίβωται ὑπὸ τῶν ἡμετέρων. περὶ δὲ τὴν χρῆσιν αὐτῶν τὴν προσήκουσαν, τελέως ἀγύμναστοι ἐσμέν. δὸς γοῦν ᾧ θέλεις ἡμῶν, ἰδιώτην τινὰ τὸν προσδιαλεγόμενον. καὶ οὐχ εὑρίσκει χρήσασθαι αὐτῷ. ἀλλὰ μικρὰ κινήσας τὸν ἄνθρωπον, ἂν παρὰ σκέλος ἀπαντήσῃ, ἐκεῖνος οὐκέτι δύναται μεταχειρίσασθαι. ἀλλ' ἢ λοιδορεῖ λοιπὸν, ἢ καταγελᾷ. καὶ λέγει. ἰδιώτης ἐστίν. οὐκ ἔστιν αὐτῷ χρήσασθαι. ὁ δ' ὁδηγὸς ὅταν λάβῃ τινὰ πλανώμενον, ἤγαγεν ἐπὶ τὴν ὁδὸν τὴν δέουσαν, οὐχὶ καταγελάσας ἢ λοιδορησάμενος ἀπῆλθε. καὶ σὺ δεῖξον αὐτῷ τὴν ἀλήθειαν. καὶ ὄψει ὅτι ἀκολουθεῖ. μέχρι δ' ἂν οὐ μὴ δεικνύῃς, μὴ ἐκεῖνον καταγέλα. ἀλλὰ μᾶλλον αἰσθάνου τῆς ἀδυναμίας τῆς σαυτοῦ. πῶς οὖν ἐποίει σωκράτης. Socrates αὐτὸν ἠνάγκαζε τὸν προσδιαλεγόμενον αὐτῷ μαρτυρεῖν. ἄλλου δ' οὐδενὸς ἐδεῖτο μάρτυρος. τοιγαροῦν

ἐξῆν αὐτῷ λέγειν· ὅτι τοὺς μὲν ἄλλους ἐῶ χαίρειν·
ἀεὶ δὲ τῷ ἀντιλέγοντι ἀρκοῦμαι μάρτυρι. καὶ
τοὺς μὲν ἄλλους οὐκ ἐπιψηφίζω. τὸν δὲ προσδια-
λεγόμενον μόνον. οὕτω γὰρ ἐναργῆ ἐτίθει τὰ ἀπὸ
τῶν ἐννοιῶν, ὥστε πάνυ ὁντιναοῦν συναισθανόμε-
νον τῆς μάχης, ἀναχωρεῖν ἀπ᾽ αὐτῆς. ἆρά γε ὁ
φθονῶν χαίρει; οὐδαμῶς. ἀλλὰ μᾶλλον λυπεῖ-
ται. ἀπὸ τοῦ ἐναντίου ἐκίνησε τὸν πλησίον. τί δ᾽ αὐτῇ
κακίας δοκεῖ σοι εἶναι λύπη, ὁ φθόνος. καὶ τίς φθό-
νος ἐστὶ κακῶν; οὐκοῦν ἐκεῖνον ἐποίησεν εἰπεῖν, ὅτι
λύπη ἐστὶν ἐπ᾽ ἀγαθοῖς ὁ φθόνος. τί δὲ φθονοίη ἄν
τις τοῖς οὐδὲν πρὸς αὐτόν; οὐδαμῶς. καὶ οὕτως ἐκπε-
πληρωκὼς τὴν ἔννοιαν καὶ διηρθρωκὼς, ἀπηλλάσ-
σετο. οὐ λέγων ὅτι ὅρισαί μοι τὸν φθόνον. εἶτα ὁρι-
σαμένου, κακῶς ὡρίσω. οὐ γὰρ ἀντακολουθεῖ τῷ
κεφαλαιώδει τὸ ὁρικὸν, ῥήματα τεχνικά. καὶ
διὰ τοῦτο τοῖς ἰδιώταις φορτικὰ καὶ δυσπαρα-
κολούθητα, ὧν ἡμεῖς ἀποστῆναι οὐ δυνάμεθα. ἐξ
ὧν δ᾽ αὐτὸς ὁ ἰδιώτης ἐπακολουθῶν ταῖς αὐτοῦ
φαντασίαις παραχωρῆσαι δύναιτ᾽ ἄν τι ἢ ἀθε-
τῆσαι, οὐδαμῶς διὰ τούτων αὐτὸν κινῆσαι δυνά-
μεθα. καὶ λοιπὸν εἰκότως συναισθανόμενοι ταύ-
της ἡμῶν τῆς ἀδυναμίας, ἀπεχόμεθα τοῦ πράγ-
ματος ὅσοις γ᾽ ἐστί τι εὐλαβείας. οἱ δὲ πολλοὶ καὶ
εἰκαῖοι συγκαθέντες εἴς τι τοιοῦτον, φύρονται καὶ
φύρουσι. καὶ τὰ τελευταῖα λοιδορήσαντες καὶ



λοιδορηθέντες, ἀπέρχονται. τὸ πρῶτον δὲ τοῦτο
Σ καὶ μάλιστα ἴδιον Σωκράτους, μηδέποτε παροξυν-
θῆναι ἐν λόγῳ. μηδέποτε λοίδορον προενέγκα-
σθαι μηδὲν, μηδέποθ᾽ ὑβριστικόν. ἀλλὰ τῶν λοιδο-
ρούντων ἀνέχεσθαι, καὶ παύειν μάχην. εἰ θέλετε
γνῶναι πόσην ἐν τούτῳ δύναμιν εἶχεν, ἀνάγνωτε
Ξ τὸ Ξενοφῶντος συμπόσιον. καὶ ὄψεσθε πόσας μά-
χας διαλέλυκε. διὰ τοῦτο εἰκότως καὶ παρὰ τοῖς
ποιηταῖς ἐν μεγίστῳ ἐπαίνῳ λέλεκται, τὸ αἶψά
τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε. τί οὖν
οὐ λίαν ἐστὶ νῦν ἀσφαλὲς τὸ πρᾶγμα καὶ μάλι-
Ρ στα ἐν Ῥώμῃ; τὸν γὰρ ποιοῦντα αὐτὸ, οὐκ ἐν γω-
νίᾳ δηλονότι δεήσει ποιεῖν, ἀλλὰ προσελθόντα
ὑπατικῷ τινι, ἂν οὕτω τύχῃ, πλουσίῳ, πυθέσθαι
αὐτοῦ. ἔχεις μοι εἰπεῖν ὦ οὗτος, ᾧ τινι τοὺς
ἵππους τοὺς σεαυτοῦ παραδέδωκας; ἔγωγε. ἆρα
τῷ τυχόντι καὶ ἀπείρῳ ἱππικῆς; οὐδαμῶς. τί
δ᾽ ᾧ τινι τὸ χρυσίον ἢ τὸ ἀργύριον, ἢ τὴν ἐσθῆ-
τα; οὐδὲ ταῦτα τῷ τυχόντι. τὸ σῶμα δὲ τὸ
σαυτοῦ ἤδη τινὶ ἔσκεψαι ἐπιτρέψαι εἰς ἐπιμέ-
λειαν αὐτοῦ; πῶς γὰρ οὔ. ἐμπείρῳ δηλονότι
ἀλειπτικῆς, ἰατρικῆς; πάνυ μὲν οὖν. πότερον
ταῦτά σοι τὰ κράτιστά ἐστιν, ἢ καὶ ἄλλο τι κέ-
κτησαι πάντων ἄμεινον. ποῖον καὶ λέγεις. τὸ αὐ-
τοῖς νὴ Δία τούτοις χρώμενον καὶ δοκιμάζον ἕ-
καστον καὶ βουλευόμενον; ἆρά γε τὴν ψυχὴν

λέγεις; ὀρθῶς ὑπέλαβον. ταύτην μέντοι καὶ λέγω. πολὺ καὶ διὰ τῶν ἄλλων τοῦτο ἄμεινον δοκῶ μοι κεκτῆσθαι. ἔχεις οὖν εἰπεῖν ἡμῖν ὅτῳ τρόπῳ τῆς ψυχῆς ἐπιμεμέλησαι; οὐ γὰρ εἰκῆ γ' ὡς ἔτυχεν εἰκός σε οὕτω σοφὸν ὄντα καὶ ἐν τῇ πόλει δόκιμον, τὸ κράτιστον τῶν σεαυτοῦ περιορᾶν ἀμελούμενον καὶ ἀπολλύμενον. οὐδαμῶς. ἀλλ' αὐτὸς ἐπιμεμέλησαι αὐτοῦ. πότερον μαθὼν παρά του, ἢ εὑρὼν αὐτός; ὧδε λοιπὸν ὁ κίνδυνος, μὴ πρῶτον μὲν εἴπῃ, τί δέ σοι βέλτιστε; τίς μου εἶ; εἶτ' ἂν ἐπιμένῃς πράγματα παρέχων, διαράμενος κονδύλους σοι δῷ. τούτου τοῦ πράγματος ἤμην ποτὲ ζηλωτὴς καὶ αὐτὸς πρὶν εἰς ταῦτα ἐμπεσεῖν.

Περὶ τοῦ ἀγωνιᾶν. ιγ'.

196 4 И

Ὅταν ἀγωνιῶντα ἴδω ἄνθρωπον, λέγω· οὗτος τί ποτε θέλει. εἰ μὴ τῶν οὐκ ἐφ' αὐτῷ τί ἤθελε, πῶς ἂν ἔτι ἠγωνία; διὰ τοῦτο καὶ ὁ κιθαρῳδὸς μόνος μὲν ᾄδων, οὐκ ἀγωνιᾷ. εἰς θέατρον δ' εἰσερχόμενος κἂν λίαν εὔφωνος ᾖ καὶ καλῶς κιθαρίζῃ. οὐ γὰρ ᾆσαι μόνον θέλει καλῶς, ἀλλὰ καὶ εὐδοκιμῆσαι. τοῦτο δ' οὐκέτι ἐστὶν ἐπ' αὐτῷ. λοιπὸν οὗ μὲν ἡ ἐπιστήμη αὐτῷ πρόσεστιν, ἐκεῖ τὸ θάρσος. φέρε ὃν θέλεις ἰδιώτην, καὶ οὐκ ἐπιστρέφεται. ὅπου δ' οὐκ οἶδεν οὐδὲ μεμελέτηκεν, ἐκεῖ ἀγωνιᾷ. τί δ' ἐστὶ τοῦτο; οὐκ οἶδε τί ἐστιν ὄχλος, ἢ τί ὄχλου ἔπαινος.



ἀλλὰ τὴν νήτην μὲν τύπτειν ἔμαθε καὶ τὴν ὑπάτην. ἔπαινος δ' ὁ παρὰ τῶν πολλῶν τί ἐστι, καὶ τίνα δύναμιν ἔχει ἐν βίῳ, οὔτε οἶδεν, οὔτε μεμελέτηκεν αὐτό. ἀνάγκη λοιπὸν τρέμειν καὶ ὠχριᾶν. κιθαρῳδὸν μὲν οὖν οὐ δύναμαι εἰπεῖν μὴ εἶναι, ὅταν ἴδω τινὰ φοβούμενον. ἄλλο δέ τι δύναμαι εἰπεῖν. καὶ οὐδὲ ἕν, ἀλλὰ πολλά. καὶ πρῶτον πάντων, ξένον καλῶ αὐτὸν καὶ λέγω. οὗτος ὁ ἄνθρωπος οὐκ οἶδε ποῦ τῆς γῆς ἐστιν. ἀλλ' ἐκ τοσούτου χρόνου ἐπιδημῶν ἀγνοεῖ τοὺς νόμους τῆς πόλεως καὶ τὰ ἔθη, καὶ τί ἐστιν καὶ τί οὐκ ἔξεστιν. ἀλλ' οὐδὲ νομικόν τινα παρέλαβε πώποτε τὸν ἐροῦντα αὐτῷ καὶ ἐξηγησόμενον τὰ νόμιμα. ἀλλὰ διαθήκην μὲν οὐ γράφει μὴ εἰδὼς πῶς δεῖ γράφειν, ἢ παραλαβὼν τὸν εἰδότα. οὐδ' ἐγγύην ἄλλως σφραγίζεται, ἢ ἀσφάλειαν γράφει. ὀρέξει δὲ χρῆται δίχα νομικοῦ, καὶ ἐκκλίσει καὶ ὁρμῇ, καὶ ἐπιβολῇ καὶ προθέσει. πῶς δίχα νομικοῦ; οὐκ οἶδεν ὅτι θέλει τὰ μὴ διδόμενα, καὶ οὐ θέλει τὰ ἀναγκαῖα. καὶ οὐκ οἶδεν οὔτε τὰ ἴδια οὔτε τὰ ἀλλότρια. εἰ δέ γ' ᾔδει, οὐδέποτ' ἂν ἐνεποδίζετο. οὐδέποτ' ἐκωλύετο. οὐκ ἂν ἠγωνία. πῶς γὰρ οὔ; φοβεῖταί τις οὖν ὑπὲρ τῶν μὴ κακῶν; οὔ. τί δ' ὑπὲρ τῶν κακῶν μέν, ἐπ' αὐτῷ δ' ὄντων, ὥστε μὴ συμβῆναι; οὐδαμῶς. εἰ οὖν τὰ μὲν ἀπροαίρετα οὔτ' ἀγαθὰ οὔτε κακά, τὰ προαιρετικὰ δὲ πάντα ἐφ' ἡμῖν, καὶ

197 5 И

οὔτ' ἀφελέσθαι τις ἡμῶν ἀλλὰ δύναται, οὔτε περιποιῆσαι ἃ οὐ θέλομεν αὐτῶν, ποῦ ἔτι τόπος ἀγωνίας. ἀλλὰ περὶ τοῦ σωματίου ἀγωνιῶμεν. ὑπὲρ τοῦ κτησιδίου. περὶ τοῦ τί δόξει τῷ Καίσαρι. K περὶ τῶν ἔσω δ' οὐδενός. μή τι περὶ τοῦ μὴ ψεῦδος ὑπολαβεῖν; οὔ. ἐπ' ἐμοὶ γάρ ἐστι. μή τι τοῦ ὁρμῆσαι παρὰ φύσιν; οὐδὲ περὶ τούτου. ὅταν οὖν ἴδῃς τινὰ ὠχριῶντα, ὡς ὁ ἰατρὸς ἀπὸ τοῦ χρώματος λέγει, τούτου ὁ σπλὴν πέπονθε. τούτου δὲ τὸ ἧπαρ. οὕτω καὶ σὺ λέγε. τούτου ὄρεξις καὶ ἔκκλισις πέπονθεν. οὐκ εὐοδεῖ. φλεγμαίνει. χρῶμα γὰρ οὐ μεταβάλλει οὐδὲν ἄλλο. οὐδὲ τρόμον ποιεῖ. οὐδὲ ψόφον τῶν ὀδόντων. οὐδὲ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει. διατοῦτο Ζήνων μὲν Ἀντιγόνῳ μέλλων ἐντυγχάνειν, οὐκ ἠγωνία. ὧν γὰρ οὗτος ἐθαύμαζε, τούτων οὐδενὸς εἶχεν ἐκεῖνος ἐξουσίαν. ὧν δ' εἶχεν ἐκεῖνος, οὐκ ἐπεστρέφετο οὗτος. Ἀντίγονος δὲ Ζήνωνι μέλλων ἐντυγχάνειν, ἠγωνία. καὶ εἰκότως. ἤθελε γὰρ ἀρέσκειν αὐτῷ. τοῦτο δ' ἔξω ἔκειτο. οὗτος δ' ἐκείνῳ οὐκ ἤθελεν. οὐδὲ γὰρ ἄλλος τις τεχνίτης τῷ ἀτέχνῳ. ἐγώ σοι ἀρέσαι θέλω. ἀντὶ τίνος. οἶδας γὰρ τὰ μέτρα καθ' ἃ κρίνεται ἄνθρωπος ὑπ' ἀνθρώπου. μεμελέτηταί σοι γνῶναι τί ἐστιν ἀγαθὸς ἄνθρωπος καὶ τί κακός. καὶ πῶς ἑκάτερον γίνεται. διατί οὖν

κτησιδίου

198

6 N

Zeno
Antigon

Z A

λ z



σὺ αὐτὸς ἀγαθὸς οὐκ εἶ. πῶς φησὶν οὐκ εἰμί. ὅτι οὐδεὶς ἀγαθὸς πενθεῖ οὐδὲ στενάζει. οὐδεὶς οἰμώζει. οὐδεὶς ὠχριᾷ καὶ τρέμει. οὐδὲ λέγει πῶς με ἀποδέξεται. πῶς μου ἀκούσει. ἀνδράποδον. ὡς ἂν αὐτῷ δοκῇ. τί οὖν σοι μέλει περὶ τῶν ἀλλοτρίων. νῦν οὐκ ἐκείνου ἁμάρτημά ἐστι τὸ κακῶς ἀποδέξασθαι τὰ παρὰ σοῦ; πῶς γὰρ οὔ. δύναται δ' ἄλλου μὲν εἶναι ἁμάρτημα, ἄλλου δὲ κακόν; οὔ. τί οὖν ἀγωνιᾷς ὑπὲρ τῶν ἀλλοτρίων. ναί. ἀλλ' ἀγωνιῶ πῶς ἐγὼ αὐτῷ λαλήσω. εἶτ' οὐκ ἔξεστί σοι ὡς θέλεις αὐτῷ λαλῆσαι; ἀλλὰ δέδοικα μὴ ἐκκρουσθῶ. μή τι γράφειν μέλλων τὸ Δίωνος ὄνομα, δέδοικας μὴ ἐκκρουσθῇς; οὐδαμῶς. τί τὸ αἴτιον οὐχ ὅτι μεμελέτηκας γράφειν; πῶς γὰρ οὔ. τί δ' ἀναγιγνώσκειν μέλλων οὐχ ὡσαύτως ἂν εἶχες; ὡσαύτως. τί τὸ αἴτιον. ὅτι πᾶσα τέχνη ἰσχυρόν τι ἔχει καὶ θαρραλέον ἐν τοῖς ἑαυτῆς. λαλεῖν οὖν οὐ μεμελέτηκας. καὶ τί ἄλλο ἐμελέτας ἐν τῇ σχολῇ. συλλογισμοὺς καὶ μεταπίπτοντας. ἐπὶ τί; οὐχ ὥστε ἐμπείρως διαλέγεσθαι; τὸ δ' ἐμπείρως ἐστὶν, οὐχὶ εὐκαίρως καὶ ἀσφαλῶς καὶ συνετῶς, ἔτι δὲ ἀπταίστως, καὶ ἀπαραποδίστως, ἐπὶ πᾶσι δὲ τούτοις τεθαρρηκότως; ναί. ἱππεὺς οὖν εἰς πεδίον ἐληλυθὼς, πρὸς πεζὸν ἀγωνιᾷς, ὅπου σὺ μὲν μεμελέτηκας, ἐκεῖνος δ' ἀμελέτητός ἐστι; ναί. ἀλλὰ

με

199

7 N

Δ

ἐξουσίαν ἔχει ἀποκτεῖναί με. λέγε οὖν τὰ ἀληθῆ δύστηνε καὶ μὴ ἀλαζονεύου, μὴ δὲ φιλόσοφος εἶναι ἀξίου, μὴ δὲ ἀγνόει σου τοὺς κυρίους. ἀλλὰ μέχρις ἂν ἔχῃς τὴν λαβὴν τὴν ἀπὸ τοῦ σώματος, ἀκολούθει παντὶ τῷ ἰσχυροτέρῳ. λέγειν δ' ἔσω Σωκράτης ἐμελέτα ὁ πρὸς τοὺς τυράννους οὕτω διαλεγόμενος, ὁ πρὸς τοὺς δικαστάς, ὁ ἐν τῷ δεσμωτηρίῳ. λέγειν Διογένης μεμελετήκει, ὁ πρὸς Ἀλέξανδρον οὕτω λαλῶν, ὁ πρὸς Φίλιππον, ὁ πρὸς τοὺς πειρατάς, ὁ πρὸς τὸν ὠνησάμενον αὐτόν. ἐκείνοις οἷς μεμελέτηκε τοῖς θαῤῥοῦσι. σὺ δ' ἐπὶ τὰς αὐτοῦ βάδιζε. καὶ ἐκείνων ἀποστῇς μηδέποτε. εἰς τὴν γωνίαν ἀπελθὼν κάθησο καὶ πλέκε συλλογισμούς, καὶ ἄλλῳ πρότεινε. οὐκ ἔστι δ' ἐν σοὶ πόλεως ἡγεμὼν ἀνήρ.

8И | 200 Socrates Diogenes Alexãder Philipp Σ Δ Α Φ τὰ σαυτοῦ N

## Πρὸς Νάσωνα. ιδ'.

Εἰσελθόντος τινὸς τῶν ῥωμαϊκῶν μετὰ υἱοῦ, καὶ ἐπακούοντος ἑνὸς ἀναγνώσματος, οὗτος ἔφη ὁ τρόπος ἐστὶ τῆς διδασκαλίας· καὶ ἀπεσιώπησεν. ἀξιοῦντος δ' ἐκείνου ἐρεῖν τὰ ἑξῆς, κόπον ἔχει ἔφη πᾶσα τέχνη τῷ ἰδιώτῃ καὶ ἀπείρῳ αὐτῆς ὅταν παραδίδωται. καὶ τὰ μὲν ἀπὸ τῶν τεχνῶν γινόμενα, τὴν τε χρείαν εὐθὺς ἐνδείκνυται πρὸς ὃ γέγονε. καὶ τὰ πλεῖστα αὐτῶν ἔχει τι καὶ ἐπαγωγὸν καὶ ἐπίχαρι, καὶ γὰρ σκυτεὺς πῶς μὲν μανθάνει τις παρεῖναι καὶ παρακολουθεῖν, ἀτερπές. τὸ δ'



ὑπόδημα χρήσιμον, καὶ ἰδεῖν ἄλλως οὐκ ἀηδές. καὶ τέκτονος, ἡ μὲν μάθησις ἀνιαρὰ μάλιστα τῷ ἰδιώτῃ ἀποτυγχάνοντι, τὸ δ' ἔργον ἐπιδείκνυσι τὴν χρείαν τῆς τέχνης. πολὺ δὲ μᾶλλον ἐπὶ μουσικῆς ὄψει αὐτό. ἂν γὰρ παρῇς τῷ διδασκομένῳ, φανήσεταί σοι πάντων ἀτερπέστατον τὸ μάθημα. τὰ μέντοι ἀπὸ τῆς μουσικῆς, ἡδέα καὶ ἐπιτερπῆ τοῖς ἰδιώταις ἀκούειν. καὶ ἐνταῦθα τὸ μὲν ἔργον τοῦ φιλοσοφοῦντος τοιοῦτόν τι φανταζόμεθα. ὅτι δεῖ τὴν αὐτοῦ βούλησιν συναρμόσαι τοῖς γινομένοις, ὡς μήτε τι τῶν γινομένων ἀκόντων ἡμῶν γίνεσθαι, μήτε τῶν μὴ γινομένων, θελόντων ἡμῶν μὴ γίνεσθαι. ἐξ οὗ περίεστι τοῖς συνησκημένοις αὐτό, ἐν ὀρέξει μὴ ἀποτυγχάνειν, ἐν ἐκκλίσει δὲ μὴ περιπίπτειν. ἀλύπως. ἀφόβως. ἀταράχως διεξάγειν καθ' αὑτὸν μετὰ τῶν κοινωνῶν τηροῦντα τὰς σχέσεις τάς τε φυσικὰς καὶ ἐπιθέτους. τὸν υἱόν, τὸν πατέρα, τὸν ἀδελφόν, τὸν πολίτην, τὸν ἄνδρα, τὴν γυναῖκα, τὸν γείτονα, τὸν σύνοδον, τὸν ἄρχοντα, τὸν ἀρχόμενον. τὸ ἔργον τοῦ φιλοσοφοῦντος τοιοῦτόν τι φανταζόμεθα. λοιπὸν ἐφεξῆς τούτῳ ζητοῦμεν πῶς ἔσται τοῦτο. ὁρῶμεν ἂν ὅτι ὁ τέκτων μαθών τινα, γίνεται τέκτων. ὁ κυβερνήτης μαθών τινα, γίνεται κυβερνήτης. μή ποτ' οὖν καὶ ἐνθάδε οὐκ ἀπαρκεῖ τὸ βούλεσθαι καλὸν καὶ ἀγαθὸν γενέσθαι, χρεία δὲ καὶ μαθεῖν τινά. ζητοῦμεν οὖν τίνα ταῦτα λέ-

202 10 N

συστησαμένοις

γουσιν οἱ φιλόσοφοι· ὅτι μαθεῖν δεῖ πρῶτον τοῦτο, ὅτι ἔστι θεὸς, καὶ προνοεῖ τῶν ὅλων· καὶ οὐκ ἔστι λαθεῖν αὐτὸν, οὐ μόνον ποιοῦντα, ἀλλ' οὐδὲ διανοούμενον ἢ ἐνθυμούμενον· εἶτα ποῖοί τινές εἰσιν. οἷοι γὰρ ἂν ἐκεῖνοι εὑρεθῶσι, τὸν ἐκείνοις ἀρέσοντα καὶ πεισθησόμενον, ἀνάγκη πειρᾶσθαι κατὰ δύναμιν ἐξομοιοῦσθαι ἐκείνοις. εἰ πιστόν ἐστι τὸ θεῖον, καὶ τοῦτον εἶναι πιστόν· εἰ ἐλεύθερον, καὶ τοῦτον ἐλεύθερον· εἰ εὐεργετικὸν, καὶ τοῦτον εὐεργετικόν· εἰ μεγαλόφρον, καὶ τοῦτον μεγαλόφρονα· ὡς θεοῦ τοίνυν ζηλωτὴν τὰ ἑξῆς πάντα, καὶ ποιεῖν καὶ λέγειν. πόθεν οὖν ἄρξασθαι δεῖ. ἂν συγκαθῇς, ἐρῶ σοι· ὅτι πρῶτον δεῖ σε τοῖς ὀνόμασι παρακολουθεῖν. ὥστ' ἐγὼ νῦν οὐ παρακολουθῶ τοῖς ὀνόμασιν; οὐ παρακολουθεῖς. πῶς οὖν χρῶμαι αὐτοῖς. οὕτως ὡς οἱ ἀγράμματοι ταῖς ἐγγραμμάτοις φωναῖς· ὡς τὰ κτήνη ταῖς φαντασίαις· ἄλλο γάρ ἐστι χρῆσις, ἄλλο παρακολούθησις. εἰ δ' οἴει παρακολουθεῖν, φέρε ὃ θέλεις ὄνομα ἀγαθὸν καὶ κακόν· καὶ βασανίσωμεν αὐτοὺς εἰ παρακολουθοῦμεν. ἀλλ' ἀνιαρὸν τὸ ἐξελέγχεσθαι πρεσβύτερον ἄνθρωπον ἤδη κἂν οὕτω τύχῃ τὰς τρεῖς στρατείας ἐστρατευμένον· οἶδα κἀγώ· νῦν γὰρ σὺ ἐλήλυθας πρὸς ἐμὲ, ὡς μηδενὸς δεόμενος. τίνος δ' ἂν καὶ φαντασθείης ὡς ἐνδέοντος; πλουτεῖς· τέκνα ἔχεις τυχὸν καὶ γυναῖκα καὶ οἰκέ-

203



τας πολλούς· ὁ καῖσάρ σε οἶδεν ἐν ῥώμῃ· πολλοὺς φίλους κέκτησαι· τὰ καθήκοντα ἀποδίδως· οἶδας τὸν εὖ ποιοῦντα ἀντευποιῆσαι· καὶ τὸν κακῶς ποιοῦντα, κακῶς ποιῆσαι· τί σοι λείπει· ἂν οὖν σοι δείξω ὅτι τὰ ἀναγκαιότατα καὶ μέγιστα πρὸς εὐδαιμονίαν· καὶ ὅτι μέχρι δεῦρο πάντων μᾶλλον, ἢ τῶν προσηκόντων ἐπιμεμέλησαι, καὶ τὸν κολοφῶνα πείθω, οὔτε τί θεός ἐστιν οἶδας, οὔτε τί ἄνθρωπος, οὔτε τί ἀγαθὸν, οὔτε τί κακὸν, τὸ μὲν τῶν ἄλλων ἴσως ἀνεκτόν· ὅτι δ' αὐτὸς σεαυτὸν ἀγνοεῖς, πῶς δύνασαι ἀνασχέσθαι μου, καὶ ὑποσχεῖν τὸν ἔλεγχον καὶ παραμεῖναι· οὐδαμῶς· ἀλλ' εὐθὺς ἀπαλλάσσῃ χαλεπῶς ἔχων· καί τοι τί σοι ἐγὼ κακὸν πεποίηκα, εἰ μὴ καὶ τὸ ἔσοπτρον τῷ αἰσχρῷ, ὅτι δεικνύει αὐτὸν αὐτῷ οἷός ἐστιν· εἰ μὴ καὶ ὁ ἰατρὸς τὸν νοσοῦντα ὅταν δοκῇ αὐτὸν ὑβρίζειν, ὅταν εἴπῃ αὐτῷ· ἄνθρωπε· δοκεῖς μηδὲν ἔχειν· πυρέσσεις δέ· ἀσίτησον· σήμερον ὕδωρ πῖνε· καὶ οὐδεὶς λέγει, ὦ δεινῆς ὕβρεως. ἐὰν δέ τινι εἴπῃς αἱ ὀρέξεις σου φλεγμαίνουσιν· αἱ ἐκκλίσεις ταπειναί εἰσιν· αἱ ἐπιβολαὶ ἀνομολογούμεναι· αἱ ὁρμαὶ ἀσύμφωνοι τῇ φύσει· αἱ ὑπολήψεις εἰκαῖαι καὶ ἐψευσμέναι. εὐθὺς ἐξελθὼν λέγει· ὕβρισέ με. τοιαῦτά ἐστι τὰ ἡμέτερα ὡς ἐν πανηγύρει· τὰ μὲν κτήνη πεπραθη-

204

…videtur redundare   ſ. πραθησόμενα

σόμενα ἄγεται, καὶ οἱ βόσιν. οἱ δὲ πολλοὶ τῶν ἀνθρώπων, οἱ μὲν ὠνησόμενοι· οἱ δὲ πωλήσοντες· ὀλίγοι δέ τινές εἰσιν οἱ κατὰ θέαν ἐρχόμενοι τῆς πανηγύρεως· πῶς τοῦτο γίνεται καὶ διατί· καὶ τίνες οἱ τιθέντες τὴν πανήγυριν, καὶ ἐπὶ τίνι. οὕτω καὶ ἐνθάδε ἐν τῇ πανηγύρει ταύτῃ· οἱ μέν τινες ὡς κτήνη οὐδὲν πλέον, πολυπραγμονοῦσι τοῦ χόρτου· ὅσοι γὰρ περὶ κτῆσιν καὶ ἀγροὺς καὶ οἰκέτας καὶ ἀρχάς τινας ἀναστρέφεσθε, ταῦτα οὐδὲν ἄλλο ἢ χόρτος ἐστίν· ὀλίγοι δ' εἰσὶν οἱ πανηγυρίζοντες ἄνθρωποι φιλοθεάμονες. τί ποτ' οὖν ἐστιν ὁ κόσμος· τίς αὐτὸν διοικεῖ· οὐδείς· καὶ πῶς οἷόν τε· πόλιν μὲν ἢ οἶκον μὴ δύνασθαι διαμένειν μηδ' ὀλιγοστὸν χρόνον δίχα τοῦ διοικοῦντος καὶ ἐπιμελουμένου, τὸ δ' οὕτω μέγα καὶ καλὸν κατασκεύασμα, εἰκῇ καὶ ὡς ἔτυχεν οὕτως ἀτάκτως οἰκονομεῖσθαι. ἔστιν οὖν ὁ διοικῶν· ποῖός τις καὶ πῶς διοικῶν. ἡμεῖς δὲ τίνες ὄντες ὑπ' αὐτοῦ γεγόναμεν· καὶ πρὸς τί ἔργον. ἆρά γε ἔχομέν τινα ἐπιπλοκὴν πρὸς αὐτὸν καὶ σχέσιν, ἢ οὐδεμίαν· ταῦτ' ἐστὶν ἃ πάσχουσιν οὗτοι οἱ ὀλίγοι. καὶ λοιπὸν τούτῳ μόνῳ σχολάζουσι, τὴν πανήγυριν ἱστορήσαντ' ἀπελθεῖν. τί οὖν καταγελῶνται ὑπὸ τῶν πολλῶν· καὶ γὰρ ἐκεῖ οἱ θεαταὶ ὑπὸ τῶν ἐμπόρων· καὶ εἰ τὰ κτήνη συναίσθησίν τινα εἶχε, κατεγέλα τῶν ἄλλο τι τεθαυμακότων, ἢ τὸν χόρτον.

Πρὸς

χέσιν



Πρὸς τοὺς σκληρῶς τινῶν ὧν ἔκριναν ἐμμένοντας. ιε'.

Ὅταν ἀκούσωσί τινες τούτων τῶν λόγων ὅτι βέβαιον εἶναι δεῖ· καὶ ἡ μὲν προαίρεσις, ἐλεύθερον φύσει, καὶ ἀνανάγκαστον· τὰ δ' ἄλλα κωλυτά, ἀναγκαστά, δοῦλα, ἀλλότρια, φαντάζονται ὅτι δεῖ παντὶ τῷ κριθέντι ὑπ' αὐτῶν ἀπαραβάτως ἐμμένειν. ἀλλὰ πρῶτον ὑγιὲς εἶναι δεῖ τὸ κεκριμένον. θέλω γὰρ εἶναι τόνους ἐν σώματι· ἀλλ' ὡς ὑγιαίνοντι· ὡς ἀθλοῦντι· ἂν δέ μοι φρενιτικοῦ τόνους ἔχων ἐνδεικνύῃς, καὶ ἀλαζονεύῃ ἐπ' αὐτοῖς, ἐρῶ σοι ὅτι ἄνθρωπε ζήτει τὸν θεραπεύσοντα. τοῦτο οὐκ εἰσὶ τόνοι, ἀλλ' ἀτονία. ἕτερον τρόπον. τοιοῦτόν τι καὶ ἐπὶ τῆς ψυχῆς πάσχουσιν οἱ παρακούοντες τῶν λόγων τούτων. οἷον καὶ ἐμός τις ἑταῖρος ἐξ οὐδεμιᾶς αἰτίας ἔκρινεν ἀποκαρτερεῖν. ἔγνων ἐγὼ ἤδη τρίτην ἡμέραν ἔχοντος αὐτοῦ τῆς ἀποχῆς, καὶ ἐλθὼν ἐπυνθανόμην τί ἐγένετο. κέκρικα φησίν. ἀλλ' ὅμως τί σε ἦν τὸ ἀναπεῖσαν. εἰ γὰρ ὀρθῶς ἔκρινας, ἰδοὺ παρακαθήμεθά σοι καὶ συνεργοῦμεν ἵνα ἐξέλθῃς. εἰ δ' ἀλόγως ἔκρινας, μετάθου. τοῖς κριθεῖσιν ἐμμένειν δεῖ. τί ποιεῖς ἄνθρωπε. οὐ πᾶσιν, ἀλλὰ τοῖς ὀρθῶς. ἐπεὶ πεισθὼν ἄρτι ὅτι νύξ ἐστιν, ἄν σοι δοκῇ, μὴ μετατίθεσο, ἀλλ' ἔμμενε καὶ λέγε. ὅτι τοῖς κριθεῖσιν ἐμμένειν δεῖ.

τόνους

ἀτονία

ἀποχῆς

παθών

207

15 N

τί ποιεῖς ἄνθρωπε. οὐ πᾶσιν, οὐ θέλεις τὴν ἀρχὴν ποιῆσαι καὶ τὸν θεμέλιον, τὸ κρίμα σκέψασθαι πότερον ὑγιὲς ἢ οὐχ ὑγιές, καὶ οὕτω λοιπὸν ἐποικοδομεῖν αὐτῷ τὴν εὐτονίαν, τὴν ἀσφάλειαν; ἂν δὲ σαπρὸν ὑποστήσῃ, καὶ καταπίπτον, οὐκ οἰκοδόμημά τι ὄν, ὅσῳ δ' ἂν πλείονα καὶ ἰσχυρότερα ἐπιθῇς, τοσούτῳ θᾶττον κατενεχθήσεται. ἄνευ πάσης αἰτίας ἐξάγεις ἡμῶν ἄνθρωπον ἐκ τοῦ ζῆν φίλον καὶ συνήθη, τῆς αὐτῆς πόλεως πολίτην καὶ τῆς μεγάλης καὶ τῆς μικρᾶς; εἶτα φόνον ἐργαζόμενος καὶ ἀπολλύων ἄνθρωπον μηδὲν ἠδικηκότα, λέγεις ὅτι τοῖς κριθεῖσιν ἐμμένειν δεῖ; εἰ δ' ἐπῆλθέ σοι πώποτ' ἐμὲ ἀποκτεῖναι, ἔδει σε ἐμμένειν τοῖς κριθεῖσιν; ἐκεῖνος μὲν οὖν μόγις μετεπείσθη. τῶν δὲ νῦν τινας οὐκέτι μεταθεῖναι. ὥστε μοι δοκῶ ὃ πρότερον ἠγνόουν νῦν εἰδέναι, τί ἐστι τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, μωρὸν οὔτε πεῖσαι οὔτε ῥῆξαι ἔστι. μή μοι γένοιτο φίλον ἔχειν μωρόν. δυσμεταχειριστότερον οὐδέν ἐστι. κέκρικα. καὶ γὰρ οἱ μαινόμενοι. ἀλλ' ὅσῳ βεβαιότερον κρίνουσι τὰ οὐκ ὄντα, τοσούτῳ πλείονος ἐλλεβόρου δέονται. οὐ θέλεις τὰ τοῦ νοσοῦντος ποιεῖν καὶ τὸν ἰατρὸν παρακαλεῖν. νοσῶ κύριε, βοήθησόν μοι. τί με δεῖ ποιεῖν, σκέψαι. ἐμόν ἐστι πείθεσθαί σοι. οὕτω καὶ ἐνταῦθα ἃ δεῖ με ποιεῖν οὐκ οἶδα. ἐλήλυθα δὲ μαθησόμενος. οὔ. ἀλλὰ περὶ τῶν ἄλλων μοι λέγε,



16 N

τοῦτο δὲ κέκρικα. περὶ ποίων ἄλλων. τί γάρ ἐστι μεῖζον ἢ προυργιαίτερον τοῦ πεισθῆναί σε ὅτι οὐκ ἀρκεῖ τὸ κεκρικέναι καὶ τὸ μὴ μετατίθεσθαι. οὗτοι οἱ μανικοὶ τόνοι, οὐχ ὑγιεινοί. ἀποθανεῖν θέλω, ἄν με τοῦτο ἀναγκάσῃς. διατί ἄνθρωπε. τί ἐγένετο. κέκρικα. ἐσώθην ὅτι οὐ κέκρικας ἐμὲ ἀποκτεῖναι. ἀργύριον οὐ λαμβάνω. διατί. κέκρικα. ἴσθι ὅτι ᾧ τόνῳ νῦν χρῇ πρὸς τὸ μὴ λαμβάνειν, οὐδὲν κωλύει σε ἀλόγως ποτὲ ῥέψαι πρὸς τὸ λαμβάνειν. καὶ πάλιν λέγειν ὅτι κέκρικα. ὥσπερ ἐν νοσοῦντι καὶ ῥευματιζομένῳ σώματι, ποτὲ μὲν ἐπὶ ταῦτα, ποτὲ δ' ἐπ' ἐκεῖνα ῥέπει τὸ ῥεῦμα, οὕτω καὶ ἀσθενὴς ψυχή. ὅπου μὲν κλίνει, ἄδηλον ἔχει. ὅταν δὲ καὶ τόνος προσῇ τῷ κλίματι τούτῳ καὶ τῇ φορᾷ, τότε γίνεται τὸ κακὸν ἀβοήθητον καὶ ἀθεράπευτον.

Τόνοι μανικοί

## Ὅτι οὐ μελετῶμεν χρῆσθαι τοῖς περὶ ἀγαθῶν καὶ κακῶν δόγμασι. ιϛ΄.

Ποῦ τὸ ἀγαθόν; ἐν προαιρέσει. ποῦ τὸ κακόν; ἐν προαιρέσει. ποῦ τὸ οὐδέτερον; ἐν τοῖς ἀπροαιρέτοις. τί οὖν; μέμνηταί τις ἡμῶν ἔξω τούτων τῶν λόγων, μελετᾷ τις αὐτὸς ἐφ' αὑτοῦ τοῦτον τὸν τρόπον ἀποκρίνεσθαι τοῖς πράγμασιν ὡς ἐπὶ τῶν ἐρωτημάτων. ἆρά γε ἡμέρα ἐστί; ναί. τί δέ, νύξ

209

10

ἐστιν; οὔ. τί δ' ἄρτιοι εἰσὶν οἱ ἀστέρες; οὐκ ἔχω λέγειν. ὅταν σοι προφέρηται ἀργύριον, μεμελέτηκας ἀποκρίνεσθαι τὴν δέουσαν ἀπόκρισιν ὅτι οὐκ ἀγαθόν, ἤσκηκας ἐν ταύταις ταῖς ἀποκρίσεσιν, ἢ πρὸς μόνα τὰ σοφίσματα. τί οὖν θαυμάζεις, εἰ ὅπου μὲν μεμελέτηκας, ἐκεῖ κρείττων γίνῃ σεαυτοῦ, ὅπου δ' ἀμελετήτως ἔχεις, ἐκεῖ δ' ὁ αὐτὸς διαμένεις; ἐπεὶ διατί ὁ ῥήτωρ εἰδὼς ὅτι γέγραφε καλῶς, ὅτι ἀνείληφε τὰ γεγραμμένα, φωνὴν εὔφωνον φέρων ἡδεῖαν, ὅμως ἔτι ἀγωνιᾷ, ὅτι οὐκ ἀρκεῖται τῷ μελετῆσαι. τί οὖν θέλει. ἐπαινεθῆναι ὑπὸ τῶν παρόντων. πρὸς μὲν οὖν τὸ δύνασθαι μελετᾶν, ἤσκηται. πρὸς ἔπαινον δὲ καὶ ψόγον, οὐκ ἤσκηται. πότε γὰρ ἤκουσε παρά τινος τί ἐστι ψόγος. τίς ἑκατέρου φύσις. τοὺς ποίους τῶν ἐπαίνων διωκτέον, ἢ τοὺς ποίους τῶν ψόγων φευκτέον. πότε δ' ἐμελέτησε ταύτην τὴν μελέτην, ἀκόλουθον τούτοις τοῖς λόγοις; τί οὖν ἔτι θαυμάζεις. εἰ ὅπου μὲν ἔμαθεν ἐκεῖ διαφέρει τῶν ἄλλων, ὅπου δ' οὐ μεμελέτηκεν, ἐκεῖ τοῖς πολλοῖς ὁ αὐτός ἐστιν. ὡς ὁ κιθαρῳδὸς οἶδε κιθαρίζειν. ᾄδει καλῶς. τὰ τ' ἔχειν καλόν. καὶ ὅμως εἰσερχόμενος τρέμει. ταῦτα γὰρ οἶδεν. ὄχλος δὲ τί ἐστιν οὐκ οἶδεν, οὐδ' ὄχλου βοὴ. οὐδὲ καταγέλως. ἀλλ' οὐδ' αὐτὸ τὸ ἀγωνιᾶν τί ἐστιν οἶδε, πότερον ἡμέτερον ἔργον ἐστὶν, ἢ ἀλλότριον. αὐτὸ παῦσαι, ἢ οὐκ ἔτι. διατοῦτο ἐὰν μὲν ἐπαινεθῇ, φυσηθεὶς ἐξῆλθεν. ἐὰν δὲ καταγελασθῇ, τὸ φυσημάτιον ἐκεῖνο ἐκκεντήθη καὶ προσεκάθισε. τοιοῦτόν τι καὶ ἡμεῖς πάσχομεν. τίνα θαυμάζομεν περὶ τὰ ἐκτός. εἶτ' ἀποροῦμεν πῶς φοβούμεθα ἢ πῶς ἀγωνιῶμεν; τί οὖν ἐνδέχεται ὅταν τὰ ἐπιφερόμενα κακὰ ἡγώμεθα, οὐ δυνάμεθα μὴ φοβεῖσθαι. οὐ δυνάμεθα μὴ ἀγωνιᾷν. εἶτα λέγομεν. κύριε ὁ θεὸς πῶς μὴ ἀγωνιῶ. μωρέ. χεῖρας οὐκ ἔχεις; οὐκ ἐποίησέ σοι αὐτὰς ὁ θεός; εὔχου νῦν καθήμενος ὅπως αἱ μύξαι σου μὴ ῥέωσιν. ἀπόμυξαι μᾶλλον καὶ μὴ ἐγκάλει. τί οὖν. ἐνταῦθά σοι οὐδὲν δέδωκεν; οὐ δέδωκέ σοι καρτερίαν; οὐ δέδωκέ σοι μεγαλοψυχίαν; οὐ δέδωκεν ἀνδρείαν; τηλικαύτας ἔχων χεῖρας ἔτι ζητεῖς τὸν ἀπομύξοντα; ἀλλ' οὐδὲ μελετῶμεν ταῦτα, οὐδ' ἐπιστρεφόμεθα. ἐπεὶ δότε μοι ἕνα ᾧ μέλει πῶς τι ποιήσῃ, ὃς ἐπιστρέφεται οὐ τοῦ τυχεῖν τινός. ἀλλὰ τῆς ἐνεργείας τῆς αὐτοῦ ἐπιστρέφεται. τίς βουλευόμενος, αὐτῆς τῆς βουλῆς, οὐχὶ δὲ τοῦ τυχεῖν ἐκείνου περὶ οὗ βουλεύεται. κἂν μὲν τύχῃ, ἐπῆρται καὶ λέγει. πῶς γὰρ ἡμεῖς καλῶς ἐβουλευσάμεθα. οὐκ ἔλεγόν σοι ἀδελφὲ ὅτι ἀδύνατόν ἐστιν ἡμῶν τι σκεψαμένων, μὴ οὕτως ἐκβῆναι; ἂν δ' ἑτέρως χωρήσῃ, τεταπείνωται τάλας οὐχ εὑρίσκει ὅ, τι εἴπῃ περὶ τῶν γεγονότων. τίς ἡμῶν τούτου ἕνεκα μάντιν παρέλαβε. τίς ἡμῶν οὐκ ἐνεκοιμήθη ὑπὲρ ἐνεργείας. τίς.

μοι συνήθης ἦν. καὶ τοῦτο πάλιν ἔσται σοι συνηθές. εἶτ' ἂν μὴ τοιούτῳ προσπαθῇς, καὶ τοῦτο πάλιν κλαῖε. καὶ ζήτει εἴ τι ἔχεις ὅμοιον τῷ Εὐριπίδου ποιῆσαι, θερμάς τε τὰς Νέρωνος καὶ Μαρκίου ὕδωρ. ἴδε πῶς τραγῳδία γίνεται, ὅταν εἰς μωροὺς ἀνθρώπους πράγματα τυγχάνοντα ἐμπέσῃ. πότε οὖν Ἀθήνας πάλιν ὄψομαι καὶ τὴν ἀκρόπολιν. τάλας, οὐκ ἀρκεῖ σοι ἃ βλέπεις καθ' ἡμέραν; κρεῖττόν τι ἔχεις ἢ μεῖζον ἰδεῖν τοῦ ἡλίου, τῆς σελήνης, τῶν ἄστρων, τῆς γῆς ὅλης, τῆς θαλάσσης; εἰ δὲ δὴ παρακολουθεῖν τῷ διοικοῦντι τὰ ὅλα, καὶ ἐκεῖνον ἐν σαυτῷ περιφέρεις, ἔτι ποθεῖς λιθάρια καὶ πέτραν κομψήν; ὅταν οὖν μέλλῃς ἀπολιπεῖν αὐτὸν τὸν ἥλιον καὶ τὴν σελήνην, τί ποιήσεις; κλαύσεις καθήμενος ὡς τὰ παιδία; τί οὖν ἐν τῇ σχολῇ ἐποίεις; τί ἤκουες; τί ἐμάνθανες; τί σαυτὸν φιλόσοφον ἐπέγραφες, ἐξὸν τὰ ὄντα ἐπιγράφειν; ὅτι εἰσαγωγάς ἔπραξά τινας, καὶ Χρυσίππεια ἀνέγνων; φιλοσόφου δ' οὐδὲ θύραν παρῆλθον. ποῦ γάρ μοι μέτεστι τούτου τοῦ πράγματος, οὗ Σωκράτει μετῆν τῷ οὕτως ἀποθανόντι, οὕτω ζήσαντι, οὗ Διογένει μετῆν; ἐννοεῖς τούτων τινὰ κλαίοντα ἢ ἀγανακτοῦντα, ὅτι τὸν δεῖνα οὐ μέλλει βλέπειν οὐδὲ τὴν δεῖνα; οὐδ' ἐν Ἀθήναις ἔσεσθαι ἢ ἐν Κορίνθῳ, ἀλλ' ἂν οὕτω τύχῃ ἐν Σούσοις ἢ ἐν Ἐκβατάνοις; ὁ γὰρ ἔξεστιν ὅταν θέλῃ ἐξελθεῖν τοῦ συμποσίου

Euripides
Neronis therma
Marcia aqua
Socrates
Diogenes

1. ἐκβατάνοις

καὶ μηκέτι παίζειν, ἔτι οὗτος ἀνιᾶται μένων; οὐχὶ δ' ὡς παιδιᾷ παραμένει, μέχρις ἂν ψυχαγωγῆται; ταχύ γ' ἂν οὗτος ὑπομείνειε φυγὴν τινα φυγεῖν εἰς ἅπαντα, ἢ τὴν ἐπὶ θανάτῳ κατακριθείς. οὐ θέλεις ἤδη ὡς τὰ παιδία ἀπογαλακτισθῆναι, καὶ ἅπτεσθαι τροφῆς στερεωτέρας, μηδὲ κλαίειν μάμμας καὶ τίτθας, γραῶν ἀποκλαύματα; ἀλλ' ἐκείνας ἀπαλλασσόμενος ἀνιάσω. σὺ αὐτὰς ἀνιάσεις; οὐδαμῶς, ἀλλ' ὅπερ καὶ σέ, τὸ δόγμα. τί οὖν ἔχεις ποιῆσαι; ἔξελε. τὸ δ' ἐκείνων ἂν εὖ ποιῶσιν αὐταὶ ἐξελοῦσιν. εἰ δὲ μή, οἰμώξουσι δι' αὑτάς. ἄνθρωπε, τὸ λεγόμενον, τοῦτο ἀπονοήθητι ἤδη ὑπὲρ εὐροίας, ὑπὲρ ἐλευθερίας, ὑπὲρ μεγαλοψυχίας. ἀνάτεινόν ποτε τὸν τράχηλον ὡς ἀπηλλαγμένος δουλείας. τόλμησον ἀναβλέψας πρὸς τὸν θεὸν εἰπεῖν, ὅτι χρῶ μοι λοιπὸν εἰς ὃ ἂν θέλῃς. ὁμογνωμονῶ σοι. ἴσος εἰμί. οὐδὲν παραιτοῦμαι τῶν σοὶ δοκούντων, ὅπου θέλεις ἄγε. ἣν θέλεις ἐσθῆτα περίθες. ἄρχειν με θέλεις, ἰδιωτεύειν, μένειν, φεύγειν, πένεσθαι, πλουτεῖν; ἐγώ σοι ὑπὲρ ἁπάντων τούτων πρὸς τοὺς ἀνθρώπους ἀπολογήσομαι. δείξω τὴν ἑκάστου φύσιν οἷα ἐστίν. οὔ. ἀλλ' ἐν βοὸς νοσσιᾷ καθήμενος, ἐκδέχου σου τὴν μάμμην μέχρις σε χορτάσῃ. ὁ Ἡρακλῆς εἰ τοῖς ἐν οἴκῳ παρεκάθητο, τίς ἂν ἦν; Εὐρυσθεὺς καὶ οὐχὶ Ἡρακλῆς. ἄγε πόσους δὲ περιερχόμενος τὴν οἰκουμένην συνήθεις

215
70
216
80

Hercules
Eurysthe

ἔχει φίλοις; ἀλλ' οὐδὲν φίλτερον τοῦ θεοῦ. διὰ τοῦτο ἐπιστεύθη Διὸς εἶναι υἱὸς, καὶ ἦν. ἐκείνῳ τοίνυν πειθόμενος, περιῄει καθαίρων ἀδικίαν καὶ ἀνομίαν. ἀλλ' οὐκ εἶ Ἡρακλῆς, καὶ οὐ δύνασαι καθαίρειν τὰ ἀλλότρια κακά; ἀλλ' οὐδὲ Θησεὺς, ἵνα τὰ τῆς Ἀττικῆς καθάρῃς; τὰ σαυτοῦ κάθαρον. ἐντεῦθεν ἐκ τῆς διανοίας ἔκβαλε ἀντὶ προκρούστου καὶ σκίρωνος, λύπην, φόβον, ἐπιθυμίαν, φθόνον, ἐπιχαιρεκακίαν, φιλαργυρίαν, μαλακίαν, ἀκρασίαν. ταῦτα δ' οὐκ ἔστιν ἄλλως ἐκβαλεῖν, εἰ μὴ πρὸς μόνον τὸν θεὸν ἀποβλέποντα, ἐκείνῳ μόνῳ προσπεπονθότα, τοῖς ἐκείνου προστάγμασι καθωσιωμένον. ἂν δ' ἄλλο τι θέλῃς, οἰμώζων καὶ στένων ἀκολουθήσεις τῷ ἰσχυροτέρῳ, ἔξω ζητῶν ἀεὶ τὴν εὔροιαν, καὶ μηδέποτ' εὐροεῖν δυνάμενος. ἐκεῖ γὰρ αὐτὴν ζητεῖς, οὗ μὴ ἔστιν, ἀφεὶς ἐκεῖ ζητεῖν ὅπου ἐστί.

## Πῶς ἐφαρμοστέον τὰς προλήψεις τοῖς ἐπὶ μέρους. ιζ.

Τί πρῶτόν ἐστιν ἔργον τοῦ φιλοσοφοῦντος; ἀποβαλεῖν οἴησιν. ἀμήχανον γὰρ ἅ τις εἰδέναι οἴεται, ταῦτα ἄρξασθαι μανθάνειν. τὰ μὲν οὖν ποιητέα καὶ οὐ ποιητέα, καὶ ἀγαθὰ καὶ κακὰ, καὶ καλὰ καὶ αἰσχρὰ πάντες ἄνω καὶ κάτω λαλοῦντες ἐρχόμεθα πρὸς τοὺς φιλοσόφους, ἐπὶ τούτοις ἐπαινοῦντες, ψέγοντες, ἐγκαλοῦντες, μεμφόμενοι, περὶ ἐπιτηδευμάτων καλῶν καὶ αἰσχρῶν ἐπικρίνοντες καὶ διαλαμβάνοντες. τίνος δ' ἕνεκα προσερχόμεθα τοῖς φιλοσόφοις; ἃ οὐκ οἰόμεθα εἰδέναι. τίνα δ' ἐστὶ ταῦτα; τὰ θεωρήματα. ἃ γὰρ λαλοῦσιν οἱ φιλόσοφοι μαθεῖν θέλομεν ὡς κομψὰ καὶ δριμέα. οἱ δ' ἵν' ἀπ' αὐτῶν περιποιήσωνται. γελοῖον οὖν τὸ οἴεσθαι ὅτι ἄλλα μέν τις μαθεῖν βούλεται, ἄλλα δὲ μαθήσεται. ἢ λοιπὸν ὅτι προκόψει τις ἐν οἷς οὐ μανθάνει. τὸ δ' ἐξαπατῶν τοὺς πολλοὺς τοῦτό ἐστιν, ὅπου καὶ θεόπομπον τὸν ῥήτορα, ὅπου καὶ πλάτωνι ἐγκαλεῖ ἐπὶ τῷ βούλεσθαι ἕκαστα ὁρίζεσθαι. τί γὰρ λέγει; οὐδεὶς ἡμῶν πρὸ σοῦ ἔλεγεν ἀγαθὸν ἢ δίκαιον, ἢ μὴ παρακολουθοῦντες τί ἐστι τούτων ἕκαστον, ἀσήμως καὶ κενῶς φθεγγόμεθα τὰς φωνάς; τίς γάρ σοι λέγει θεόπομπε, ὅτι ἐννοίας οὐκ εἴχομεν ἑκάστου τούτων φυσικὰς καὶ προλήψεις; ἀλλ' οὐχ οἷόν τε ἐφαρμόζειν τὰς προλήψεις ταῖς καταλλήλοις οὐσίαις μὴ διαρθρώσαντα αὐτὰς, καὶ αὐτὸ τοῦτο σκεψάμενον, ποίαν τινὰ ἑκάστῃ αὐτῶν οὐσίαν ὑποτακτέον. ἐπεὶ τοιαῦτα λέγε καὶ πρὸς τοὺς ἰατρούς. τίς γὰρ ἡμῶν οὐκ ἔλεγεν ὑγιεινόν τι καὶ νοσερὸν, πρὶν Ἱπποκράτη γενέσθαι; ἢ κενῶς τὰς φωνὰς ταύτας ἀπηχοῦμεν; ἔχομεν γάρ τινα καὶ ὑγιεινοῦ πρόληψιν. ἀλλ' ἐφαρμόσαι οὐ δυνάμεθα. διὰ τοῦτο ὁ μὲν λέγει, ἀσίτευσον. ὁ δὲ λέγει, δὸς τροφήν. καὶ ὁ μὲν λέγει, φλεβοτόμησον.

ὁ δὲ λέγει, σκέψαι· τί τὸ αἴτιον ἄλλο γε, ἢ ὅτι τὴν τοῦ ὑγιεινοῦ πρόληψιν οὐ δύναται καλῶς ἐφαρμόσαι τοῖς ἐπὶ μέρους. οὕτως ἔχει καὶ ἐνθάδε ἐπὶ τῶν κατὰ τὸν βίον ἀγαθὸν καὶ κακὸν, καὶ συμφέρον, καὶ ἀσύμφορον· τίς ἡμῶν οὐ λαλεῖ· τίς γὰρ ἡμῶν οὐκ ἔχει τούτων ἑκάστου πρόληψιν. ἆρ' οὖν διηρθρωμένην καὶ τελείαν; τοῦτο δεῖξον. πῶς δείξω. ἐφαρμόσον αὐτὴν καλῶς ταῖς ἐπὶ μέρους οὐσίαις. εὐθὺς τοὺς ὅρους πλάτων μὲν ὑποτάσσει τῇ τοῦ χρησίμου προλήψει, σὺ δὲ τῇ τοῦ ἀχρήστου. δυνατὸν οὖν ἐστιν ἀμφοτέροις ὑμᾶς ἐπιτυγχάνειν; πῶς οἷόν τε. τῇ δὲ τοῦ πλούτου οὐσίᾳ οὐχ ὁ μέν τις ἐφαρμόζει τὴν τοῦ ἀγαθοῦ πρόληψιν ὁ δ' οὔ; τῇ δὲ τῆς ἡδονῆς; τῇ δὲ τῆς ὑγείας; καθόλου γὰρ εἰ πάντες οἱ τὰ ὀνόματα λαλοῦντες, μὴ κενῶς ἴσμεν ἕκαστα τούτων, καὶ μηδεμιᾶς ἐπιμελείας περὶ τὴν διάρθρωσιν τῶν προλήψεων δεόμεθα. τί διαφερόμεθα; τί πολεμοῦμεν, τί ψέγομεν ἀλλήλους. καὶ τί μοι νῦν τὴν πρὸς ἀλλήλους μάχην παραφέρειν καὶ ταύτης μεμνῆσθαι. σὺ αὐτὸς εἰ ἐφαρμόζεις καλῶς τὰς προλήψεις, διατί δυσροεῖς. διατί ἐμποδίζῃ. ἀφῶμεν ἄρτι τὸν δεύτερον τόπον τὸν περὶ τὰς ὁρμὰς καὶ τὴν κατὰ ταύτας περὶ τὸ καθῆκον φιλοτεχνίαν. ἀφῶμεν καὶ τὸν τρίτον τὸν περὶ τὰς συγκαταθέσεις. χαρίζομαί σοι ταῦτα πάντα. στῶμεν ἐπὶ τοῦ πρώτου καὶ σχεδὸν αἰσθητὴν παρέχοντος τὴν ἀπόδειξιν τοῦ μὴ ἐφαρμόζειν καλῶς τὰς προλήψεις. νῦν σὺ θέλεις τὰ δυνατὰ καὶ τὰ σοὶ δυνατά. τί οὖν ἐμποδίζῃ. διατί δυσροεῖς. νῦν οὐ φεύγεις τὰ ἀναγκαῖα. διατί οὖν περιπίπτεις τινί. διατί δυστυχεῖς. διατί θέλοντός σου τι, οὐ γίνεται, καὶ μὴ θέλοντος γίνεται. ἀπόδειξις γὰρ αὕτη μεγίστη δυσροίας καὶ κακοδαιμονίας. θέλω τι καὶ οὐ γίνεται. καὶ τί ἐστιν ἀθλιώτερον ἐμοῦ. τοῦτο καὶ ἡ μήδεια οὐχ ὑπομένουσα ἦλθεν ἐπὶ τὸ ἀποκτεῖναι τὰ ἴδια τέκνα. μεγαλοφυῶς κατά γε τοῦτο. εἶχε γὰρ ἣν δεῖ φαντασίαν. οἷόν ἐστι τὸ ἃ θέλει τινὶ μὴ προχωρεῖν. εἶτα οὕτω τιμωρήσομαι τὸν ἀδικήσαντά με καὶ ὑβρίσαντα. καὶ τί ὄφελος τοῦ κακῶς οὕτω διακειμένου. πῶς οὖν γένηται. ἀποκτείνω μὲν τὰ τέκνα. ἀλλὰ καὶ ἐμαυτὴν τιμωρήσομαι. καὶ τί μοι μέλει. τοῦτ' ἔστιν ἔκπτωσις ψυχῆς μεγάλα νεῦρα ἐχούσης. οὐ γὰρ ᾔδει ποῦ κεῖται τὸ ποιεῖν ἃ θέλομεν ὅτι τοῦτο οὐκ ἔξωθεν δεῖ λαμβάνειν. οὐ δὲ τὰ πράγματα μετατιθέντα καὶ μεθαρμοζόμενον, μὴ θέλε τὸν ἄνδρα. καὶ οὐδὲν ὧν θέλεις οὐ γίνεται. μὴ θέλε αὐτὸν ἐξ ἅπαντός σοι συνοικεῖν. μὴ θέλε μέλλειν ἐν κορίνθῳ. καὶ ἁπλῶς μηδὲν ἄλλο θέλε, ἢ ἃ ὁ θεὸς θέλει. καὶ τίς σε κωλύσει. τίς ἀναγκάσει. οὐ μᾶλλον ἢ τὸν δία. ὅταν τοιοῦτον ἔχῃς ἡγεμόνα. καὶ τοιούτῳ συνθέλῃς καὶ συνορέγῃ, τί φοβῇ ἔτι μὴ

ἀποτύχῃς. χάρισαί σου τὴν ὄρεξιν καὶ τὴν ἔκκλισιν πενίᾳ καὶ πλούτῳ· ἀποτεύξῃ, περιπεσῇ. ἀλλ' ὑγείᾳ· δυστυχήσεις. ἀρχαῖς, τιμαῖς, πατρίδι, φίλοις, τέκνοις, ἁπλῶς ἄν τινι τῶν ἀπροαιρέτων. ἀλλὰ τῷ Διὶ χάρισαι αὐτά, τοῖς ἄλλοις θεοῖς. ἐκείνοις παράδος, ἐκεῖνοι κυβερνάτωσαν, μετ' ἐκείνων τετάχθωσαν. καὶ πῶς ἔτι δυσροήσεις; εἰ δὲ φθονεῖς τάλαιπωρε, καὶ ἐλεεῖς, καὶ ζηλοτυπεῖς, καὶ τρέμεις, καὶ μίαν ἡμέραν οὐ διαλείπεις ἐν ᾗ οὐ κατακλαίεις καὶ σαυτοῦ καὶ τῶν θεῶν, καὶ τί ἔτι λέγεις πεπαιδεῦσθαι; ποίαν παιδείαν ἄνθρωπε; ὅτι συλλογισμοὺς ἔπραξας μεταπίπτοντας; οὐ θέλεις ἀπομαθεῖν εἰ δυνατὸν πάντα ταῦτα καὶ ἄνωθεν ἄρξασθαι, συναισθανόμενος ὅτι μέχρι νῦν οὐδ' ἥψω τοῦ πράγματος; καὶ λοιπὸν ἔνθεν ἀρξάμενος προσοικοδομεῖν τὰ ἑξῆς, πῶς μηδὲν ἔσται σοῦ θέλοντος μηδέν; οὐκ ἔστι. δότε μοι ἕνα νέον κατὰ ταύτην τὴν ἐπιβολὴν ἐληλυθότα εἰς σχολήν, τοῦτον τοῦ πράγματος ἀθλητὴν γενόμενον καὶ λέγοντα, ὅτι ἐμοὶ τὰ μὲν ἄλλα πάντα χαιρέτω, ἀρκεῖ δ' εἰ ἐξέσται ποτὲ ἀπαραποδίστῳ καὶ ἀλύπῳ διαγαγεῖν καὶ ἀνατεῖναι τὸν τράχηλον πρὸς τὰ πράγματα ὡς ἐλεύθερον, καὶ εἰς τὸν οὐρανὸν ἀναβλέπειν ὡς φίλον τοῦ θεοῦ, μηδὲν φοβούμενον τῶν συμβῆναι δυναμένων. δειξάτω τις ὑμῶν αὐτὸν τοιοῦτον, ἵν' εἴπω· ἔρχου νεανίσκε εἰς τὰ σά. σοὶ γὰρ εἵμαρται κοσμῆσαι φιλο-

Δ

222

140

συλλογισμοὺς μετα πίπτοντας



σοφίαν. σὰ δεῖ ταῦτα τὰ κτήματα, σὰ τὰ βιβλία, σοὶ οἱ λόγοι. εἶθ' ὅταν τοιοῦτον ἐκπονήσῃ καὶ καταθλήσῃ τὸν τόπον, πάλιν ἐλθών μοι εἰπάτω. ἐγὼ θέλω μὲν καὶ ἀπαθὴς εἶναι καὶ ἀτάραχος. θέλω δ' ὡς εὐσεβὴς καὶ φιλόσοφος καὶ ἐπιμελής, εἰδέναι τί μοι πρὸς θεούς ἐστι καθῆκον, τί πρὸς γονεῖς, τί πρὸς ἀδελφούς, τί πρὸς τὴν πατρίδα, τί πρὸς ξένους. ἔρχου καὶ ἐπὶ τὸν δεύτερον τόπον, σός ἐστι καὶ οὗτος. ἀλλ' ἤδη καὶ τὸν δεύτερον τόπον ἐκμεμελέτηκα. ἤθελον δ' ἀσφαλῶς ἔχειν καὶ ἀσείστως, καὶ οὐ μόνον ἐγρηγορώς, ἀλλὰ καὶ καθεύδων, καὶ οἰνωμένος, καὶ ἐν μελαγχολίᾳ. σὺ θεὸς εἶ ὦ ἄνθρωπε. σὺ μεγάλας ἔχεις ἐπιβολάς. οὔ. ἀλλ' ἐγὼ θέλω γνῶναι τί λέγει Χρύσιππος ἐν τοῖς περὶ τοῦ ψευδομένου. οὐκ ἀπάγξῃ μετὰ τῆς ἐπιβολῆς ταύτης τάλας; καὶ τί σοι ὄφελος ἔσται. πενθῶν ἅπαν ἀναγνώσῃ καὶ τρέμων πρὸς ἄλλους ἐρεῖς, οὕτω καὶ ὑμεῖς ποιεῖτε. θέλεις ἀναγνῶ σοι ἀδελφέ, καὶ σύ ἐμοί; θαυμασίως ἄνθρωπε γράφεις. καὶ σὺ μεγάλως εἰς τὸν Ξενοφῶντος χαρακτῆρα. σὺ εἰς τὸν Πλάτωνος. σὺ εἰς τὸν Ἀντισθένους. εἶτ' ἀλλήλοις ὀνείρους διηγησάμενοι, πάλιν ἐπὶ ταῦτα ἐπανέρχεσθε. ὡσαύτως ὀρέγεσθε, ὡσαύτως ἐκκλίνετε. ὁμοίως ὁρμᾶτε. ἐπιβάλλεσθε. προστίθεσθε. ταῦτα εὔχεσθε. περὶ ταῦτα σπουδάζετε. εἶτα οὐδὲ ζητεῖτε τὸν ὑπομνήσοντα ὑμᾶς. ἀλλ' ἄχθεσθε

X

Ξ Xenophō

Π Plato

Α Antistheni

Ο

ἐὰν ἀκούητε τούτων. εἶτα λέγετε ὁ φιλόστοργος γέρων· ἐξερχομένου μου οὐκ ἔκλαυσεν. οὐδ' εἶπεν εἰς οἵαν περίστασιν ἀπέρχομαι, τέκνον· ἂν σωθῇς, ἅψω λύχνους. ταῦτ' ἔστι τὰ τοῦ φιλοστόργου. μέγα σοι ἀγαθὸν ἔσται σωθέντι τοιούτῳ καὶ λύχνον ἅπτειν ἄξιον. ἀθάνατον γὰρ εἶναί σε δεῖ καὶ ἄνοσον. ταύτην οὖν ὅπερ λέγω τὴν οἴησιν τὴν τοῦ δοκεῖν εἰδέναι τι τῶν χρησίμων ἀποβάλλοντας, ἔρχεσθαι δεῖ πρὸς τὸν λόγον ὡς πρὸς τὰ γεωμετρικὰ προσερχόμεθα, ὡς πρὸς τὰ μουσικά. εἰ δὲ μή, οὐδ' ἐγγὺς ἐσόμεθα τοῦ προκόψαι, κἂν πάσας τὰς συναγωγὰς καὶ τὰς συντάξεις τὰς Χρυσίππου μετὰ τῶν Ἀντιπάτρου καὶ Ἀρχεδήμου διέλθωμεν.

συναγωγάς συντάξεις Χ ΑΑ
Chrysippi
Antipater
Archedem

## Πῶς ἀγωνιστέον πρὸς τὰς φαντασίας. ιη'

16

Πᾶσα ἕξις καὶ δύναμις ὑπὸ τῶν καταλλήλων ἔργων συνέχεται καὶ αὔξεται, ἡ περιπατητικὴ ὑπὸ τοῦ περιπατεῖν, ἡ τροχαστικὴ ὑπὸ τοῦ τρέχειν. ἂν θέλῃς ἀναγνωστικὸς εἶναι, ἀναγίνωσκε. ἂν γραφικός, γράφε. ὅταν δὲ τριάκοντα ἐφεξῆς ἡμέρας μὴ ἀναγνῷς, ἀλλ' ἄλλο τι πράξῃς, γνώσῃ τὸ γινόμενον. οὕτω κἂν διαπέσῃς δέκα ἡμέρας, ἀναστὰς ἐπιχείρησον μακροτέραν ὁδὸν περιπατῆσαι, καὶ ὄψει πῶς σου τὰ σκέλη παραλύεται. καθόλου οὖν ἔτι ποιεῖν ἐθέλεις, ἑκτικὸν ποίει αὐτό. ἀλλ' ἔθιζε ἄλλο τι πράττειν μᾶλλον ἀντ' αὐτοῦ.

οὕτως



οὕτως ἔχει καὶ ἐπὶ τῶν ψυχικῶν. ὅταν ὀργισθῇς, γίνωσκε ὅτι οὐ μόνον σοι τοῦτο γέγονε κακόν, ἀλλ' ὅτι καὶ τὴν ἕξιν ηὔξησας, καὶ ὡς πυρὶ φρύγανα παρέβαλες. ὅταν ἡττηθῇς τινος ἐν συνουσίᾳ, μὴ τὴν μίαν ἧτταν ταύτην λογίζου. ἀλλ' ὅτι καὶ τὴν ἀκρασίαν σου τέτροφας, ἐπηύξησας. ἀδύνατον γὰρ ἀπὸ τῶν καταλλήλων ἔργων, μὴ καὶ τὰς ἕξεις καὶ τὰς δυνάμεις, τὰς μὲν ἐμφύεσθαι μὴ πρότερον οὔσας, τὰς δ' ἐπιτείνεσθαι καὶ ἰσχυροποιεῖσθαι. οὕτως ἀμέλει καὶ τὰ ἀρρωστήματα ὑποφύεσθαι λέγουσιν οἱ φιλόσοφοι. ὅταν γὰρ ἅπαξ ἐπιθυμήσῃς ἀργυρίου, ἂν μὲν προσαχθῇ λόγος εἰς αἴσθησιν ἀξιῶν τοῦ κακοῦ, πέπαυταί τε ἡ ἐπιθυμία, καὶ τὸ ἡγεμονικὸν ἡμῶν εἰς τὸ ἐξαρχῆς ἀποκατέστη. ἐὰν δὲ μηδὲν προσαγάγῃς εἰς θεραπείαν, οὐκέτι εἰς ταῦτα ἐπάνεισιν. ἀλλὰ πάλιν ἐρεθισθὲν ὑπὸ τῆς καταλλήλου φαντασίας, θᾶττον ἢ πρότερον ἐξήφθη πρὸς τὴν ἐπιθυμίαν. καὶ τούτου συνεχῶς γινομένου τυλοῦται λοιπόν, καὶ τὸ ἀρρώστημα βεβαιοῖ τὴν φιλαργυρίαν. ὁ γὰρ πυρέξας εἶτα παυσάμενος, οὐχ ὁμοίως ἔχει τῷ πρὸ τοῦ πυρέξαι, ἂν μή τι θεραπευθῇ εἰσάπαν. τοιοῦτόν τι καὶ ἐπὶ τῶν τῆς ψυχῆς παθῶν γίνεται. ἴχνη τινὰ καὶ μώλωπες ἀπολείπονται ἐν αὐτῇ, οὓς εἰ μή τις ἐξαλείψῃ καλῶς, πάλιν κατὰ τῶν αὐτῶν μαστιγωθείς, οὐκέτι μώλωπας, ἀλλ' ἕλκη ποιεῖ. εἰ οὖν θέλεις μὴ

225

P

Crimi

M

τυχοῦ

εἶναι ὀργίλος, μὴ τρέφε σου τὴν ἕξιν· μηδὲν αὐτῇ
παράβαλλε αὐξητικόν. τὴν πρώτην ἡσύχασον.
καὶ τὰς ἡμέρας ἀρίθμει ἃς οὐκ ὠργίσθης. καθ' ἡ-
μέραν εἰώθειν ὀργίζεσθαι. νῦν παρ' ἡμέραν. εἶτα πα-
226 ρὰ δύο. εἶτα παρὰ τρεῖς. ἂν δὲ καὶ τριάκοντα πα-
ραλίπῃς, ἐπίθυσον τῷ θεῷ. ἡ γὰρ ἕξις ἐκλύεται
2 P τὴν πρώτην. εἶτα καὶ παντελῶς ἀναιρεῖται. σήμε-
ρον οὐκ ἐλυπήθην, οὐδ' αὔριον, οὐδ' ἐφεξῆς διμή-
νῳ καὶ τριμήνῳ. ἀλλὰ προσέσχον γενομένων τινῶν
ἐρεθιστικῶν, γίνωσκε ὅτι κομψῶς σοί ἐστι. σήμερον
καλὸν ἰδὼν ἢ καλήν, οὐκ εἶπον αὐτὸς ἐμαυτῷ,
ὅτι ὄφελόν τις μετὰ ταύτης ἐκοιμήθη. καὶ μακά-
ριος ὁ ἀνὴρ αὐτῆς. ὁ γὰρ τοῦτ' εἰπών, μακάριος
καὶ ὁ μοιχός. οὐδὲ τὰ ἑξῆς ἀναζωγραφῶ, πα-
ροῦσαν αὐτὴν καὶ ἀποδυομένην καὶ παρακατα-
κλινομένην. καταψῶ τὴν κορυφήν μου καὶ λέ-
Ε γω. εὖ ἐπίκτητε. κομψὸν σοφισμάτιον ἔλυσας, πολ-
λῷ κομψότερον τοῦ κυριεύοντος. ἂν δὲ καὶ βου-
λομένου τοῦ γυναικαρίου καὶ νεύοντος καὶ προσ-
πέμποντος, ἂν δὲ καὶ ἁπτομένου καὶ συνεγγίζον-
τος ἀπόσχωμαι καὶ νικήσω, τοῦτο μὲν ἤδη τὸ σό-
φισμα, ὑπὲρ τὸν ψευδόμενον. ὑπὲρ τὸν ἡσυχάζον-
τα. ἐπὶ τούτῳ καὶ μέγα φρονεῖν ἄξιον. οὐκ ἐπὶ
τῷ τὸν κυριεύοντα ἐρωτῆσαι. πῶς οὖν γένηται τοῦ-
το. θέλησον ἀρέσαι αὐτός ποτε σεαυτῷ. θέλησον
καλὸς φανῆναι τῷ θεῷ. ἐπιθύμησον καθαρὸς



μετὰ καθαροῦ σαυτοῦ γενέσθαι, καὶ μετὰ τοῦ 227 3 P
θεοῦ. εἶθ' ὅταν προσπίπτῃ σοί τις φαντασία τοιαύ-
Π τη, πλάτων μέν φησιν ἴθι ἐπὶ τὰς ἀποδιοπομπήσεις. Plato
ἴθι ἐπὶ θεῶν ἀποτροπαίων ἱερὰ ἱκέτης. ἀρκεῖ
κἂν ἐπὶ τὰς τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν συ-
νουσίας ἀποχωρήσας, πρὸς τοῦτο γίνῃ ἀντεξε-
τάζων, ἄν τε τῶν ζώντων τινὰ ἔχῃς, ἄν τε τῶν ἀ-
Σ ποθανόντων. ἄπελθε πρὸς σωκράτη, καὶ ἴδε αὐτὸν Socrates
Α συγκατακείμενον ἀλκιβιάδῃ, καὶ διαπαίζοντα Alcibiades
αὐτοῦ τὴν ὥραν. ἐνθυμήθητι οἵαν νίκην ποτὲ ἔγνω
ἐκεῖνος, νενικηκότα ἑαυτόν. οἷα ὀλύμπια. πό- πόστος
στος ἀφ' ἡρακλέους ἐγένετο. ἵνα τις νὴ τοὺς θε- Η
οὺς δικαίως ἀσπάζηται αὐτόν. χαῖρε παράδο-
ξε. οὐχὶ τοὺς σαπροὺς τούτους πύκτας καὶ παγ-
κρατιαστάς. οὐδὲ τοὺς ὁμοίους αὐτοῖς τοὺς μο-
νομάχους. ταῦτα ἀντιθεὶς, νικήσεις τὴν φαν-
τασίαν. οὐχ ἑλκυσθήσῃ ὑπ' αὐτῆς. τὸ πρῶτον δ'
ὑπὸ τῆς ὀξύτητος μὴ συναρπασθῇς. ἀλλ' εἰπέ.
ἔκδεξαί με μικρὸν φαντασία. ἄφες ἴδω τίς εἶ
καὶ περὶ τίνος. ἄφες σε δοκιμάσω. καὶ τὸ λοι-
πὸν μὴ ἐφῇς αὐτῇ προάγειν ἀναζωγραφούσῃ
τὰ ἑξῆς. εἰ δὲ μή, οἴχεταί σε ἔχουσα ὅπου ἂν 228
θέλῃ. ἀλλὰ μᾶλλον ἄλλην τινὰ ἀντεισάγα-
γε καλὴν καὶ γενναίαν φαντασίαν. καὶ ταύ- 4 P
την τὴν ῥυπαρὰν ἔκβαλε. κἂν ἐθισθῇς οὕτω
γυμνάζεσθαι, ὄψει οἷοι ὦμοι γίνονται. οἷα



ἀποτρόπαιοι
θεοί.

νῦν δὲ μόνον τὰ λογάρια, καὶ πλέον οὐδέν. οὗτός ἐστιν ὁ ταῖς ἀληθείαις ἀσκητὴς ὁ πρὸς τὰς τοιαύτας φαντασίας γυμνάζων ἑαυτόν. μεῖνον τάλας, μὴ συναρπασθῇς. μέγας ὁ ἀγών ἐστι. θεῖον τὸ ἔργον. ὑπὲρ βασιλείας. ὑπὲρ ἐλευθερίας. ὑπὲρ εὐροίας. ὑπὲρ ἀταραξίας. τοῦ θεοῦ μέμνησο. ἐκεῖνον ἐπικαλοῦ βοηθὸν καὶ παραστάτην, ὡς τοὺς Διοσκόρους ἐν χειμῶνι οἱ πλέοντες. ποῖος γὰρ μείζων χειμὼν, ἢ ὁ ἐκ φαντασιῶν ἰσχυρῶν καὶ ἐκκρουστικῶν τοῦ λόγου. αὐτὸς γὰρ ὁ χειμὼν, τί ἄλλο ἐστὶν, ἢ φαντασία. ἐπεί τοι ἆρον τὸν φόβον τοῦ θανάτου. καὶ φέρε ὅσας θέλεις βροντὰς καὶ ἀστραπὰς, καὶ γνώσῃ ὅση γαλήνη ἐστὶν ἐν τῷ ἡγεμονικῷ καὶ εὐδία. ἂν δ' ἅπαξ ἡττηθεὶς εἴπῃς ὅτι ὕστερον νικήσεις, εἶτα πάλιν τὸ αὐτὸ, ἴσθι ὅτι οὕτω ποθ' ἕξεις κακῶς καὶ ἀσθενῶς, ὥστε μὴ δ' ἐφιστάνειν ὕστερον ὅτι ἁμαρτάνεις. ἀλλὰ καὶ ἀπολογίας ἄρξῃ ποιεῖσθαι ὑπὲρ τοῦ πράγματος. καὶ τότε βεβαιώσεις τὸ τοῦ Ἡσιόδου ὅτι ἀληθές ἐστιν. αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.

## Πρὸς τοὺς μέχρι λόγου μόνον ἀναλαμβάνοντας τὰ τῶν φιλοσόφων. ιθ'.

Ὁ κυριεύων λόγος, ἀπὸ τοιούτων τινῶν ἀφορμῶν ἠρωτῆσθαι φαίνεται. κοινῆς γὰρ οὔσης μάχης τοῖς τρισὶ τούτοις πρὸς ἄλληλα, τῷ τὸ πᾶν παρεληλυθὸς ἀληθὲς ἀναγκαῖον εἶναι, καὶ τῷ δυνατῷ ἀδύνατον μὴ ἀκολουθεῖν. καὶ τῷ μὴ δυνατὸν εἶναι ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται. συνιδὼν τὴν μάχην ταύτην ὁ Διόδωρος, τῇ τῶν πρώτων δυεῖν πιθανότητι, συνεχρήσατο πρὸς παράστασιν τοῦ μηδὲν εἶναι δυνατὸν, ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται. λοιπὸν ὁ μέν τις ταῦτα τηρήσει τῶν δυεῖν ὅτι ἔστι τέ τι δυνατὸν, ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται. καὶ δυνατῷ ἀδύνατον οὐκ ἀκολουθεῖ. οὐ πᾶν δὲ παρεληλυθὸς ἀληθὲς ἀναγκαῖόν ἐστι. καθάπερ οἱ περὶ Κλεάνθην φέρεσθαι δοκοῦσιν. οἷς ἐπὶ πολὺ συνηγόρησεν Ἀντίπατρος. οἱ δὲ τ' ἄλλα δύο ὅτι δυνατόν τ' ἐστὶν ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται. καὶ πᾶν παρεληλυθὸς ἀληθὲς ἀναγκαῖόν ἐστιν. δυνατῷ δ' ἀδύνατον ἀκολουθεῖ. τὰ τρία δ' ἐκεῖνα τηρῆσαι ἀμήχανον διὰ τὸ κοινὴν εἶναι αὐτῶν μάχην. ἂν οὖν τίς μου πύθηται, σὺ δὲ ποῖα αὐτῶν τηρεῖς; ἀποκρινοῦμαι πρὸς αὐτὸν ὅτι οὐκ οἶδα. παρείληφα δ' ἱστορίαν τοιαύτην, ὅτι Διόδωρος μὲν ἐκεῖνα ἐτήρει. οἱ δὲ περὶ Πανθοίδην οἶμαι καὶ Κλεάνθην, τὰ ἄλλα. οἱ δὲ περὶ Χρύσιππον, τὰ ἄλλα. σὺ οὖν τί. οὐδὲ γέγονα πρὸς τούτῳ τῷ βασανίσαι τὴν ἐμαυτοῦ φαντασίαν, καὶ συγκρῖναι τὰ λεγόμενα. καὶ δόγμα τι ἐμαυτοῦ ποιήσασθαι κατὰ τὸν τόπον. διὰ τοῦτο οὐδὲν διαφέρω τοῦ γραμματικοῦ. τίς ἦν ὁ τοῦ Ἕκτορος πατὴρ; Πρίαμος. τίνες ἀδελφοί;

Ἀλέξανδρος καὶ Δηΐφοβος. μήτηρ δ' αὐτῶν τίς. Ἑκάβη. παρείληφα ταύτην τὴν ἱστορίαν. παρὰ τίνος. παρ' Ὁμήρου. γράφει δὲ περὶ τῶν αὐτῶν δοκῶ καὶ Ἑλλάνικος. καὶ εἴ τις ἄλλος τοιοῦτος. κἀγὼ περὶ τοῦ κυριεύοντος τί ἄλλο ἔχω ἀνωτέρω. ἀλλ' ἂν ὦ κενὸς μάλιστα ἐπὶ συμποσίῳ, καταπλήσομαι τοὺς παρόντας. ἐξαριθμούμενος τοὺς γεγραφότας. γέγραφε δὲ καὶ Χρύσιππος θαυμαστῶς ἐν τῷ πρώτῳ περὶ δυνατῶν. καὶ Κλεάνθης δ' ἰδίᾳ γέγραφε περὶ τούτου. καὶ Ἀρχέδημος. γέγραφε δὲ καὶ Ἀντίπατρος. οὐ μόνον δ' ἐν τοῖς περὶ δυνατῶν, ἀλλὰ καὶ κατ' ἰδίαν ἐν τοῖς περὶ τοῦ κυριεύοντος. οὐκ ἀνέγνωκας τὴν σύνταξιν; οὐκ ἀνέγνωκα. ἀνάγνωθι. καὶ τί ὠφεληθήσεται; φλυαρότερος ἔσται καὶ ἀκαιρότερος, ἢ νῦν ἐστι. σοὶ γὰρ τί ἄλλο προσγέγονεν ἀναγνόντι. ποῖον δόγμα πεποίησαι κατὰ τὸν τόπον. ἀλλ' ἐρεῖς ἡμῖν Ἑλένην καὶ Πρίαμον. καὶ τὴν τῆς Καλυψοῦς νῆσον, τὴν οὔτε γενομένην οὔτ' ἐσομένην. καὶ ἐνταῦθα μὲν οὐδὲν μέγα, τῆς ἱστορίας κρατεῖν. ἴδιον δὲ δόγμα μηδὲν πεποιῆσθαι. ἐπὶ τῶν ἠθικῶν δὲ πάσχομεν αὐτὸ πολὺ μᾶλλον, ἢ ἐπὶ τούτων. εἰπέ μοι περὶ ἀγαθῶν καὶ κακῶν. ἄκουε. Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν. τῶν ὄντων τὰ μέν ἐστιν ἀγαθά. τὰ δὲ, κακά. τὰ δ' ἀδιάφορα. ἀγαθὰ μὲν οὖν αἱ ἀρεταὶ καὶ τὰ μετέχοντα αὐτῶν. κακὰ δὲ κακίαι, καὶ τὰ μετέχοντα κακίας.



ἀδιάφορα δὲ, τὰ μεταξὺ τούτων. πλοῦτος. ὑγίεια. ζωή. θάνατος. ἡδονή. πόνος. πόθεν οἶδας; Ἑλλάνικος λέγει ἐν τοῖς Αἰγυπτιακοῖς. τί γὰρ διαφέρει τοῦτο εἰπεῖν, ἢ ὅτι Διογένης ἐν τῇ ἠθικῇ, ἢ Χρύσιππος, ἢ Κλεάνθης. βεβασάνικας οὖν τι αὐτῶν καὶ δόγμα σεαυτοῦ πεποίησαι; δείκνυε πῶς εἴωθας ἐν πλοίῳ χειμάζεσθαι. μέμνησαι ταύτης τῆς διαιρέσεως. ὅταν ψοφήσῃ τὸ ἱστίον καὶ ἀνακραυγάσαντί σοι κακόσχολος παραστὰς εἴπῃ. λέγε μοι τοὺς θεοὺς ἃ πρῴην ἔλεγες, μή τι κακίας ἐστὶ τὸ ναυαγῆσαι; μή τι κακίας μετέχον; οὐκ ἄρας ξύλον ἐνσείσεις αὐτῷ. τί ἡμῖν καὶ σοὶ ἄνθρωπε. ἀπολλύμεθα. καὶ σὺ θέλων παίζεις. ἂν δέ σε Καῖσαρ μεταπέμψηται κατηγορούμενον, μέμνησαι τῆς διαιρέσεως. ἄν τις σοι εἰσιόντι καὶ ὠχριῶντι ἅμα καὶ τρέμοντι, προσελθὼν εἴπῃ, τί τρέμεις ἄνθρωπε. περὶ τίνων σοι ἐστὶν ὁ λόγος. μή τι ἔσω ὁ Καῖσαρ ἀρετὴν καὶ κακίαν τοῖς εἰσερχομένοις δίδωσι. τί μοι ἐμπαίζεις καὶ σὺ πρὸς τοῖς ἐμοῖς κακοῖς. ὅμως φιλόσοφε εἰπέ μοι τί τρέμεις. οὐχὶ θάνατός ἐστι τὸ κινδυνευόμενον, ἢ δεσμωτήριον, ἢ πόνος τοῦ σώματος, ἢ φυγή, ἢ ἀδοξία; τί γὰρ ἄλλο. μή τι κακία; μή τι μέτοχον κακίας; σὺ οὖν τίνα ταῦτα ἔλεγες. τί ἐμοὶ καὶ σοὶ ἄνθρωπε. ἀρκεῖ ἐμοὶ τὰ ἐμὰ κακά. καὶ καλῶς λέγεις. ἀρκεῖ γάρ σοι τὰ σὰ κακά. ἡ ἀγέννεια. ἡ δειλία. ἡ ἀλαζονεία ἣν ἀλαζονεύου ἐν τῇ

σχολῇ καθήμενος. τί τοῖς ἀλλοτρίοις ἐγκαλλωπίζεσθε;
τί Στωικὸν ἐλέγετε σεαυτόν; τηρεῖτε οὕτως ἑαυτοὺς
ἐν οἷς ἐπράσσετε, καὶ εὑρήσετε τίνος ἐστὲ αἱρέσεως.
233 τοὺς πλείστους ὑμῶν Ἐπικουρείους εὑρήσετε. ὀλί-
9 P γους τινὰς περιπατητικούς, καὶ τούτους ἐκλελυμέ-
νους. ποῦ γὰρ ἵν᾽ ὑμεῖς τὴν ἀρετὴν πᾶσι τοῖς ἄλ-
λοις ἴσην ἢ καὶ κρείττονα ἔργῳ ὑπολάβητε. Στωϊ-
κὸν δὲ δείξατέ μοι εἴ τινα ἔχετε. ποῦ ἢ πῶς. ἀλλὰ
τὰ λογάρια τὰ Στωϊκὰ λέγοντας μυρίους. τὰ γὰρ
Ἐπικούρεια αὐτοὶ οὗτοι λέγουσι. τὰ γὰρ περιπατη-
τικὰ οὐκ αὐτὰ ὁμοίως ἀκριβοῦσι; τίς οὖν ἐστι Στωϊ-
κὸς ὡς λέγομεν ἀνδριάντα φειδιακὸν τὸν τετυ-
Phidias πωμένον κατὰ τὴν τέχνην τὴν φειδίου. οὕτω Φ
τινά μοι δείξατε κατὰ τὰ δόγματα ἃ λαλεῖ τε-
τυπωμένον. δείξατέ μοι τινὰ νοσοῦντα καὶ εὐτυ-
χοῦντα. κινδυνεύοντα καὶ εὐτυχοῦντα. ἀποθνή-
σκοντα καὶ εὐτυχοῦντα. πεφυγαδευμένον καὶ εὐ-
τυχοῦντα. ἀδοξοῦντα καὶ εὐτυχοῦντα. δείξατε.
ἐπιθυμῶ τινα νὴ τοὺς θεοὺς ἰδεῖν Στωϊκόν. ἀλλ᾽ οὐκ
ἔχετε τὸν τετυπωμένον δεῖξαι; τόν γε τυπούμενον
δείξατε. τὸν ἐπὶ ταῦτα κεκλικότα. εὐεργετήσατέ
με. μὴ φθονήσητε ἀνθρώπῳ γέροντι, ἰδεῖν θέαμα
ὃ μέχρι νῦν οὐκ εἶδον. οἴεσθε ὅτι τὸν Δία τὸν φει- ΔΦ
Minerua δίου δείξετε ἢ τὴν Ἀθηνᾶν, ἐλεφάντινον καὶ χρυ- Α
phidia σοῦν κατασκεύασμα; ψυχὴν δειξάτω τις ὑμῶν
ἀνθρώπου, θέλοντος ὁμογνωμονῆσαι τῷ θεῷ. καὶ



μηκέτι μήτε θεὸν μήτ᾽ ἄνθρωπον μέμφεσθαι. μὴ 10 P
ἀποτυχεῖν τινός, μὴ περιπεσεῖν τινί. μὴ ὀργισθῆ-
ναι. μὴ φθονῆσαι. μὴ ζηλοτυπῆσαι. τί γὰρ δεῖ πε-
ριπλέκειν. θεὸν ἐξ ἀνθρώπου ἐπιθυμοῦντα γενέ-
σθαι. καὶ ἐν τῷ σωματίῳ τούτῳ τῷ νεκρῷ, περὶ τῆς
πρὸς τὸν Δία κοινωνίας βουλευόμενον. δείξατε. Δ
ἀλλ᾽ οὐκ ἔχετε. τί οὖν αὑτοῖς ἐμπαίζετε, καὶ τοὺς
ἄλλους κυβεύετε. καὶ περιθέμενοι σχῆμα ἀλλό-
τριον, περιπατεῖτε κλέπται καὶ λωποδύται τού-
των τῶν οὐδὲν προσηκόντων ὀνομάτων καὶ πραγ-
μάτων. καὶ νῦν ἐγὼ μὲν παιδευτής εἰμι ὑμέτερος.
ὑμεῖς δὲ παρ᾽ ἐμοὶ παιδεύεσθε. κἀγὼ μὲν ἔχω ταύ-
την ἐπιβολὴν ἀποτελέσαι ὑμᾶς, ἀκωλύτους. ἀνα-
γκάστους. ἀπαραποδίστους. ἐλευθέρους. εὐροοῦ-
ντας. εὐδαιμονοῦντας. εἰς τὸν θεὸν ἀφορῶντας ἐν
παντὶ μικρῷ καὶ μεγάλῳ. ὑμεῖς δὲ ταῦτα μαθη-
σόμενοι καὶ μελετήσοντες πάρεστε. διατί οὖν οὐκ
ἀνύετε τὸ ἔργον. εἰ καὶ ὑμεῖς ἔχετε τὴν ἐπιβολὴν οἵαν
δεῖ, κἀγὼ πρὸς τῇ ἐπιβολῇ καὶ παρασκευὴν οἵαν
δεῖ. τί τὸ λεῖπόν ἐστιν. ὅταν ἴδω τέκτονα, ὅταν ὕλη
παρέστι παρακειμένη, ἐκδέχομαι τὸ ἔργον. καὶ ἐν-
θάδε τοίνυν ὁ τέκτων ἐστί, ἡ ὕλη ἐστί, τί ἡμῖν λεί- 235
πει. οὐκ ἔστι διδακτὸν τὸ πρᾶγμα; διδακτόν. οὐκ 11 P
ἔστιν οὖν ἐφ᾽ ἡμῖν; μόνον μὲν οὖν τῶν ἄλλων πάν-
των. οὔτε πλοῦτός ἐστιν ἐφ᾽ ἡμῖν, οὔθ᾽ ὑγίεια, οὔτε
δόξα, οὔτε ἄλλο τι ἁπλῶς, πλὴν ὀρθῆς χρήσεως

φαντασιῶν, τὸ ἀκώλυτον φύσει μόνον. τοῦτο ἀνεμπόδιστον. διατί οὖν οὐκ ἀνύεται. ἢ παρ' ὑμᾶς, ἢ παρὰ τὴν φύσιν τοῦ πράγματος. αὐτὸ τὸ πρᾶγμα ἐνδεχόμενον καὶ μόνον ἐφ' ἡμῖν. λοιπὸν οὖν ἢ παρ' ἐμέ ἐστιν ἢ παρ' ὑμᾶς, ἢ ὅπερ ἀληθέστερον, παρ' ἀμφοτέροις. τί οὖν θέλετε. ἀρξώμεθά ποτε τοιαύτην ἐπιβολὴν κομίζειν ἐνταῦθα. τὰ μέχρι νῦν ἀφῶμεν. ἀρξώμεθα. μόνον πιστεύσατέ μοι καὶ ὄψεσθε.

## Πρὸς ἐπικουρείους καὶ ἀκαδημαϊκούς. κʹ.

Τοῖς ὑγιέσι καὶ ἐναργέσιν ἐξ ἀνάγκης καὶ οἱ ἀντιλέγοντες προσχρῶνται. καὶ σχεδὸν τοῦτο μέγιστον ἄν τις ποιήσαιτο τεκμήριον τοῦ ἐναργές τι εἶναι τὸ ἐπάναγκες εὑρίσκεσθαι καὶ τῷ ἀντιλέγοντι, συγχρήσασθαι αὐτῷ. οἷον εἴ τις ἀντιλέγοι τῷ εἶναί τι καθολικὸν ἀληθές, δῆλον ὅτι τὴν ἐναντίαν ἀπόφασιν οὗτος ὀφείλει ποιήσασθαι. οὐδέν ἐστι καθολικὸν ἀληθές. ἀνδράποδον. οὐδὲ τοῦτο. τί γὰρ ἄλλο ἐστὶ τοῦτο, ἢ οἷον εἴ τι ἔστι καθολικόν, ψευδές ἐστι. πάλιν ἄν τις παρελθὼν λέγῃ, γίνωσκε ὅτι οὐδέν ἐστι γνωστόν, ἀλλὰ πάντα ἀτέκμαρτα. ἢ ἄλλος, ὅτι πίστευσόν μοι καὶ ὠφεληθήσῃ, οὐδὲν δεῖ ἀνθρώπῳ πιστεύειν. ἢ πάλιν ἄλλος, μάθε παρ' ἐμοῦ ἄνθρωπε ὅτι οὐδὲν ἐνδέχεται μαθεῖν. ἐγὼ



σοι λέγω τοῦτο καὶ διδάξω σε ἐὰν θέλῃς. τίνι οὖν τούτων διαφέρουσιν οὗτοι. τίνων ποτέ. οἱ ἀκαδημαϊκοὺς αὑτοὺς λέγοντες ὦ ἄνθρωποι. συγκατάθεσθε, ὅτι οὐδεὶς συγκατατίθεται. πιστεύσατε ἡμῖν ὅτι οὐδεὶς πιστεύει οὐδενί. οὕτω καὶ ἐπίκουρος. ὅταν ἀναιρεῖν θέλῃ τὴν φυσικὴν κοινωνίαν ~~αὐτοῖς~~ πρὸς ἀλλήλους, αὐτῷ τῷ ἀναιρουμένῳ συγχρῆται. τί γὰρ λέγει. μὴ ἐξαπατᾶσθε ~~ἄνθρωποι~~, μὴ δὲ παράγεσθε, μὴ δὲ διαπίπτετε. οὐκ ἔστι φυσικὴ κοινωνία τοῖς λογικοῖς πρὸς ἀλλήλους. πιστεύσατέ μοι. οἱ δὲ τὰ ἕτερα λέγοντες, ἐξαπατῶσιν ὑμᾶς καὶ παραλογίζονται. τί οὖν σοι μέλει. ἄφες ἡμᾶς ἐξαπατηθῆναι. μή τι χεῖρον ἀπαλλάξεις; ἂν πάντες οἱ ἄλλοι πεισθῶμεν ὅτι φυσικὴ ἐστὶν ἡμῖν κοινωνία πρὸς ἀλλήλους. καὶ ταύτην δεῖ παντὶ τρόπῳ φυλάσσειν. καὶ πολὺ κρεῖσσον καὶ ἀσφαλέστερον. ἄνθρωπε τί ὑπὲρ ἡμῶν φροντίζεις; τί δι' ἡμᾶς ἀγρυπνεῖς; τί λύχνον ἅπτεις; τί ἐπανίστασαι; τί τηλικαῦτα βιβλία συγγράφεις; μή τις ἡμῶν ἐξαπατηθῇ περὶ θεῶν, ὡς ἐπιμελουμένων ~~αὐτῶν~~. ἢ μή τις ἄλλην οὐσίαν ὑπολάβῃ τοῦ ἀγαθοῦ, ἢ ἡδονήν. εἰ γὰρ οὕτω ταῦτα ἔχει, βαλὼν κάθευδε. καὶ τὰ τοῦ σκώληκος ποίει. ὧν ἄξιον ἔκρινας σεαυτόν. ἔσθιε. καὶ πίνε. καὶ συνουσίαζε. καὶ ἀφόδευε. καὶ ῥέγκε. τί δέ σοι μέλει πῶς οἱ ἄλλοι ὑπολήψονται περὶ τούτων. πότερον ὑγιῶς ἢ οὐχ ὑγιῶς. τί γάρ σοι καὶ ἡμῖν. τῶν γὰρ προβάτων σοι μέλει,

ὅτι παρέχει ἡ μὲν αὐτὰ καρπωσόμενα καὶ ἀμελχθησόμενα, καὶ τὸ τελευταῖον κατακοπησόμενα. οὐχὶ δ' εὐκταῖον ἦν εἰ ἐδύναντο οἱ ἄνθρωποι κατακηληθέντες καὶ ἐπεισθέντες ὑπὸ τῶν στωϊκῶν, ἀπονυστάζειν καὶ παρέχειν σοι, καὶ τοῖς ὁμοίοις καρπωσομένοις καὶ ἀμελχθησομένοις ἑαυτούς; πρὸς γὰρ τοὺς συνεπικουρείους ἔδει ταῦτα λέγειν. οὐχὶ δὲ πρὸς ἐκείνους ἀποκρύπτεσθαι. πολὺ μάλιστ' ἐκείνοις πρὸ πάντων ἀναπείθειν ὅτι φύσει κοινωνικοὶ γεγόναμεν. ὅτι ἀγαθὸν ἡ ἐγκράτεια. ἵνα σοι πάντα τηρῆται. ἢ πρός τινας μὲν δεῖ φυλάττειν ταύτην τὴν κοινωνίαν, πρός τινας δ' οὔ; πρὸς τίνας οὖν δεῖ τηρεῖν, πρὸς τοὺς ἀντιτηροῦντας, ἢ πρὸς τοὺς παραβατικῶς αὐτὴν ἔχοντας. καὶ τίνες παραβατικώτερον αὐτῆς ἔχουσιν ὑμῶν τῶν ταῦτα διειληφότων. τί οὖν ἦν τὸ ἐγεῖρον αὐτὸν ἐκ τῶν ὕπνων. καὶ ἀναγκάζον γράφειν ἃ ἔγραφε; τί γὰρ ἄλλο, ἢ τὸ πάντων τῶν ἐν ἀνθρώποις ἰσχυρότατον, ἡ φύσις ἕλκουσα ἐπὶ τὸ αὐτῆς βούλημα. ἄκοντα, καὶ στένοντα. ὅτι γὰρ δοκεῖ σοι ταῦτα τὰ ἀκοινώνητα, γράψον αὐτὰ καὶ ἄλλοις ἀπόλιπε, καὶ ἀγρύπνησον δι' αὐτά. καὶ αὐτὸς ἔργῳ κατήγορος γενοῦ τῶν σαυτοῦ δογμάτων. εἶτα Ὀρέστην μὲν ὑπὸ Ἐριννύων ἐλαυνόμενον φῶμεν ἐκ τῶν ὕπνων ἐξεγείρεσθαι, τοῦτον δ' οὐ χαλεπώτεραι αἱ Ἐριννύες καὶ ποιναὶ ἐξήγειρον καθεύδοντα καὶ οὐκ εἴων ἠρεμεῖν; ἀλλ' ἠνάγκαζον ἐξαγγέλλειν τὰ αὐτοῦ κακὰ ὥσπερ τοὺς Γάλλους ἡ μανία καὶ ὁ οἶνος; οὕτως ἰσχυρόν τι καὶ ἀνίκητόν ἐστιν ἡ φύσις ἡ ἀνθρωπίνη. πῶς γὰρ δύναται ἄμπελος μὴ ἀμπελικῶς κινεῖσθαι, ἀλλ' ἐλαϊκῶς. ἡ ἐλαία πάλιν μὴ ἐλαϊκῶς, ἀλλ' ἀμπελικῶς. ἀμήχανον. ἀδιανόητον. οὐ τοίνυν οὐδ' ἄνθρωπον οἷόν τε παντελῶς ἀπολέσαι τὰς κινήσεις τὰς ἀνθρωπικάς. καὶ οἱ ἀποκοπτόμενοι τάς γε προθυμίας τὰς τῶν ἀνδρῶν ἀποκόψασθαι οὐ δύνανται. οὕτω καὶ Ἐπίκουρος τὰ μὲν ἀνδρὸς πάντ' ἀπεκόψατο καὶ τὰ οἰκοδεσπότου, καὶ πολίτου καὶ φίλου. τὰς δὲ προθυμίας τὰς ἀνθρωπικὰς οὐκ ἀπεκόψατο. οὐ γὰρ ἠδύνατο. οὐ μᾶλλον ἢ οἱ ἀπελεύθεροι ἀκαδημαϊκοὶ τὰς αἰσθήσεις τὰς αὐτῶν ἀποβαλεῖν ἢ ἀποτυφλῶσαι δύνανται. καίτοι τοῦτο μάλιστα πάντων ἐσπουδακότες. τίς ἡ ἀτυχία. λαβών τις παρὰ τῆς φύσεως μέτρα καὶ κανόνας εἰς ἐπίγνωσιν τῆς ἀληθείας, οὐ προσφιλοτεχνεῖ τούτοις προσθεῖναι καὶ προσεργάσασθαι τὰ λείποντα, ἀλλὰ πᾶν τοὐναντίον. εἴ τι καὶ ἔχει γνωστικὸν τῆς ἀληθείας, ἐξαιρεῖν πειρᾶται καὶ ἀπολλύειν. τί λέγεις φιλόσοφε. τὸ εὐσεβὲς καὶ τὸ ὅσιον, ποῖόν τί σοι φαίνεται; ἂν θέλῃς κατασκευάσω, ὅτι ἀγαθόν. ναί. κατασκεύασον ἵν' οἱ πολῖται ἡμῶν ἐπιστραφέντες τιμῶσι τὸ θεῖον. καὶ παύσωνταί ποτε ῥαθυμοῦντες περὶ τὰ μέγιστα. ἔχεις οὖν τὰς

καὶ πῶς ἐπιστεύσατε; ἔχω καὶ χαίρειν οἶδα. ἐπεὶ οὖν ταῦ
τά σοι λίαν ἀρέσκει, λάβε τὰ ἐναντία· ὅτι θεοὶ
οὔτ' εἰσὶν, εἴτε καὶ εἰσὶν, οὐκ ἐπιμελοῦνται ἀνθρώ
πων. οὐδὲ κοινόν τι ἡμῖν ἐστὶ πρὸς αὐτούς. τὸ τ' εὐσε
βὲς τοῦτο καὶ ὅσιον παρὰ τοῖς πολλοῖς ἀνθρώποις
λαλούμενον, κατάψευσμά ἐστιν ἀλαζόνων ἀνθρώπων
καὶ σοφιστῶν, ἢ νὴ δία νομοθετῶν, εἰς φόβον καὶ
ἐπίσχεσιν τῶν ἀδικούντων. εὖ φιλόσοφε ὠφέλη
σας ἡμῶν τοὺς πολίτας. ἀνεκτήσω τοὺς νέους ἀπο
κλίναντας ἤδη πρὸς καταφρόνησιν τῶν θείων. τί οὖν;
οὐκ ἀρέσκει σοι ταῦτα; λάβε νῦν πῶς ἡ δικαιοσύ
νη οὐδέν ἐστι. πῶς ἡ αἰδὼς μωρία ἐστί; πῶς πατὴρ οὐ
δέν ἐστι; πῶς ὁ υἱὸς οὐδέν ἐστιν; εὖ φιλόσοφε. ἐπίμενε,
πεῖθε τοὺς νέους, ἵνα πλείονας ἔχωμεν ταὐτά σοι
πεπονθότας, καὶ λέγοντας. ἐκ τούτων τῶν λόγων
ηὐξήθησαν ἡμῖν αἱ εὐνομούμεναι πόλεις. λακεδαιμό
νιοι διὰ τούτους τοὺς λόγους ἐγένετο. λυκοῦργος
ταῦτα τὰ πείσματα ἐνεποίησεν αὐτοῖς διὰ τῶν
νόμων αὐτοῦ καὶ τῆς παιδείας. ὅτι οὔτε τὸ δουλεύειν
αἰσχρόν ἐστι μᾶλλον ἢ καλὸν, οὔτε τὸ ἐλευθέροις
εἶναι, καλὸν μᾶλλον ἢ αἰσχρόν. οἱ ἐν θερμοπύ
λαις ἀποθανόντες, διὰ ταῦτα τὰ δόγματα ἀπέ
θανον. ἀθηναῖοι δὲ τὴν πόλιν διὰ ποίους ἄλλους
λόγους ἀπέλιπον. εἶτα οἱ λέγοντες ταῦτα, γαμοῦσι
καὶ παιδοποιοῦνται, καὶ πολιτεύονται, καὶ ἱε
ρεῖς καθιστᾶσιν αὐτοῖς καὶ προφήτας, τίνων. τῶν



οὐκ ὄντων. καὶ τὴν πυθίαν ἀνακρίνουσιν αὐτοί, ἵνα
τὰ ψευδῆ πύθωνται. καὶ ἄλλοις τοὺς χρησμοὺς
ἐξηγοῦνται. ὢ μεγάλης ἀναισχυντίας καὶ γοη
τείας. ἄνθρωπε τί ποιεῖς. αὐτὸς ἑαυτὸν ἐξελέγχεις
καθημέραν, καὶ οὐ θέλεις ἀφεῖναι τὰ ψυχρὰ ταῦ
τα ἐπιχειρήματα; ἐσθίων ποῦ φέρεις τὴν χεῖρα, εἰς
τὸ στόμα, ἢ εἰς τὸν ὀφθαλμόν; λουόμενος ποῦ ἐμβαί
νεις. πότε τὴν χύτραν εἶπες λοπάδα, ἢ τὴν τορύνην.
ὠφελι[illegible] τινος αὐτῶν δοῦλος ἤμην, εἰ καὶ ἔδει
με [illegible] ὑπ' αὐτοῦ ἐκδέρεσθαι, ἐγὼ ἂν
ἐστρέβλουν αὐτόν. βάλε ἐλάδιον παιδάριον εἰς τὸ
βαλανεῖον. ἔβαλον ἂν γάριον, καὶ ἀπελθὼν κατὰ
τῆς κεφαλῆς αὐτοῦ κατέχεον. τί τοῦτο. φαντασία
μοι ἐγένετο ἐλαίου ἀδιάκριτος ὁμοιοτάτη, νὴ τὴν
σὴν τύχην. δὸς ὧδε τὴν πτισάνην. ἤνεγκα ἂν αὐ
τῷ γεμίσας τρυβλίον ὀξογάρου. οὐκ ᾔτησα τὴν
πτισάνην; ναὶ κύριε. τοῦτο πτισάνη ἐστί; τοῦτο οὐκ
ἔστιν ὀξόγαρον; τί μᾶλλον ἢ πτισάνη. λάβε καὶ
ὀσφράνθητι. λάβε καὶ γεῦσαι. πόθεν οὖν οἶδας
εἰ αἱ αἰσθήσεις ἡμᾶς ψεύδονται. εἰ τρεῖς τέσσαρας
τῶν συνδούλων εἶχον ὁμονοοῦντας, ἀπάγξα
σθαι ἂν αὐτὸν ἐποίησα ῥηγνύμενον, ἢ μετανοῆσαι.
νῦν δ' ἐντρυφῶσιν ἡμῖν. τοῖς μὲν παρὰ τῆς φύ
σεως διδομένοις πᾶσι χρώμενοι, λόγῳ δ' αὐτὰ ἀ
ναιροῦντες. εὐχάριστοί γ' ἄνθρωποι καὶ αἰδήμονες.
εἰ μηδὲν ἄλλο, καθ' ἡμέραν ἄρτους ἐσθίοντες,

Δ τολμῶσι λέγειν ὅτι οὐκ οἴδαμεν εἰ ἔστι τις Δημή-
ΚΠ τηρ, ἢ Κόρη, ἢ Πλούτων. ἵνα μὴ λέγω νυκτὸς καὶ
ἡμέρας ἀπολαύοντες, καὶ μεταβολῶν τοῦ ἔτους,
καὶ ἄστρων, καὶ θαλάσσης, καὶ γῆς, καὶ τῆς παρὰ
ἀνθρώπων συνεργίας, ὑπ' οὐδενὸς τούτων οὐδὲ
κατὰ ποσὸν ἐπιστρέφονται. ἀλλὰ μόνον ἐξεμέ-
σαι τὸ προβλημάτιον ζητοῦσι. καὶ τὸν στόμαχον γυ-
μνάσαντες, ἀπελθεῖν ἐν βαλανείῳ. τί δ' ἐροῦσι, καὶ
περὶ τίνων, ἢ πρὸς τίνας, καὶ τί ἔσται αὐτοῖς ἐκ τῶν
λόγων τούτων, οὐδὲ κατὰ βραχὺ πεφροντίκασι.
μή τι νέος εὐγενὴς ἀκούσας τῶν λόγων τούτων,
πάθῃ τι ὑπ' αὐτῶν. ἢ καὶ παθὼν, πάντως ἀπολέ-
σῃ τὰ τῆς εὐγενείας σπέρματα. μή τινι μοιχεύον-
τι ἀφορμὰς παρέχωμεν τοῦ ἀπαναισχυντῆσαι,
πρὸς τὰ γινόμενα. μή τις τῶν νοσφιζομένων τὰ
δημόσια, εὑρεσιλογίας τινὸς ἐπιλάβηται ἀπὸ τῶν
243 λόγων τούτων. μή τις τῶν αὐτοῦ γονέων ἀμελῶν,
3 Q θράσους τι καὶ ἀπὸ τούτων προσλάβῃ. τί οὖν
κατὰ σὲ ἀγαθὸν, ἢ κακὸν, ἢ καλόν. ταῦτα ἢ ταῦ-
τα. τί ἔτι τούτων τις ἀντιλέγει τινὶ, ἢ λόγον δίδω-
σιν ἢ λαμβάνει, ἢ μεταπείθειν πειρᾶται. πο-
λὺ νὴ Δία μᾶλλον τοὺς κιναίδους ἐλπίσει τις
ἂν μεταπείσειν, ἢ τοὺς οὕτω τοσοῦτον ἀποκεκω-
φωμένους καὶ ἀποτετυφλωμένους, τῶν περὶ αὐ-
τοὺς κακῶν.

περὶ



## Περὶ ἀνομολογίας. κα'.

Τὰ μὲν ῥᾳδίως ὁμολογοῦσιν ἄνθρωποι, τὰ
δ' οὐ ῥᾳδίως. οὐδεὶς οὖν ὁμολογήσει, ὅτι
ἄφρων ἐστὶν ἢ ἀνόητος. ἀλλὰ πᾶν τοὐναντίον, πάν-
των ἀκούσεις λεγόντων, ὄφελον ὡς φρένας ἔχω,
οὕτω καὶ τύχην εἶχον. δειλοὺς δὲ ῥᾳδίως ἑαυτοὺς
ὁμολογοῦσι καὶ λέγουσιν. ἐγὼ δειλότερός εἰμι, ὁμο-
λογῶ, τὰ δ' ἄλλ' οὐχ εὑρήσεις μωρόν. ἄνθρωπον
ἀκρατῆ οὐ ῥᾳδίως ὁμολογήσει τις. ἄδικον οὐδ' ὅ-
λως. φθονερὸν οὐ πάνυ, ἢ περίεργον. ἐλεήμονα οἱ
πλεῖστοι. τί οὖν τὸ αἴτιον. τὸ μὲν κυριώτατον ἀνο- 244
μολογία καὶ ταραχὴ ἐν τοῖς περὶ ἀγαθῶν καὶ κα-
κῶν. ἄλλοις δ' ἄλλα αἴτια. καὶ σχεδὸν ὅσα ἂν αἰ- 4 Q
σχρὰ φαντάζωνται, ταῦτα οὐ πάνυ ὁμολογοῦσι. τὸ
δὲ δειλὸν εἶναι, εὐγνώμονος ἤθους φαντάζονται,
καὶ τὸ ἐλεήμονα. τὸ δ' ἠλίθιον εἶναι, παντελῶς ἀν-
δραπόδου. καὶ τὰ περὶ κοινωνίαν δὲ πλημμελή-
ματα, οὐ πάνυ προσίενται. ἐπὶ δὲ τῶν πλείστων
ἁμαρτημάτων κατὰ τοῦτο μάλιστα φέρονται,
ἐπὶ τὸ ὁμολογεῖν αὐτὰ, ὅτι φαντάζονταί τι ἐν
αὐτοῖς εἶναι ἀκούσιον. καθάπερ ἐν τῷ δειλῷ καὶ
ἐλεήμονι. κἂν ἀκρατῆ τι, ὃ παρομολογεῖ τις αὐ-
τοῦ ἔρωτα, προσέθηκεν ὥστε συγγνωσθῆναι ὡς ἐπ'
ἀκουσίῳ. τὸ δ' ἄδικον, οὐδαμῶς φαντάζονται. ἀ-
κούσιον ἔνι τι καὶ τῷ ζηλοτύπῳ, ὡς οἴονταί τε τοῦ ἀκου-

σιον. διὰ τοῦτο καὶ περὶ τούτου παρομολογοῦσιν. ἐν οὖν τοιούτοις ἀνθρώποις ἀναστρεφόμενον, οὕτω τεταραγμένοις, οὕτως οὐκ εἰδόσιν, οὔθ' ὅ, τι λέγουσιν, οὔθ' ὅ, τι ἔχουσι κακὸν ἢ οὐκ ἔχουσιν, ἢ παρά τι ἔχουσιν, ἢ πῶς παύσονται αὐτῶν, καὶ αὐτὸν εἶναί με ἐφιστάνειν ἄξιον συνεχῶς, μή που καὶ αὐτὸς εἷς εἰμι ἐκείνων. τίνα φαντασίαν ἔχω περὶ ἐμαυτοῦ, πῶς ἐμαυτῷ χρῶμαι, μή τι καὶ αὐτὸς ὡς φρονίμῳ; μή τι καὶ αὐτὸς ὡς ἐγκρατεῖ; μὴ καὶ αὐτὸς λέγω ποτὲ ταῦτα, ὅτι εἰς τὸ ἐπιὸν πεπαίδευμαι. ἔχω ἣν δεῖ συναίσθησιν, τὸ μηδὲν εἰδέναι, ὅτι οὐδὲν οἶδα. ἔρχομαι πρὸς τὸν διδάσκαλον, ὡς ἐπὶ τὰ χρηστήρια, πείθεσθαι παρεσκευασμένος. ἢ καὶ αὐτὸς κορύζης μεστὸς εἰς τὴν σχολὴν εἰσέρχομαι, μόνην τὴν ἱστορίαν μαθησόμενος, καὶ τὰ βιβλία νοήσων, ἃ πρότερον οὐκ ἐνόουν. ἂν δ' οὕτω τύχῃ, καὶ ἄλλοις ἐξηγησόμενος. ἄνθρωπε ἐν οἴκῳ διαπεπύκτευκας τῷ δουλαρίῳ. τὴν οἰκίαν ἀνάστατον πεποίηκας. τοὺς γείτονας συντετάραχας. καὶ ἔρχῃ μοι καταστολὰς ποιήσας ὡς σοφός; καὶ καθήμενος κρίνεις πῶς ἐξηγησάμην τὴν λέξιν; πῶς τί ποτ' ἐφλυάρησα τὰ ἐπελθόντα μοι; φθονῶν ἐλήλυθας, τεταπεινωμένος ὅτι σοι ἐξ οἴκου φέρεται οὐδέν. καὶ κάθῃ μεταξὺ λεγομένων τῶν λόγων, αὐτὸς οὐδὲν ἄλλο ἐνθυμούμενος, ἢ πῶς ὁ πατὴρ τὰ πρὸς σέ. ἢ πῶς ὁ ἀδελφός. τί λέγουσιν οἱ ἐκεῖ ἄνθρωποι

245

5 Q

κορύζης μεστός



περὶ ἐμοῦ. νῦν οἴονταί με προκόπτειν, καὶ λέγουσιν ὅτι ἥξει ἐκεῖνος πάντα εἰδώς. ἤθελόν πως ποτὲ πάντα μαθὼν ἐπελθεῖν. ἀλλὰ πολλοῦ πόνου χρεία. καὶ οὐδεὶς οὐδὲν πέμπει. καὶ ἐν Νικοπόλει σαπρῶς λούει τὰ βαλανεῖα. καὶ ἐν οἴκῳ κακῶς. καὶ ὧδε κακῶς. εἶτα λέγουσιν οὐδεὶς ὠφελεῖται ἐκ τῆς σχολῆς. τίς γὰρ ἔρχεται εἰς σχολήν, τίς γὰρ ὡς θεραπευθησόμενος, τίς ὡς παρέξων αὐτοῦ τὰ δόγματα ἐκκαθαρθησόμενα. τίς συναισθησόμενος τίνων δεῖται. τί οὖν θαυμάζετε, εἰ ἃ φέρετ' εἰς τὴν σχολήν, αὐτὰ ταῦτα ἀποφέρετε πάλιν. οὐ γὰρ ὡς ἀποθησόμενοι, ἢ ἐπανορθώσοντες, ἢ ἄλλ' ἀντ' αὐτῶν ληψόμενοι ἔρχεσθε. πόθεν. οὐδ' ἐγγύς. ἐκεῖνο γοῦν βλέπετε μᾶλλον, εἰ ἐφ' ὃ ἔρχεσθε, τοῦτο ὑμῖν γίνεται. θέλετε λαλεῖν περὶ τῶν θεωρημάτων. τί οὖν, οὐ φλυαρότεροι γίνεσθε; οὐχὶ δὲ παρέχει τινὰ ὕλην ὑμῖν πρὸς τὸ ἐπιδείκνυσθαι τὰ θεωρημάτια; συλλογισμοὺς ἀναλύετε μεταπίπτοντας. οὐκ ἐφοδεύετε ψευδομένου λήμματα, ὑποθετικούς; τί οὖν ἔτι ἀγανακτεῖτε, εἰ ἐφ' ἃ πάρεστε, ταῦτα λαμβάνετε. ναί. ἀλλ' ἂν ἀποθάνῃ μου τὸ παιδίον, ἢ ὁ ἀδελφός, ἢ ἐμὲ ἀποθνήσκειν δέῃ, ἢ στρεβλοῦσθαι, τί με ταῦτα ὠφελήσει. μὴ γὰρ ἐπὶ τοῦτο ἦλθες; μὴ γὰρ τούτου ἕνεκά μοι παρακάθησαι; μὴ γὰρ διὰ τοῦτο

N

246

6 Q



συλλογισμοὺς μεταπίπτοντας ἀναλύει

ποτε λύχνον ἧψας, ἢ ἠγρύπνησας, ἢ εἰς τὸν περίπατον ἐξελθὼν προέβαλές ποτε σαυτοῦ φαντασίαν τινὰ ἀντὶ συλλογισμοῦ, καὶ ταύτην κοινῇ ἐφωδεύσατε; ποῦ ποτε, εἶτα λέγετε ἄχρηστα τὰ θεωρήματα; τίσι; τοῖς οὐχ ὡς δεῖ χρωμένοις. τὰ γὰρ κολλύρια, οὐκ ἄχρηστα τοῖς ὅτε δεῖ καὶ ὡς δεῖ ἐγχριομένοις. τὰ μαλάγματα δ᾽ οὐκ ἄχρηστα. οἱ ἁλτῆρες οὐκ ἄχρηστοι. ἀλλὰ τισὶν ἄχρηστοι, τισὶ πάλιν χρήσιμοι. ἄν μου πυνθάνῃ νῦν χρήσιμοί εἰσιν οἱ συλλογισμοί, ἐρῶ σοι ὅτι χρήσιμοι. κἂν θέλῃς, ἀποδείξω πῶς. ἐμὲ οὖν τί ὠφελήσουσιν. ἄνθρωπε. μὴ γὰρ ἐπύθου εἰ σοὶ χρήσιμοι; ἀλλὰ καθόλου πυθέσθω μου καὶ ὁ δυσεντερικός, εἰ χρήσιμον ὄξος. ἐρῶ ὅτι χρήσιμον. ἐμοὶ οὖν χρήσιμον; ἐρῶ· οὔ. ζήτησον πρῶτον σταλῆναι σου τὸ ῥεῦμα, τὰ ἑλκύδρια ἀπουλωθῆναι. καὶ ὑμεῖς ἄνδρες, τὰ ἕλκη πρῶτον θεραπεύετε. τὰ ῥεύματα ἐπιστήσατε. ἠρεμήσατε τῇ διανοίᾳ. ἀπερίσπαστον αὐτὴν ἐνέγκατε εἰς τὴν σχολήν. καὶ γνώσεσθε οἵαν ἰσχὺν ὁ λόγος ἔχει.

Περὶ φιλίας. κβ΄.

Περὶ ἅ τις ἐσπούδακε, φιλεῖ ταῦτα εἰκότως. μή τι οὖν περὶ τὰ κακὰ ἐσπουδάκασιν οἱ ἄνθρωποι; οὐδαμῶς. ἀλλὰ μή τι περὶ τὰ μηδὲν πρὸς αὐτούς; οὐδὲ περὶ ταῦτα. ὑπολείπεται τοίνυν περὶ μόνα τὰ ἀγαθὰ ἐσπουδακέναι αὐτούς. εἰ δ᾽



ἐσπουδακέναι, καὶ φιλεῖν ταῦτα. ὅστις οὖν ἀγαθῶν ἐπιστήμων ἐστίν, οὗτος ἂν καὶ φιλεῖν εἰδείη. ὁ δὲ μὴ δυνάμενος διακρίνειν τὰ ἀγαθὰ ἀπὸ τῶν κακῶν, καὶ τὰ οὐδέτερα ἀπ᾽ ἀμφοτέρων, πῶς ἂν ἔτι οὗτος φιλεῖν δύναιτο. τοῦ φρονίμου τοίνυν ἐστὶ μόνου τὸ φιλεῖν. καὶ πῶς φησίν. ἐγὼ γὰρ ἄφρων ὤν, ὅμως φιλῶ μου τὸ παιδίον. θαυμάζω μὲν νὴ τοὺς θεούς, πῶς καὶ τὸ πρῶτον ὡμολόγησας ἄφρονα εἶναι σεαυτόν. τί γάρ σοι λείπει. οὐ χρῇ αἰσθήσει; οὐ φαντασίας διακρίνεις; οὐ τροφὰς προσφέρῃ τὰς ἐπιτηδείους τῷ σώματι; οὐ σκέπην; οὐκ οἴκησιν; πόθεν οὖν ὁμολογεῖς ἄφρων εἶναι. ὅτι νὴ Δία πολλάκις ἐξίστασαι ὑπὸ τῶν φαντασιῶν καὶ ταράσσῃ. καὶ ἡττῶσί σε αἱ πιθανότητες αὐτῶν. καὶ ποτὲ μὲν ταῦτα ἀγαθὰ ὑπολαμβάνεις, εἶτα ἐκεῖνα αὐτὰ κακά, ὕστερον δ᾽ οὐδέτερα, καὶ ὅλως λυπῇ, φοβῇ, φθονεῖς, ταράσσῃ, μεταβάλλῃ. διὰ ταῦτα ὁμολογεῖς ἄφρων εἶναι; σὺ δὲ τῷ φιλεῖν οὐ μεταβάλλῃ; ἀλλὰ πλοῦτον μὲν καὶ ἡδονὴν καὶ ἁπλῶς αὐτὰ τὰ πράγματά ποτε μὲν ἀγαθὰ ὑπολαμβάνεις εἶναι ποτὲ δὲ κακά; ἀνθρώπους δὲ τοὺς αὐτοὺς οὐχὶ ποτὲ μὲν ἀγαθούς, ποτὲ δὲ κακούς, καὶ ποτὲ μὲν οἰκείως ἔχεις, ποτὲ δ᾽ ἐχθρῶς αὐτοῖς; καὶ ποτὲ μὲν ἐπαινεῖς, ποτὲ δὲ ψέγεις; ναὶ καὶ ταῦτα πάσχω. τί οὖν. ὁ ἐξηπατημένος περί τινος, δοκεῖ σοι φίλος εἶναι αὐτοῦ; οὐ πάνυ. οὐδὲ μεταπτώτως ἑλό-

μενος αὐτὸν εἶναι εὔχου αὐτῷ; οὐδ' οὗτος. ὁ δὲ νῦν λοιδορῶν μέν τινα, ὕστερον δὲ θαυμάζων. οὐδ' οὗτος. τί οὖν; κυνάρια οὐδέποτ' εἶδες σαίνοντα καὶ προσπαίζοντα ἀλλήλοις, ἵν' εἴπῃς οὐδὲν φιλικώτερον; ἀλλ' ὅπως ἴδῃς τί ἐστι φιλία, βάλε κρέας εἰς μέσον καὶ γνώσῃ. βάλε καὶ σοῦ καὶ τοῦ παιδίου μέσον ἀγρίδιον, καὶ γνώσῃ πῶς σε τὸ παιδίον ταχέως κατορύξαι θέλει. καὶ σὺ τὸ παιδίον εὔχῃ ἀποθανεῖν. εἶτα σὺ πάλιν· οἷον ἐξέθρεψας τέκνον, πάλαι ἐκφέρει. βάλε κορασίδιον κομψόν, καὶ αὐτὸ ὁ γέρων φιλεῖ, κἀκεῖνος ὁ νέος. ἂν δὲ δοξάριον. ἂν δὲ κινδυνεῦσαι δέῃ, ἐρεῖς τὰς φωνὰς τὰς τοῦ Ἀδμήτου πατρός. χαίρεις ὁρῶν φῶς, πατέρα δ' οὐ χαίρειν δοκεῖς; θέλεις βλέπειν φῶς, πατέρα δ' οὐ θέλειν δοκεῖς; οἴει ὅτι ἐκεῖνος οὐκ ἐφίλει τὸ ἴδιον παιδίον, ὅτε μικρὸν ἦν, οὐδὲ πυρέσσοντος αὐτοῦ ἠγωνία, οὐδ' ἔλεγε πολλάκις, ὄφελον ἐγὼ μᾶλλον ἐπύρεσσον; εἶτα ἐλθόντος τοῦ πράγματος καὶ ἐγγίσαντος, ὅρα οἵας φωνὰς ἀφιᾶσιν. ὁ Ἐτεοκλῆς καὶ ὁ Πολυνείκης οὐκ ἦσαν ἐκ τῆς αὐτῆς μητρὸς καὶ ἐκ τοῦ αὐτοῦ πατρός; οὐκ ἦσαν συντεθραμμένοι; συμβεβιωκότες; συμπεπωκότες; συγκεκοιμημένοι πολλάκις; ἀλλήλους καταπεφιληκότες; ὡς, οἶμαι, εἴ τις εἶδεν αὐτούς, κατεγέλασεν ἂν τῶν φιλοσόφων, ἐφ' οἷς περὶ φιλίας πα-

Admeti pater

250

10 Q

Cteocles Polynices



ραδοξολογοῦσιν. ἀλλ' ἐμπεσούσης εἰς τὸ μέσον ὥσπερ κρέως τῆς τυραννίδος, ὅρα οἷα λέγουσι· ποῦ ποτε στήσῃ πρὸ πύργων; ὡς τί μ' ἐρωτᾷς; πρὸς ἀντιτάξομαι κτενῶν σε. κἀμὲ τοῦ δ' ἔρως ἔχει. καὶ εὔχονται εὐχὰς τοιάσδε. καθόλου γὰρ μὴ ἐξαπατᾶσθε. πᾶν ζῷον οὐδενὶ οὕτως ᾠκείωται, ὡς τῷ ἰδίῳ συμφέροντι. ὅ, τι ἂν οὖν πρὸς τοῦτο φαίνηται αὐτῷ ἐμποδίζειν, ἄν τ' ἀδελφὸς ᾖ τοῦτο, ἄν τε πατήρ, ἄν τε τέκνον, ἄν τ' ἐρώμενος, ἄν τ' ἐραστής, μισεῖ, προβάλλεται, καταρᾶται. οὐδὲν γὰρ οὕτω φιλεῖν πέφυκεν, ὡς τὸ αὐτοῦ συμφέρον. τοῦτο πατήρ, καὶ ἀδελφός, καὶ συγγενής, καὶ πατρίς, καὶ θεός. ὅταν οὖν εἰς τοῦτο ἐμποδίζειν ἡμῖν οἱ θεοὶ δοκῶσι, κἀκείνους λοιδοροῦμεν, καὶ τὰ ἱδρύματα τὰ αὐτῶν καταστρέφομεν, καὶ τοὺς ναοὺς ἐμπιπρῶμεν, ὥσπερ Ἀλέξανδρος ἐκέλευσεν ἐμπρησθῆναι τὰ Ἀσκληπιεῖα ἀποθανόντος τοῦ ἐρωμένου. διὰ τοῦτο ἂν μὲν ἐν ταὐτῷ τις ᾖ τὸ συμφέρον καὶ τὸ ὅσιον, καὶ τὸ καλόν, καὶ πατρίδα καὶ γονεῖς καὶ φίλους, σώζεται ταῦτα πάντα. ἂν δ' ἀλλαχοῦ μὲν τὸ συμφέρον, ἀλλαχοῦ δὲ τοὺς φίλους, καὶ τὴν πατρίδα, καὶ τοὺς συγγενεῖς καὶ αὐτὸ τὸ δίκαιον, οἴχεται ταῦτα πάντα καταβαρούμενα ὑπὸ τοῦ συμφέροντος. ὅπου γὰρ ἂν τὸ ἐγὼ καὶ τὸ ἐμόν, ἐκεῖ ἀνάγκη ῥέπειν τὸ ζῷον. εἰ ἐν σαρκί, ἐκεῖ τὸ κυριεῦον εἶναι, εἰ ἐν προαιρέσει, ἐκεῖνο εἶναι, εἰ ἐν τοῖς

151

Alexander

Amicitia



Alexander mortuo amasio exuri iussit Aesculapij templa.

ἐκτὸς, ἐκεῖνο. εἰ τοίνυν ἐκεῖ εἰμὶ ἐγὼ, ὅπου ἡ προαίρεσις, οὕτω μόνως καὶ φίλος ἔσομαι, οἷος δεῖ καὶ υἱὸς καὶ πατήρ. τοῦτο γάρ μοι συνοίσει τηρεῖν, τὸν πιστὸν, τὸν αἰδήμονα, τὸν ἀνεκτικὸν, τὸν ἀφεκτικὸν καὶ συνεργητικόν, φυλάσσειν τὰς σχέσεις. ἂν δ' ἀλλαχοῦ μὲν ἐμαυτὸν θῶ, ἀλλαχοῦ δὲ τὸ καλὸν, οὕτως ἰσχυρὸς γίνεται ὁ Ἐπικούρου λόγος, ἀποφαίνων ἢ μηδὲν εἶναι τὸ καλὸν, ἢ ἄρα τὸ ἔνδοξον. διὰ ταύτην τὴν ἄγνοιαν καὶ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι διεφέροντο, καὶ Θηβαῖοι πρὸς ἀμφοτέρους, καὶ μέγας βασιλεὺς πρὸς τὴν Ἑλλάδα, καὶ Μακεδόνες πρὸς ἀμφοτέρους, καὶ νῦν Ῥωμαῖοι πρὸς Γέτας, καὶ ἔτι πρότερον τὰ ἐν Ἰλίῳ διὰ τοῦτ' ἐγένετο. ὁ Ἀλέξανδρος τοῦ Μενελάου ξένος ἦν, καὶ εἴ τις αὐτοὺς εἶδε φιλοφρονουμένους ἀλλήλοις, ἠπίστησεν ἂν τῷ λέγοντι οὐκ εἶναι φίλους αὐτούς. ἀλλ' ἐβλήθη εἰς τὸ μέσον μερίδιον, κομψὸν γυναικάριον, καὶ περὶ αὐτοῦ πόλεμος. καὶ νῦν ὅταν ἴδῃς φίλους, ἀδελφοὺς ὁμονοεῖν δοκοῦντας, μὴ αὐτόθεν ἀποφαίνῃ περὶ τῆς φιλίας τι αὐτῶν, μηδ' ἂν ὀμνύωσι, μηδ' ἂν ἀδυνάτως ἔχειν λέγωσιν ἀπαλλάχθαι ἀλλήλων. οὐκ ἔστι πιστὸν τὸ τοῦ φαύλου ἡγεμονικόν. ἀβέβαιόν ἐστιν, ἄκριτον, ἄλλοθ' ὑπ' ἄλλης φαντασίας νικώμενον. ἀλλ' ἐξέταζε μὴ ταῦθ' ἃ οἱ ἄλλοι, εἰ ἐκ τῶν αὐτῶν γονέων καὶ ὁμοῦ ἀνατεθραμμένοι, καὶ ὑπὸ τῷ αὐτῷ παιδαγωγῷ, ἀλλ'



ἐκεῖνο μόνον, ποῦ τὸ συμφέρον αὐτοῖς τίθενται, πότερον ἐκτὸς, ἢ ἐν προαιρέσει. ἂν ἐκτὸς, μὴ εἴπῃς φίλους, οὐ μᾶλλον ἢ πιστοὺς, ἢ βεβαίους, ἢ θαρραλέους, ἢ ἐλευθέρους. ἀλλὰ μηδ' ἀνθρώπους, εἰ νοῦν ἔχεις. οὐ γὰρ ἀνθρωπικὸν δόγμα ἐστὶ τὸ ποιοῦν δάκνειν ἀλλήλους καὶ λοιδορεῖσθαι, καὶ τὰς ἐρημίας καταλαμβάνειν, ἢ τὰς ἀγορὰς, ὡς τὰ ὄρη, καὶ ἐν τοῖς δικαστηρίοις ἀποδείκνυσθαι τὰ λῃστῶν. οὐδὲ τὸ ἀκρατεῖς καὶ μοιχοὺς καὶ φθορεῖς ἀπεργαζόμενον. οὐδ' ὡς ἄλλα πλημμελοῦσιν ἄνθρωποι κατ' ἀλλήλων, δι' ἓν καὶ μόνον τοῦτο δόγμα, τὸ ἐν τοῖς ἀπροαιρέτοις τίθεσθαι αὑτοὺς καὶ τὰ ἑαυτῶν. ἂν δ' ἀκούσῃς ὅτι ταῖς ἀληθείαις οὗτοι οἱ ἄνθρωποι ἐκεῖ μόνον οἴονται τὸ ἀγαθὸν, ὅπου προαίρεσις, ὅπου χρῆσις ὀρθὴ φαντασιῶν, μηκέτι πολυπραγμονήσῃς, μήτ' εἰ υἱὸς καὶ πατήρ ἐστι, μήτ' εἰ οἱ ἀδελφοί, μήτ' εἰ πολὺν χρόνον συμπεφοιτηκότες καὶ ἑταῖροι. ἀλλὰ μόνον αὐτὸ τοῦτο γνοὺς θαρρῶν ἀποφαίνου, ὅτι φίλοι ὥσπερ ὅτι πιστοί, ὅτι δίκαιοι. ποῦ γὰρ ἀλλαχοῦ φιλία, ἢ ὅπου πίστις, ὅπου αἰδὼς, ὅπου δόσις τοῦ καλοῦ, τῶν δ' ἄλλων οὐδενός. ἀλλὰ τεθεράπευκέ με τοσοῦτον χρόνον, καὶ οὐκ ἐφίλει με; πόθεν οἶδας, ἀνδράποδον, εἰ οὕτω τεθεράπευκεν, ὡς τὰ ὑποδήματα σπογγίζει τὰ ἑαυτοῦ, ὡς τὸ κτῆνος; πόθεν οἶδας εἰ τὴν χρείαν ἀποβάλλοντα τὴν τοῦ σκευαρίου, ῥίψεις ὡς κατεαγὸς

πινάκιον. ἀλλὰ γυνή μου ἐστὶ καὶ τοσοῦτον χρόνον συμβεβιώκαμεν. πόσον δ' ἡ Ἐριφύλη μετὰ τοῦ Ἀμφιαράου, καὶ τέκνων μήτηρ καὶ πολλῶν. ἀλλ' ὅρμος ἦλθεν εἰς τὸ μέσον. τί δ' ἐστὶν ὅρμος; τὸ δόγμα τὸ περὶ τῶν τοιούτων. ἐκεῖνο ἦν τὸ θηριῶδες, ἐκεῖνο τὸ διακόπτον τὴν φιλίαν, τὸ οὐκ ἐῶν εἶναι γυναῖκα γαμετήν, τὴν μητέρα μητέρα. καὶ ὑμῶν ὅστις ἐσπούδακεν ἢ αὐτός τις εἶναι φίλος, ἢ ἄλλον κτήσασθαι φίλον, ταῦτα τὰ δόγματα ἐκκοπτέτω, ταῦτα μισησάτω, ταῦτα ἐξελασάτω ἐκ τῆς ψυχῆς τῆς ἑαυτοῦ. καὶ οὕτως ἔσται πρῶτον μὲν αὐτὸς ἑαυτῷ μὴ λοιδορούμενος, μὴ μαχόμενος, μὴ μετανοῶν, μὴ βασανίζων ἑαυτόν. ἔπειτα καὶ ἑτέρῳ, τῷ μὲν ὁμοίῳ παντί, ἁπλῶς. τοῦ δ' ἀνομοίου ἀνεκτικός, πρᾶος, πρὸς αὐτὸν ἥμερος, συγγνωμονικὸς ὡς πρὸς ἀγνοοῦντα, ὡς πρὸς διαπίπτοντα περὶ τῶν μεγίστων. οὐδενὶ χαλεπός. ἅτ' εἰδὼς ἀκριβῶς τὸ τοῦ Πλάτωνος, ὅτι πᾶσα ψυχὴ ἄκουσα στέρεται τῆς ἀληθείας. εἰ δὲ μή, τὰ μὲν ἄλλα πράξετε πάντα ὅσα οἱ φίλοι, καὶ συμπίεσθε καὶ συσκηνήσετε, καὶ συμπλεύσετε, καὶ ἐκ τῶν αὐτῶν γεγενημένοι ἔσεσθε. καὶ μέχρις ἂν ἔχητε τὰ θηριώδη ταῦτα καὶ μιαρὰ δόγματα, γὰρ οἱ ὄφεις. φίλοι δ' οὔτ' ἐκεῖνοι, οὔθ' ὑμεῖς.



## Περὶ τῆς τοῦ λέγειν δυνάμεως. κγ.

Βιβλίον πᾶς ἂν ἥδιον ἀναγνοίη καὶ ῥᾷον, τὸ εὐσημοτέροις γράμμασι γεγραμμένον. οὐκοῦν καὶ λόγους πᾶς ἄν τις ῥᾷον ἀκούσῃ, τοὺς εὐσχήμοσιν ἅμα καὶ εὐπρεπέσιν ὀνόμασι σεσημασμένους. οὐκ ἄρα τοῦτο ῥητέον, ὡς οὐδεμία δύναμίς ἐστιν ἀπαγγελτική. τοῦτο γὰρ ἅμα μὲν ἀσεβοῦς ἐστιν ἀνθρώπου, ἅμα δὲ δειλοῦ. ἀσεβοῦς μέν, ὅτι τὰς παρὰ τοῦ θεοῦ χάριτας ἀτιμάζει. ὥσπερ εἰ ἀνῄρει τὴν εὐχρηστίαν τῆς ὁρατικῆς ἢ τῆς ἀκουστικῆς δυνάμεως, ἢ αὐτῆς τῆς φωνητικῆς. εἰκῇ οὖν σοι ὁ θεὸς ὀφθαλμοὺς ἔδωκεν; εἰκῇ πνεῦμα ἐνεκέρασεν αὐτοῖς οὕτως ἰσχυρὸν καὶ φιλότεχνον, ὥστε μακρὰν ἐξικνούμενον, ἀναμάσσεσθαι τοὺς τύπους τῶν ὁρωμένων; ποῖος ἄγγελος οὕτως ὠκὺς καὶ ἐπιμελής. εἰκῇ δὲ καὶ τὸν μεταξὺ ἀέρα οὕτως εὔεργον ἐποίησε καὶ εὔτονον, ὥστε διὰ τοῦ γινομένου πως διϊκνεῖσθαι τὴν ὅρασιν; εἰκῇ δὲ φῶς ἐποίησεν, οὗ μὴ παρόντος, οὐδενὸς τῶν ἄλλων ὄφελος ἦν; ἄνθρωπε, μήτ' ἀχάριστος ἴσθι, μήτε πάλιν ἀμνήμων τῶν κρειττόνων. ἀλλ' ὑπὲρ μὲν τοῦ ὁρᾷν καὶ ἀκούειν, καὶ νὴ Δία ὑπὲρ αὐτοῦ τοῦ ζῆν καὶ τῶν συνεργῶν πρὸς αὐτό, ὑπὲρ καρπῶν ξηρῶν, ὑπὲρ οἴνου, ὑπὲρ ἐλαίου εὐχαρίστει τῷ θεῷ. μέμνησο δ' ὅτι ἄλλο τί σοι δέδωκε κρεῖττον ἁπάντων τούτων, τὸ χρησόμενον αὐτοῖς, τὸ δοκιμάσον.

τὴν ἀξίαν ἑκάστου λογιζόμενον. τί γάρ ἐστι τὸ
ἀποφαινόμενον ὑπὲρ ἑκάστης τούτων τῶν δυνά-
μεων; πόσου τις ἀξία ἐστὶν αὐτῶν; μήτι αὐτὴ ἑκά-
στη ἡ δύναμις; μήτι τῆς ὁρατικῆς ποτ᾽ ἤκουσας λε-
γούσης τι περὶ ἑαυτῆς; μήτι τῆς ἀκουστικῆς; μήτι πυ-
ρῶν; μήτι κριθῶν; μήτι ἵππου; μήτι κυνός; ἀλλ᾽
ὡς διάκονοι καὶ δοῦλαι τεταγμέναι εἰσὶν ὑπηρε-
τεῖν τῇ χρηστικῇ τῶν φαντασιῶν. κἂν πύθῃ πόσου
ἕκαστον ἄξιόν ἐστι, τίνος πυνθάνῃ; τίς σοι ἀποκρί-
νεται; πῶς οὖν δύναταί τις ἄλλη δύναμις κρείσ-
σων εἶναι ταύτης, ἣ καὶ ταῖς λοιπαῖς διακόνοις χρῆ-
ται καὶ δοκιμάζει αὐτὴ ἕκαστα καὶ ἀποφαίνεται.
τίς γὰρ ἐκείνων οἶδε, τίς ἐστιν αὕτη καὶ πόσου ἀξία.
τίς ἐκείνων οἶδεν πότε δεῖ χρῆσθαι αὐτῇ καὶ πό-
τε μή. τίς ἐστιν ἡ ἀνοίγουσα καὶ κλείουσα τοὺς ὀφ-
θαλμούς, καὶ ἀφ᾽ ὧν μὲν δεῖ ἀποστρέφουσα, τοῖς δὲ
προσάγουσα. ἡ ὁρατική; οὔ. ἀλλ᾽ ἡ προαιρετική. τίς 257
ἡ τὰ ὦτα αὐτὴ κλείουσα καὶ ἀνοίγουσα; τίς καθ᾽ ἣν 1R
[illegible] περίεργοι καὶ πευθιῶσαι ἢ πάλιν ἀκίνητοι ὑπὸ λό-
γου; ἡ ἀκουστική; οὐκ ἄλλη, ἀλλ᾽ ἡ προαιρετικὴ δύνα-
μις. εἶτα αὐτὴ ἰδοῦσα ὅτι ἐν τυφλαῖς καὶ κωφαῖς
ταῖς ἄλλαις ἁπάσαις δυνάμεσίν ἐστι, μηδὲν ἄλ-
λο συνορᾶν δυναμέναις, πλὴν αὐτὰ ἐκεῖνα τὰ
ἔργα ἐφ᾽ οἷς τεταγμέναι εἰσὶ διακονεῖν, ταύτῃ καὶ
ὑπηρετεῖν, αὐτὴ δὲ μόνη ὀξὺ βλέπει, καὶ τὰς
τ᾽ ἄλλας καθορᾷ πόσου ἑκάστη ἀξία. καὶ αὐτὴ



μέλλει ἢ μὲν ἄλλο τι ἀποφαίνεσθαι τὸ κράτιστον
εἶναι ἢ αὑτήν. καὶ τί ποιεῖ ἄλλο ὁ ὀφθαλμὸς ἀνοι-
χθεὶς ἢ ὁρᾷ. εἰ δὲ δεῖ τὴν τοῦ τινος ἰδεῖν γυναῖκα,
καὶ πῶς, τί λέγει, ἡ προαιρετική. εἰ δὲ δεῖ πιστεῦ-
σαι τοῖς λεχθεῖσιν ἢ ἀπιστῆσαι, καὶ πιστεύσαντα ἐ-
ρεθισθῆναι, ἢ μή, τίς λέγει, οὐχ ἡ προαιρετική; ἡ δὲ
φραστικὴ αὕτη καὶ καλλωπιστικὴ τῶν ὀνομάτων εἴ
τις ἄρα ἰδία δύναμις, τί ἄλλο ποιεῖ, ἢ ὅταν ἐμ-
πέσῃ λόγος περί τινος, καλλωπίζει τὰ ὀνόματα
καὶ συντίθησιν ὥσπερ οἱ κομμῶται τὴν κόμην. πό- κομμωταί
τερον δ᾽ εἰπεῖν ἄμεινον ἢ σιωπῆσαι, καὶ οὕτως ἄ-
μεινον ἢ ἐκείνως, καὶ τοῦτο πρέπον ἢ οὐ πρέπον,
καὶ τὸν καιρὸν ἑκάστου καὶ τὴν χρείαν, τίς ἄλλη 258
λέγει, ἢ ἡ προαιρετική. θέλεις οὖν αὐτὴν πα-
ρελθοῦσαν αὑτῆς καταψηφίσασθαι; τί οὖν φησιν, 2R
εἰ οὕτω τὸ πρᾶγμα ἔχει, καὶ δύναται τὸ δια-
κονοῦν κρεῖσσον εἶναι ἐκείνου ᾧ διακονεῖ; ὁ ἵπ-
πος τοῦ ἱππέως; ἢ ὁ κύων τοῦ κυνηγοῦ; ἢ τὸ ὄρ-
γανον τοῦ κιθαριστοῦ; ἢ οἱ ὑπηρέται τοῦ βασι-
λέως; τί ἐστι τὸ χρώμενον, προαίρεσις. τί ἐπιμε-
λεῖται πάντων, προαίρεσις. τί ὅλον ἀναιρεῖ τὸν
ἄνθρωπον, ποτὲ μὲν λιμῷ, ποτὲ δ᾽ ἀγχόνῃ, ποτὲ
δὲ κατὰ κρημνοῦ, προαίρεσις. εἶτα τούτου τι ἰσχυ-
ρότερον ἀνθρώποις ἐστί; καὶ πῶς οἷόν τε τοῦ ἀκω-
λύτου τὰ κωλυόμενα. τῇ ὁρατικῇ δυνάμει τίνα
πέφυκεν ἐμποδίζειν, καὶ προαίρεσις καὶ προαι-

ρετή. ἡ ἀκουστικὴ ταῦτα. ἡ φραστικὴ ὡσαύτως. προαίρεσιν δὲ τί ἐμποδίζειν πέφυκεν; ἀπροαίρετον οὐδέν. αὐτὴ δ' ἑαυτὴν διαστραφεῖσα. διὰ τοῦτο καὶ κακία μόνη, αὕτη γίνεται, ἡ ἀρετὴ μόνη. εἶτα τηλικαύτη δύναμις οὖσα καὶ πᾶσι τοῖς ἄλλοις ὑποτεταγμένη, παρελθοῦσα ἡμῖν λεγέτω, κράτιστον εἶναι τῶν ὄντων τὴν σάρκα. οὐδὲ ἂν αὐτὴ ἡ σὰρξ ἑαυτὴν ἔλεγεν εἶναι
Ε κράτιστον, ἣν εἶχε τὸ αὐτῆς αὐτό. νῦν δὲ τί ἐστιν ἐπίκουρε τὸ ταῦτα ἀποφαινόμενον, τὸ περὶ τέλους συγγεγραφός. τὸ τὰς φυσικάς. τὸ περὶ κανόνος. τὸ τὸν πώγω- 259
να καθεικός. τὸ γράφον ὅτε ἀπέθνησκεν, ὅτι τὴν
* ἄγοι τελευταίαν ἄγον θ' ἅμα καὶ μακαρίαν ἡμέραν. 3 R
ἡ σὰρξ, ἢ ἡ προαίρεσις. εἶτα τούτου τι κρεῖσσον ἔχειν ὁμολογεῖς, καὶ οὐ μαίνῃ; οὕτω τυφλὸς ταῖς ἀληθείαις καὶ κωφὸς εἶ. τί οὖν. ἀτιμάζει τις τὰς ἄλλας δυνάμεις; μὴ γένοιτο. λέγει τις μηδεμίαν εἶναι χρείαν ἢ προαγωγὴν τῆς προαιρετικῆς δυνάμεως; μὴ γένοιτο. ἀνόητον. ἀσεβές. ἀχάριστον πρὸς τὸν θεόν. ἀλλὰ τὴν ἀξίαν ἑκάστῳ ἀποδίδωσιν. ἔστι γάρ τις καὶ ὄνου χρεία. ἀλλ' οὐχ ἡλίκη βοός. ἔστι καὶ κυνός. ἀλλ' οὐχ ἡλίκη οἰκέτου. ἔστι καὶ οἰκέτου. ἀλλ' οὐχ ἡλίκη τῶν πολιτῶν ἔστι καὶ τούτων. ἀλλ' οὐχ ἡλίκη τῶν ἀρχόντων. οὐ μέν τοι διὰ τὸ ἄλλα εἶναι κρείττονα, καὶ ἣν παρέχει τὰ ἕτερα χρείαν, ἀτιμαστέον. ἔστι τις ἀξία καὶ τῆς φραστικῆς δυνάμεως. ἀλλ' οὐχ ἡλίκη τῆς



προαιρετικῆς. ὅταν οὖν ταῦτα λέγω, μή τις οἰέσθω ὅτι ἀμελεῖν ὑμᾶς ἀξιῶ φράσεως. οὐδὲ γὰρ ὀφθαλμῶν, οὐδ' ὤτων, οὐδὲ χειρῶν, οὐδὲ ποδῶν, οὐδ' ἐσθῆτος, οὐδ' ὑποδημάτων, ἀλλ' ἄν
μου πυνθάνῃ, τί οὖν ἐστι κράτιστον τῶν ὄντων, τί 260
εἴπω; τὴν φραστικὴν οὐ δύναμαι, ἀλλὰ τὴν
προαιρετικὴν ὅταν ὀρθὴ γένηται. τοῦτο γάρ ἐστι 4 R
τὸ κἀκείνῃ χρώμενον, καὶ ταῖς ἄλλαις πάσαις καὶ μικραῖς καὶ μεγάλαις δυνάμεσι. τούτου κατορθωθέντος, οὐκ ἀγαθὸς ἄνθρωπος, ἀγαθὸς γίνεται. ἀποτευχθέντος δέ, κακὸς ἄνθρωπος γίνεται. παρ' ὃ ἀτυχοῦμεν. εὐτυχοῦμεν. μεμφόμεθ' ἀλλήλοις. εὐαρεστοῦμεν. ἁπλῶς ὃ λεληθὸς μέν, κακοδαιμονίαν ποιεῖται. τυχὸν δ' ἐπιμελείας, εὐδαιμονίαν. τὸ δὲ αἴρειν τὴν δύναμιν τῆς φραστικῆς, καὶ λέγειν μὴ εἶναι μηδεμίαν ταῖς ἀληθείαις, οὐ μόνον ἀχαρίστου ἐστὶ πρὸς τοὺς δεδωκότας, ἀλλὰ καὶ δειλοῦ. ὁ γὰρ τοιοῦτος φοβεῖσθαί μοι δοκεῖ, μὴ ἄπερ τις ἐστὶ δύναμις κατὰ τὸν τόπον, οὐ δυνηθῶμεν αὐτῆς καταφρονῆσαι. τοιοῦτοί εἰσι καὶ οἱ λέγοντες μηδεμίαν εἶναι παραλλαγὴν #
κάλλους πρὸς αἶσχος. εἶτα ὁμοίως ἦν κινηθῆναι τὸν Thersites
Θ Α Ε Θερσίτην ἰδόντα καὶ τὸν ἀχιλλέα; ὁμοίως τὴν ἑλένην καὶ ἣν ἔτυχε γυναῖκα; καὶ ταῦτα μωρὰ καὶ ἄ- Achilles
γροικα, καὶ οὐκ εἰδότων τὴν ἑκάστου φύσιν, ἀλλὰ φοβουμένων μὴ αὐτῆς αἴσθηται τῆς διαφορᾶς, εὐθὺς συναρ

πεισθεὶς καὶ ἡσθεὶς ἀπέλθῃ. ἀλλὰ τὸ μέγα τοῦτο ἀπολιπεῖν ἕκαστον τὴν αὑτοῦ δύναμιν ἣν ἔχει. καὶ ἀπολιπόντα ἰδεῖν τὴν ἀξίαν τῆς δυνάμεως, καὶ τὸ κράτιστον τῶν ὄντων καταμαθεῖν. καὶ τοῦτο ἐν παντὶ μεταδιώκειν. περὶ τούτου ἐσπουδακέναι. πάρεργα τἆλλα πρὸς τοῦτο πεποιημένον. οὐ μέντοι ἀμελοῦντα οὐδ' ἐκείνων κατὰ δύναμιν. καὶ γὰρ ὀφθαλμῶν ἐπιμελητέον, ἀλλ' οὐχ ὡς τοῦ κρατίστου. ἀλλὰ καὶ τούτων διὰ τὸ κράτιστον. ὅτι ἐκεῖνο οὐκ ἄλλως ἕξει κατὰ φύσιν, εἰ μὴ ἐν τούτοις εὐλογιστοίη, καὶ τὰ ἕτερα παρὰ τὰ ἕτερα αἱρούμενον. τί οὖν ἐστι τὸ γινόμενον. οἷον εἴ τις ἀπιὼν εἰς τὴν πατρίδα τὴν ἑαυτοῦ, καὶ διοδεύων πανδοκεῖον καλὸν, ἀρέσαντος αὐτῷ τοῦ πανδοκείου, καταμένοι ἐν τῷ πανδοκείῳ. ἄνθρωπε. ἐπελάθου σου τῆς προαιρέσεως; οὐκ εἰς τοῦτο ὥδευες, ἀλλὰ διὰ τούτου. ἀλλὰ κομψὸν τοῦτο. πόσα δ' ἄλλα πανδοκεῖα κομψά; πόσοι δὲ λειμῶνες; ἀλλ' ἁπλῶς ὡς δίοδος. τὸ δὲ προκείμενον ἐκεῖνο, εἰς τὴν πατρίδα ἐπανελθεῖν. τοὺς οἰκείους ἀπαλλάξαι δέους, αὐτὸν τὰ τοῦ πολίτου ποιεῖν. γῆμαι. παιδοποιεῖσθαι. ἄρξαι τὰς νομιζομένας ἀρχάς. οὐ γὰρ τοὺς κομψοτέρους ἡμῖν τόπους ἐκλεξάμενος ἐλήλυθας. ἀλλ' ἐν οἷς ἐγένου καὶ ὧν κατετάγης πολίτης, ἐν τούτοις ἀναστραφησόμενος. τοιοῦτόν τι καὶ ἐνταῦθά ἐστι τὸ γινόμενον. ἐπεὶ διὰ λόγου καὶ τοιαύτης παραδό-

σεως



σεως ἐλθεῖν ὧδε τὸ τέλειον δεῖ. καὶ τὴν αὑτοῦ προαίρεσιν ἐκκαθᾶραι, καὶ τὴν δύναμιν τὴν χρηστικὴν τῶν φαντασιῶν ὀρθὴν κατασκευάσαι. ἀνάγκη δὲ τὴν παράδοσιν γίνεσθαι τῶν θεωρημάτων, καὶ διὰ λέξεως ποιᾶς καὶ μετά τινος ποικιλίας καὶ δριμύτητος τῶν θεωρημάτων. ὑπ' αὐτῶν τινες τούτων ἁλισκόμενοι καταμένουσιν αὐτοῦ. ὁ μὲν ὑπὸ τῆς λέξεως, ὁ δ' ὑπὸ λογισμῶν, ὁ δ' ὑπὸ μεταπιπτόντων, ὁ δ' ὑπ' ἄλλου τινὸς τοιούτου πανδοκείου. καὶ προσμείναντες κατασήπονται, ὡς παρὰ ταῖς σειρῆσιν. ἄνθρωπε τὸ προκείμενόν σοι, κατασκευάσαι σαυτὸν χρηστικὸν ταῖς προσπιπτούσαις φαντασίαις κατὰ φύσιν. ἐν ὀρέξει ἀναπότευκτον, ἐν δ' ἐκκλίσει ἀπερίπτωτον. μηδέποτ' ἀτυχοῦντα. μηδέποτε δυστυχοῦντα. ἐλεύθερον. ἀκώλυτον. ἀνανάγκαστον. συναρμόζοντα τῇ τοῦ διὸς διοικήσει. ταύτῃ πειθόμενον. μηδὲν αἰτιώμενον. δυνάμενον εἰπεῖν τούτοις τοὺς στίχους ἐξ ὅλης ψυχῆς. ἄγου δέ μ' ὦ ζεῦ καὶ σύ γ' ἡ πεπρωμένη. εἶτα τοῦτο τὸ προκείμενον ἔχων, ἀρέσαντός σοι λεξειδίου, ἀρεσάντων θεωρημάτων τινῶν, αὐτοῦ καταμένεις, καὶ κατοικεῖν προαιρῇ, ἐπιλαθόμενος τῶν ἐν οἴκῳ. καὶ λέγεις ταῦτα κομψά ἐστι; τίς γὰρ λέγει μὴ εἶναι αὐτὰ κομψά. ἀλλ' ὡς δίοδον. ὡς πανδοκεῖα. τί γὰρ κωλύει φράζοντα ὡς Δημοσθένης ἀτυχεῖν. τί δὲ κωλύει συλλογισμοὺς ἀναλύον

τα ὡς Χρύσιππον ἄθλιον εἶναι. πενθεῖν. φθονεῖν. ἁπλῶς ταράσσεσθαι. κακοδαιμονεῖν. οὐδέν. ὁρᾷς οὖν ὅτι πενθηκεῖα ἦν ταῦτα οὐδενὸς ἄξια, τὸ δὲ προκείμενον ἄλλο ἦν; ταῦτα ὅταν λέγω πρός τινας, οἴονταί με καταβάλλειν τὴν περὶ τὸ λέγειν ἐπιμέλειαν, ἢ τὴν περὶ τὰ θεωρήματα. ἐγὼ δ' οὐ ταύτην καταβάλλω, ἀλλὰ τὸ περὶ ταῦτα καταπληκτικῶς ἔχειν, καὶ ἐνταῦθα τίθεσθαι τὰς αὐτῶν ἐλπίδας. εἴ τις τοῦτο παριστὰς βλάπτει τοὺς ἀκούοντας, κἀμὲ τίθεσθε ἕνα τῶν βλαπτόντων. οὐ δύναμαι δ' ἄλλο βλέπων τὸ κράτιστον καὶ τὸ κυριώτατον, ἄλλο λέγειν εἶναι, ἵν' ὑμῖν χαρίσωμαι.

### Πρός τινα τῶν οὐκ ἠξιωμένων ὑπ' αὐτοῦ. κδ'.

Εἰπόντος αὐτῷ τινος ὅτι πολλάκις ἐπιθυμῶν σου ἀκοῦσαι ἦλθον πρὸς σέ, καὶ οὐδέποτέ μοι ἀπεκρίνω. καὶ νῦν εἰ δυνατὸν, παρακαλῶ σε εἰπεῖν τί μοι. δοκεῖ σοι ἔφη καθάπερ ἄλλου τινὸς εἶναι τέχνη, οὕτω δὲ καὶ τοῦ λέγειν, ἣν ὁ μὲν ἔχων ἐμπείρως ἐρεῖ. ὁ δὲ μὴ ἔχων, ἀπείρως; δοκεῖ. οὐκοῦν ὁ μὲν διὰ τοῦ λέγειν αὐτός τε ὠφελούμενος, καὶ ἄλλους οἷός τε ὢν ὠφελεῖν, οὗτος ἐμπείρως ἂν λέγοι. ὁ δὲ βλαπτόμενος μᾶλλον καὶ βλάπτων, οὗτος ἄπειρος ἂν εἴη τῆς τέχνης ταύτης τῆς



τοῦ λέγειν. εὕροις δ' ἂν, τοὺς μὲν βλαπτομένους, τοὺς δ' ὠφελουμένους. οἱ δ' ἀκούοντες πάντες ὠφελοῦνται ἀφ' ὧν ἀκούουσιν, ἢ καὶ τούτων εὕροις ἂν, τοὺς μὲν ὠφελουμένους, τοὺς δὲ βλαπτομένους. καὶ τούτων ἔφη. οὐκοῦν καὶ ἐνταῦθα ὅσοι μὲν ἐμπείρως ἀκούουσιν, ὠφελοῦνται. ὅσοι δ' ἀπείρως, βλάπτονται; ὡμολόγει. ἔστιν ἄρα τις ἐμπειρία καθάπερ τοῦ λέγειν, οὕτω καὶ τοῦ ἀκούειν; ἔοικεν. εἰ δὲ βούλει καὶ οὕτω σκέψαι αὐτό. τὸ μουσικῶς ἅψασθαι, τίνος σοι δοκεῖ. μουσικοῦ. τὸ δὲ τὸν ἀνδριάντα ὡς δεῖ κατασκευάσαι, τίνος σοι φαίνεται, ἀνδριαντοποιοῦ. τὸ δ' ἰδεῖν ἐμπείρως, οὐδεμιᾶς σοι προσδεῖσθαι φαίνεται τέχνης; προσδεῖται καὶ τοῦτο. οὐκοῦν εἰ καὶ τὸ λέγειν ὡς δεῖ τοῦ ἐμπείρου ἐστὶν, ὁρᾷς ὅτι καὶ τὸ ἀκούειν ὠφελίμως, τοῦ ἐμπείρου ἐστί; καὶ τὸ μὲν τελείως καὶ ὠφελίμως, εἰ βούλει, περὶ τοῦ παρόντος ἀφῶμεν. ἐπεὶ καὶ μακρὰν ἐσμὲν ἀμφότεροι παντὸς τοιούτου. ἐκεῖνο δὲ πᾶς ἄν τις ὁμολογῆσαί μοι δοκεῖ. ὅτι πόσης γέ τινος τριβῆς περὶ τὸ ἀκούειν προσδεῖται ὁ τῶν φιλοσόφων ἀκουσόμενος. ἢ γὰρ οὔ; περὶ τίνος οὖν λέγω πρὸς σέ, δεῖξόν μοι. περὶ τίνος ἀκοῦσαι δύνασαι. περὶ ἀγαθῶν καὶ κακῶν τινος. ἆρά γε ἵππου; οὔ. ἀλλὰ βοός; οὔ. τί οὖν. ἀνθρώπου; ναί. οἴδαμεν οὖν τί ἐστιν ἄνθρωπος; τίς ἡ φύσις αὐτοῦ; τίς ἡ ἔννοια ἦν

ἔχομεν, καὶ κατὰ τὸ πόσον, περὶ τὰ ὡρισμένα; ἀλλὰ φύσις τί ἐστιν εὐνοεῖς, ἢ δύνασαι καὶ κατὰ τὸ πόσον ἀκολουθῆσαί μοι λέγοντι; ἀλλ' ἀποδείξει χρήσομαι πρὸς σέ. πῶς; παρακολουθεῖς γὰρ αὐτῷ τούτῳ τί ἐστιν ἀπόδειξις, ἢ πῶς τι ἀποδείκνυται, ἢ διὰ τίνων, ἢ τίνα ὅμοια μὲν ἀποδείξει ἐστὶν, ἀπόδειξις δ' οὐκ ἔστι; τί γάρ ἐστιν ἀληθὲς οἶδας ἢ τί ἐστι ψεῦδος, τί τίνι ἀκολουθεῖ, τί τίνι μάχεται; ἢ ἀνομολογούμενόν ἐστιν ἢ ἀσύμφωνον, ἀλλὰ κινῶ

\# σε πρὸς φιλοσοφίαν. πῶς; παραδεικνύω σοι τὴν μάχην τῶν πολλῶν ἀνθρώπων, καθ' ἣν διαφέρονται περὶ ἀγαθῶν καὶ κακῶν, καὶ συμφερόντων καὶ ἀσυμφόρων. ἀλλὰ τοῦτο τί ἐστι μάχη, οὐκ οἶδας;

266

10 R

δεῖξον οὖν μοι τί περανῶ διαλεγόμενός σοι. κίνησόν μοι προθυμίαν, ὡς ἡ κατάλληλος πόα τῷ προβάτῳ φανεῖσα, προθυμίαν αὐτῷ κινεῖ πρὸς τὸ φαγεῖν. ἂν δὲ λίθον ἢ ἄρτον παραθῇς, οὐ κινηθήσεται. οὕτως εἰσί τινες ἡμῖν φυσικαὶ προθυμίαι καὶ πρὸς τὸ λέγειν. ὅταν ὁ ἀκουσόμενος φανῇ τις. ὅταν αὐτὸς ἐρεθίσῃ. ἂν δ' ὡς λίθος ἢ χόρτος ᾖ παρακείμενος, πῶς δύναται ἀνθρώπῳ ὄρεξιν κινῆσαι. ἡ ἄμπελος μή τι λέγει τῷ γεωργῷ ἐπιμελοῦ μου; ἀλλ' αὐτὴ δι' αὐτῆς ἐμφαίνουσα, ὅτι ἐπιμεληθέντι λυσιτελήσει αὐτῷ, ἐκκαλεῖται πρὸς τὴν ἐπιμέλειαν. τὰ παιδία τὰ πιθανὰ καὶ δριμέα, τίνα οὐκ ἐκκαλεῖται πρὸς τὸ συμπαίζειν αὐτοῖς καὶ συνέρ



πειν καὶ πρὸς τὸ συμψελλίζειν. ὄνῳ δέ τις προθυμεῖται συμπαῖξαι, ἢ συνογκήσασθαι. καὶ γὰρ μικρὸν, ὅμως ὀνάριόν ἐστιν. τί οὖν μοι οὐδὲν λέγεις; ἐκεῖνο μόνον ἔχω σοι εἰπεῖν. ὅτι ὁ ἀγνοῶν τίς ἐστι, καὶ ἐπὶ τί γέγονε, καὶ ἐν τίνι τούτῳ τῷ κόσμῳ, καὶ μετὰ τίνων κοινωνῶν, καὶ τίνα τὰ ἀγαθά ἐστι καὶ τὰ κακὰ καὶ τὰ καλὰ καὶ τὰ αἰσχρὰ, καὶ μήτε λόγῳ παρακολουθῶν μήτ' ἀποδείξει, μήτε τί ἐστιν ἀληθὲς ἢ τί ψεῦδος, μήτε διακρῖναι ταῦτα δυνάμενος, οὔτ' ὀρέξεται κατὰ φύσιν, οὔτ' ἐκκλινεῖ, οὔθ' ὁρμήσει, οὔτ' ἐπιβαλεῖται, οὐ συγκαταθήσεται, οὐκ ἀνανεύσει, οὐκ ἐφέξει τὸ σύνολον. κωφὸς καὶ τυφλὸς περιελεύσεται. δοκῶν μέν τι εἶναι, ὢν δ' οὐδείς. νῦν γὰρ πρῶτον τοῦθ' οὕτως ἔχει; οὐχὶ ἐξ οὗ γένος ἀνθρώπων ἐστὶν, ἐξ ἐκείνου πάντα τὰ ἁμαρτήματα, καὶ τὰ ἀτυχήματα παρὰ ταύτην τὴν ἄγνοιαν γέγονεν; ἀγαμέμνων καὶ ἀχιλλεὺς δι' ἀλλήλοις διεφέροντο. οὐχὶ διὰ τὸ μὴ εἰδέναι τίνα ἐστὶ συμφέροντα καὶ ἀσύμφορα; οὐχὶ ὁ μὲν λέγει ὅτι συμφέρει ἀποδοῦναι τῷ πατρὶ τὴν χρυσηΐδα, ὁ δὲ λέγει ὅτι οὐ συμφέρει; οὐχὶ ὁ μὲν λέγει ὅτι δεῖ αὐτὸν λαβεῖν τὸ ἄλλου γέρας, ὁ δὲ, ὅτι οὐ; διὰ ταῦτα ἐπελάθοντο καὶ τίνες ἦσαν, καὶ ἐπὶ τί ἐληλύθεισαν; ἔα, ἄνθρωπε. ἐπὶ τί ἐληλύθεις; ἐρωμένας κτησόμενος, ἢ πολεμήσων; τίσι; τοῖς τρωσὶν ἢ τοῖς ἕλλησι; τοῖς τρωσί. ἀφεὶς οὖν τὸν

267

11 R

Agamemnon

Achilles

Chryseis

Ἕκτορα, ἀλλὰ τὸν βασιλέα τὸν σαυτοῦ παρὰ τὸ ξίφος; σὺ δ' ὦ βέλτιστε ἀφεὶς τὰ τοῦ βασιλέως ἔργα, περὶ κορασίδια διαπυκτεύεις τῷ πολεμικωτάτῳ τῶν συμμάχων, ὃν δεῖ παντὶ τρόπῳ περιέπειν καὶ φυλάττειν; καὶ χείρων γίνῃ κομψοῦ ἀρχιερέως, ὃς τοὺς καλοὺς μονομάχους διὰ πάσης ἐπιμελείας ἔχει; ὁρᾷς οἷα ποιεῖ ἄγνοια περὶ τῶν συμφερόντων; ἀλλὰ κἀγὼ πλούσιός εἰμι. μή τι οὖν τοῦ Ἀγαμέμνονος πλουσιώτερος; ἀλλὰ καὶ καλός εἰμι. μή τι οὖν τοῦ Ἀχιλλέως καλλίων; ἀλλὰ καὶ κόμην κομψὴν ἔχω. ὁ δ' Ἀχιλλεὺς οὐ καλλίονα καὶ ξανθὴν, καὶ οὐκ ἐκτένιζεν αὐτὴν κομψῶς οὐδ' ἔπλασσεν; ἀλλὰ καὶ ἰσχυρός εἰμι. μή τι οὖν δύνασαι λίθον ἆραι, ἡλίκον ὁ Ἕκτωρ ἢ ὁ Αἴας; ἀλλὰ καὶ εὐγενής. μή τι ἐκ θεᾶς μητρός; μή τι πατρὸς ἐγγόνου Διός; τί οὖν ἐκεῖνον ὠφελεῖ ταῦτα, ὅταν καθῆμενος κλαίῃ διὰ τὸ κοράσιον. ἀλλὰ ῥήτωρ εἰμί. ἐκεῖνος δ' οὐκ ἦν; οὐ βλέπεις πῶς κέχρηται τοῖς δεινοτάτοις τῶν Ἑλλήνων περὶ λόγους Ὀδυσσεῖ καὶ Φοίνικι; πῶς αὐτοὺς εὐστόμους πεποίηκε; ταῦτά σοι μόνα ἔχω εἰπεῖν. καὶ οὐδὲ ταῦτα προθύμως. διὰ τί; ὅτι με οὐκ ἠρέθισας. εἰς τί γὰρ ἀπιδὼν ἐρεθίσω, ὡς οἱ ἱππικοὶ περὶ τοὺς ἵππους τοὺς εὐφυεῖς. εἰς τὸ σωμάτιον; αἰσχρῶς αὐτὸ πλάσσεις. εἰς τὴν ἐσθῆτα; καὶ ταύτην τρυφερὰν ἔχεις. εἰς σχῆμα; εἰς βλέμμα; εἰς οὐδέν; ὅταν ἀκοῦσαι θέλῃς φιλοσόφου, μὴ λέγε αὐτῷ ὅτι οὐδέν μοι λέγεις. ἀλλὰ μόνον δεῖξον σαυτὸν τοῦ ἀκούειν ἄξιον ἢ ἐπιτήδειον, καὶ ὄψει πῶς κινήσεις τὸν λέγοντα.



### Πῶς ἀναγκαῖα τὰ λογικά. κέ.

Τῶν παρόντων δέ τινος εἰπόντος, πεῖσόν με ὅτι τὰ λογικὰ χρήσιμά ἐστι, θέλεις ἔφη ἀποδείξω σοι τοῦτο; ναί. οὐκοῦν λόγον με ἀποδεικτικὸν διαλεχθῆναι δεῖ. ὁμολογήσαντος δὲ, πόθεν οὖν εἴσῃ ἄν σε σοφίσωμαι. σιωπήσαντος δὲ τοῦ ἀνθρώπου, ὁρᾷς ἔφη πῶς αὐτὸς ὁμολογεῖς ὅτι ταῦτα ἀναγκαῖά ἐστιν, εἰ χωρὶς αὐτῶν οὐδ' αὐτὸ τοῦτο δύνασαι μαθεῖν, πότερον ἀναγκαῖα ἢ οὐκ ἀναγκαῖά ἐστιν.

### Τί τὸ ἴδιον τοῦ ἁμαρτήματος. κϛ'.

Πᾶν ἁμάρτημα μάχην περιέχει. ἐπεὶ γὰρ ὁ ἁμαρτάνων οὐ θέλει ἁμαρτάνειν, ἀλλὰ κατορθῶσαι, δῆλον ὅτι ὃ μὲν θέλει οὐ ποιεῖ. τί γὰρ ὁ κλέπτης θέλει πρᾶξαι. τὸ αὐτῷ συμφέρον. οὐκοῦν εἰ ἀσύμφορον αὐτῷ ἐστι τὸ κλέπτειν, ὃ μὲν θέλει, οὐ ποιεῖ; πᾶσα δὲ ψυχὴ λογικὴ φύσει διαβέβληται πρὸς μάχην. καὶ μέχρι μὲν ἂν μὴ παρακολουθῇ τούτῳ, ὅτι ἐν μάχῃ ἐστὶν, οὐδὲν κωλύεται τὰ μαχόμενα ποιεῖν. παρακολου-

θέλοντα δὲ, πολλὴ ἀνάγκη ἀποστῆναι τῆς μάχης. καὶ φεύγειν οὕτως, ὡς καὶ ἀπὸ τοῦ ψεύδους ἀνάγκη ἀνανεῦσαι, πικρὰ ἀνάγκη τῷ αἰσθανομένῳ ὅτι ψεῦδός ἐστι. μέχρι δ' ἂν τοῦτο οὐ φαντάζηται, ὡς ἀληθεῖ ἐπινεύει αὐτῷ. δεινὸς οὖν ἐν λόγῳ· ὁ δ' αὐτὸς καὶ προτρεπτικὸς καὶ ἐλεγκτικὸς, οὗτος ὁ δυνάμενος ἑκάστῳ παραδεῖξαι τὴν μάχην καθ' ἣν ἁμαρτάνει. καὶ σαφῶς παραστῆσαι πῶς ὃ θέλει οὐ ποιεῖ. καὶ ὃ μὴ θέλει ποιεῖ. ἂν γὰρ τοῦτο δείξῃ τις, αὐτὸς ἀφ' αὑτοῦ ἀποχωρήσει. μέχρι δὲ μὴ δεικνύῃς, μὴ θαύμαζε εἰ ἐπιμένει. κατορθώματος γὰρ φαντασίαν λαμβάνων, ποιεῖ αὐτό. διὰ τοῦτο καὶ Σωκράτης ταύτῃ τῇ δυνάμει πεποιθὼς, ἔλεγεν· ὅτι ἐγὼ ἄλλον μὲν οὐδένα εἴωθα παρέχειν μάρτυρα ὧν λέγω. ἀρκοῦμαι δ' ἀεὶ τῷ προσδιαλεγομένῳ. καὶ ἐκεῖνον ἐπιψηφίζω καὶ καλῶ μάρτυρα. καὶ εἷς ὢν οὗτος, ἀρκεῖ μοι ἀντὶ πάντων. ᾔδει γὰρ ὑπὸ τίνος λογικὴ ψυχὴ κινεῖται. ζυγῷ ἔπειτα ῥέψει, ἄν τε θέλῃ ἄν τε μή, λογικῷ ἡγεμονικῷ. δεῖξον μάχην, καὶ ἀποστήσεται. ἂν δὲ μὴ δεικνύῃς, αὐτὸν αὑτῷ μᾶλλον ἐγκάλει, ἢ τῷ μὴ πειθομένῳ.

Socrates Σ



Κεφάλαια τοῦ τρίτου βιβλίου.

α. Περὶ καλλωπισμοῦ.
β. Περὶ τίνα ἀσκεῖσθαι δεῖ τὸν προκόψοντα. καὶ ὅτι τῶν κυριωτάτων ἀμελοῦμεν.
γ. Τίς ὕλη τοῦ ἀγαθοῦ. καὶ πρὸς τί μάλιστα ἀσκητέον.
δ. Πρὸς τὸν ἀκόσμως ἐν θεάτρῳ σπουδάσαντα.
ε. Πρὸς τοὺς διὰ νόσον πλαττομένοις.
ς. Σποράδην τινά.
ζ. Πρὸς τὸν διορθωτὴν τῶν ἐλευθέρων πόλεων ἐπικούρειον ὄντα.
η. Πῶς πρὸς τὰς φαντασίας γυμναστέον.
θ. Πρός τινα ῥήτορα ἀνιόντα εἰς Ῥώμην ἐπὶ δίκῃ.
ι. Σποράδην τινά.
ια. Περὶ ἀσκήσεως.
ιβ. Τί ἐρημία, καὶ ποῖος ἔρημος.
ιγ. Σποράδην τινά,
ιδ. Ὅτι δεῖ περιεσκεμμένως ἔρχεσθαι ἐφ' ἕκαστα.
ιε. Ὅτι εὐλαβῶς δεῖ συγκαθιέναι εἰς συμπεριφοράς.
ις. Περὶ προνοίας.
ιζ. Ὅτι δεῖ πρὸς τὰς ἀγγελίας παρατάττεσθαι.
ιη. Τίς στάσις ἰδιώτου καὶ φιλοσόφου.

272
16 R

ιθ'. Ὅτι ἀπὸ πάντων τῶν ἐκτὸς ἔστιν ὠφελεῖσθαι.
κ'. Πρὸς τοὺς εὐκόλως ἐπὶ τὸ σοφιστεύειν ἐρχομένους.
κα'. Περὶ κυνισμοῦ.
κβ'. Πρὸς τοὺς ἀναγινώσκοντας καὶ διαλεγομένους ἐπιδεικτικῶς.
κγ'. Περὶ τοῦ μὴ δεῖν προσπάσχειν τοῖς οὐκ ἐφ' ἡμῖν.
κδ'. Πρὸς τοὺς ἀποπίπτοντας ὧν προέθεντο.
κε'. Πρὸς τοὺς τὴν ἀπορίαν δεδοικότας.

## Περὶ καλλωπισμοῦ. α'.

Εἰσιόντος τινὸς πρὸς αὐτὸν νεανίσκου ῥητορικοῦ περιεργότερον ἠσκημμένου τὴν κόμην, καὶ τὴν ἄλλην περιβολὴν κατακοσμοῦντος. εἰπέ μοι ἔφη, εἰ οὐ δοκεῖ σοι κύνες τ' εἶναι καλοί τινες καὶ ἵπποι, καὶ οὕτω τῶν ἄλλων ζῴων ἕκαστον. δοκοῦσιν ἔφη. οὐκοῦν καὶ ἄνθρωποι οἱ μὲν καλοί, οἱ δὲ αἰσχροί; πῶς γὰρ οὔ. πότερον οὖν κατὰ τὸ αὐτὸ ἕκαστα τούτων ἐν τῷ αὐτῷ γένει καλὰ προσαγορεύομεν, ἢ ἰδίως ἕκαστον. οὕτω δ' ὄψει αὐτό, ἐπειδὴ πρὸς ἄλλο μὲν ὁρῶμεν κύνα πεφυκότα. πρὸς ἄλλο δ' ἵππον. πρὸς ἄλλο δ' εἰ οὕτω τύχοι, ἀηδόνα. καθόλου μὲν οὐκ ἀτόπως ἀποφαίνοιτ' ἄν τις ἕκαστον τηνικαῦτα καλὸν εἶναι, ὁπότε κατὰ τὴν αὑτοῦ φύσιν κράτιστ' ἔχει. ἐπεὶ δ' ἡ φύσις ἑκάστου διάφορός ἐστι, διαφόρως εἶναί μοι δοκεῖ ἕκαστον αὐτῶν καλόν. ἢ γὰρ οὔ; ὡμολόγει. οὐκοῦν ὅπερ κύνα ποιεῖ καλόν, τοῦτο ἵππον αἰσχρόν. ὅπερ δ' ἵππον καλόν, τοῦτο κύνα αἰσχρόν. εἴ γε διάφοροι αἱ φύσεις εἰσὶν αὐτῶν. ἔοικε. καὶ γὰρ τὸ παγκρατιαστὴν οἶμαι ποιοῦν καλόν, τοῦτο παλαιστὴν οὐκ ἀγαθὸν ποιεῖ. δρομέα δὲ καὶ γελοιότατον. καὶ ὁ πρὸς ~~πένταθλον~~ καλός, ὁ αὐτὸς οὗτος πρὸς πάλην αἴσχιστος. οὕτως ἔφη. τί οὖν ποιεῖ ~~αὐτὸν~~ καλόν; ἢ ὅπερ τῷ γένει, καὶ κύνα καὶ ἵππον; τοῦτ' ἔφη. τί οὖν ποιεῖ κύνα καλόν; ἡ ἀρετὴ ἡ κυνὸς παροῦσα. τί ἵππον; ἡ ἀρετὴ ἵππου παροῦσα. τί οὖν ~~αὐτόν~~. μή ποθ' ἡ ἀρετὴ ἡ ~~αὐτοῦ~~ παροῦσα; καὶ σὺ οὖν εἰ θέλεις καλὸς εἶναι νεανίσκε, τοῦτο ἐκπόνει, τὴν ἀρετὴν τὴν ἀνθρωπικήν. τίς δ' ἐστὶν αὕτη. ὅρα τίνας αὐτὸς ἐπαινεῖς, ὅταν δίχα πάθους τινὰς ἐπαινῇς. πότερα τοὺς δικαίους, ἢ τοὺς ἀδίκους. τοὺς δικαίους. πότερον τοὺς σώφρονας, ἢ τοὺς ἀκολάστους. τοὺς σώφρονας. τοὺς ἐγκρατεῖς δ' ἢ τοὺς ἀκρατεῖς. τοὺς ἐγκρατεῖς. οὐκοῦν τοιοῦτόν τινα ποιῶν σαυτὸν ἴσθι ὅτι καλὸν ποιήσεις. μέχρι δ' ἂν τούτων ἀμελῇς, αἰσχρόν σε εἶναι ἀνάγκη, κἂν πάντα μηχανᾷ ὑπὲρ τοῦ φαίνεσθαί σε καλόν. ἐντεῦθεν οὐκέτι ἔχω σοι πῶς εἴπω. ἄν τε γὰρ λέγω ἃ φρονῶ, ἀνιάσω σε. καὶ ἐξελθὼν, τάχα οὐδ' εἰσελεύσῃ. ἄν τε μὴ λέγω,

ὅρα οἷον ποιήσω. σὺ μὲν ἔρχῃ πρὸς ἐμὲ ὠφελη-
θησόμενος, ἔργῳ δ' οὐκ ὠφελήσω σ' οὐδέν. καὶ σὺ
275 μὲν ὡς πρὸς φιλόσοφον, ἐγὼ δ' οὐδὲν ἐρῶ σοι ὡς
3 S φιλόσοφος. πῶς δὲ καὶ ἐμὸν ἦν πρὸς αὐτόν σε τὸ
περιιδεῖν ἀεὶ ἐπανόρθωτον. ἄν ποθ' ὕστερον φρένας
σχῇς, εὐλόγως μοι ἐγκαλέσεις. τί εἶδεν ἐν ἐμοὶ ὁ
Ἐ ἐπίκτητος, ἵνα βλέπων με τοιοῦτον εἰσερχόμενον
πρὸς αὐτὸν οὕτως αἰσχρῶς ἔχοντα, περιίδῃ. μηδέ-
ποτε μηδὲ ῥῆμα εἴπῃ. οὕτω μου ἀπέγνω; νέος
οὐκ ἤμην; οὐκ ἤμην λόγου ἀκουστικός; πόσοι δ' ἄλ-
λοι νέοι ἐφ' ἡλικίας πολλὰ τοιαῦτα διαμαρτά-
Polemō νουσι. τινά ποτ' ἀκούω πολέμωνα ἐξ ἀκολαστοτά- Π
του νεανίσκου τοσαύτην μεταβολὴν μεταβαλεῖν.
ἔστω. οὐκ ᾤετό με πολέμωνα ἔσεσθαι. τὴν μὲν κό- Π
μην ἠδύνατό μου διορθῶσαι. τὰ μὲν περιάμμα-
τά μου περιελεῖν. ψιλούμενόν με παῦσαι ἠδύνα-
το. ἀλλὰ βλέπων με τίνος εἴπω σχῆμα ἔχοντα, ἐ-
σιώπα. ἐγὼ οὐ λέγω τίνος ἐστὶ τὸ σχῆμα τοῦτο. σὺ
δ' αὐτὸ ἐρεῖς τόθ' ὅταν εἰς σαυτὸν ἔλθῃς. καὶ γνώσῃ
οἷόν ἐστι. τίνες αὐτὸ ἐπιτηδεύουσι. τοῦτό μοι ὕστε-
ρον ἂν ἐγκαλῇς, τί ἕξω ἀπολογήσασθαι; ναί. ἀλλ'
ἐρῶ καὶ οὐ πεισθήσεται. τῷ γὰρ ἀπόλλωνι ἐπεί- Α
Λάϊος σθη ὁ λάϊος; οὐκ ἀπελθὼν καὶ μεθυσθεὶς, χαίρειν Λ
276 εἶπε τῷ χρησμῷ; τί οὖν; παρὰ τοῦτο οὐκ εἶπεν αὐ-
τῷ ὁ ἀπόλλων τὰς ἀληθείας; καίτοι ἐγὼ μὲν οὐκ Α
4 S οἶδα, οὔτ' εἰ πεισθήσῃ μοι, οὔτ' εἰ μή. ἐκεῖνος δ' ἀκρι-





βέστατα ᾔδει ὅτι οὐ πεισθήσεται. καὶ ὅμως εἶπε.
διὰ τί δ' εἶπε; τί δὲ ἀπόλλων ἐστί; διὰ τί δὲ χρησμῳ- Α
δεῖ; διὰ τί δ' εἰς ταύτην τὴν χώραν ἑαυτὸν κατα-
τέταχεν, ὥστε μάντις εἶναι καὶ πηγὴ τῆς ἀληθείας,
καὶ πρὸς αὐτὸν ἔρχεσθαι τοὺς ἐκ τῆς οἰκουμένης;
διὰ τί δὲ προγέγραπται τὸ γνῶθι σαυτόν, μηδενὸς
Σ αὐτὸ νοοῦντος; σωκράτης πάντας ἔπειθε τοὺς προ- Socrates
σιόντας ἐπιμελεῖσθαι ἑαυτῶν; οὐδὲ τὸ χιλιοστὸν μέ-
ρος. ἀλλ' ὅμως ἐπειδὴ εἰς ταύτην τὴν τάξιν ὑπὸ
τοῦ δαιμονίου, ὥς φησιν αὐτός, κατετάχθη, μηκέτι
ἐξέλιπεν. ἀλλὰ καὶ πρὸς τοὺς δικαστὰς τί λέγει;
ἄν ἀφῆτε φησὶν ἐπὶ τούτοις, ἵνα μηκέτι ταῦτα
πράσσω ἃ νῦν, οὐκ ἀνέξομαι, οὐδ' ἀνήσω. ἀλλὰ καὶ
νέῳ καὶ πρεσβυτέρῳ, καὶ ἁπλῶς ἀεὶ τῷ ἐντυγ-
χάνοντι προσελθὼν πεύσομαι ταῦτα ἃ καὶ νῦν
πυνθάνομαι. πολὺ δὲ μάλιστα ὑμῶν φησὶ τῶν πο-
λιτῶν, ὅτι ἐγγυτέρω μου γένει ἐστέ. οὕτω περίερ-
γος εἶ ὦ σώκρατες καὶ πολυπράγμων; τί δέ σοι Σ
μέλει τί ποιοῦμεν. οἷον καὶ λέγεις. κοινωνός μου ὢν
καὶ συγγενής, ἀμελεῖς σεαυτοῦ καὶ τῇ πόλει παρέ-
χεις πολίτην κακόν. καὶ τοῖς συγγενέσι συγγενῆ.
καὶ τοῖς γείτοσι γείτονα. σὺ οὖν τίς εἶ; ἐνταῦθα μέ-
γα ἐστὶ τὸ εἰπεῖν ὅτι οὗτός εἰμι, ᾧ δεῖ μέλειν ἀνθρώ-
πων. οὐδὲ γὰρ λέοντι τὸ τυχὸν βοΐδιον τολμᾷ ἀν-
τιστῆναι αὐτῷ. ἂν δ' ὁ ταῦρος προσελθὼν ἀνθιστῆ-
ται, λέγε αὐτῷ ἂν σοι δόξῃ. σὺ δὲ τίς εἶ; καὶ τί σοι

μέλει. ἄνθρωπε ἐν παντὶ γένει φύεταί τι ἐξαίρετον· ἐν βουσίν· ἐν κυσίν· ἐν μελίσσαις· ἐν ἵπποις. μὴ δὴ λέγε τῷ ἐξαιρέτῳ, σὺ οὖν τίς εἶ; εἰ δὲ μὴ, ἐρεῖ σοι φωνὴν ποθὲν λαβόν· ἐγώ εἰμι τοιοῦτον, οἷον ἐν ἱματίῳ πορφύρα. μή μ' ἀξίου ὅμοιον εἶναι τοῖς ἄλλοις. ἢ τῇ φύσει μου μέμφου· ὅτι με διαφέροντα παρὰ τοὺς ἄλλους ἐποίησε. τί οὖν· ἐγὼ τοιοῦτος; πόθεν. σὺ γὰρ τοιοῦτος οἷος ἀκούειν τἀληθῆ; ὤφελον. ἀλλ' ὅμως ἐπεί περ κατεκρίθην πώγωνα ἔχειν πολιὸν, καὶ τρίβωνα, καὶ σὺ εἰσέρχῃ πρὸς ἐμὲ ὡς πρὸς φιλόσοφον, οὐ χρήσομαί σοι ὠμῶς οὐδ' ἀπογνωστικῶς. ἀλλ' ἐρῶ· νεανίσκε· τίνα θέλεις καλὸν ποιεῖν· γνῶθι πρῶτον τίς εἶ· καὶ οὕτω κόσμει σεαυτόν. ἄνθρωπος εἶ· τοῦτο δ' ἐστὶ θνητὸν ζῷον χρηστικὸν φαντασίαις λογικῶς. τὸ δὲ λογικῶς, τί ἐστι. φύσει ὁμολογουμένως καὶ τελέως. τί οὖν ἐξαίρετον ἔχεις τὸ ζῷον; οὔ. τὸ θνητόν; οὔ. τὸ χρηστικὸν φαντασίαις; οὔ. τὸ λογικὸν ἔχεις ἐξαίρετον. τοῦτο κόσμει καὶ καλλώπιζε. τὴν κόμην δ' ἄφες τῷ πλάσαντι ὡς αὐτὸς ἠθέλησεν. ἄγε τίνας ἄλλας ἔχεις προσηγορίας· ἀνὴρ εἶ, ἢ γυνή. ἀνήρ. ἄνδρα οὖν καλλώπιζε μὴ γυναῖκα. ἐκείνη φύσει λεία γέγονε καὶ τρυφερά. κἂν ἔχῃ τρίχας πολλὰς, τέρας ἐστί. καὶ ἐν τοῖς τέρασιν ἐν ῥώμῃ δείκνυται. τοῦτο δ' ἐπ' ἀνδρός ἐστι τὸ μὴ ἔχειν. κἂν μὲν φύσει μὴ ἔχῃ τέρας ἐστίν. ἂν δ' αὐτὸς ἑαυτοῦ ἐκκόπτῃ καὶ ἀποτίλλῃ, τί αὐτὸν ποιήσωμεν, ποῦ αὐτὸν δείξωμεν, καὶ τί προγράψομεν. δείξω ὑμῖν ἄνδρα ὃς θέλει μᾶλλον γυνὴ εἶναι ἢ ἀνήρ. ὢ δεινοῦ θεάματος. οὐδεὶς οὐχὶ θαυμάσει τὴν προγραφήν; νὴ τὸν δία οἶμαι, ὅτι αὐτοὶ οἱ τιλλόμενοι οὐ παρακολουθοῦντες ὅτι τοῦτ' αὐτό ἐστιν ὃ ποιοῦσι, ποιοῦσιν; ἄνθρωπε. τί ἔχεις ἐγκαλέσαι σου τῇ φύσει, ὅτι σε ἄνδρα ἐγέννησε; τί οὖν· πάσας ἔδει γυναῖκας γεννῆσαι; καὶ τί ἂν ὄφελος ἦν σοι τοῦ κοσμεῖσθαι. τίνι ἂν ἐκοσμοῦ, εἰ πάντες ἦσαν γυναῖκες. ἀλλ' οὐκ ἀρέσκει σοι τὸ πραγμάτιον; ὅλον δι' ὅλων αὐτὸ ποίησον. ἆρον. τί ποτ' ἐκεῖνο τὸ αἴτιον τῶν τριχῶν. ποίησον εἰς ἅπαντα σεαυτὸν γυναῖκα. ἵνα μὴ πλανώμεθα. μὴ τὸ μὲν ἥμισυ ἀνδρὸς, τὸ δ' ἥμισυ γυναικός. τίνι θέλεις ἀρέσαι. τοῖς γυναικαρίοις; ὡς ἀνὴρ αὐτοῖς ἀρέσκειν, ναί. ἀλλὰ τοῖς λείοις χαίρουσιν, οὐκ ἀπάγξῃ; καὶ εἰ τοῖς κιναίδοις ἔχαιρον, ἐγένου ἂν κίναιδος; τοῦτό σοι τὸ ἔργον ἐστίν; ἐπὶ τοῦτο ἐγεννήθης, ἵνα σοι αἱ γυναῖκες αἱ ἀκόλαστοι χαίρωσι; τοιοῦτόν σε θῶμεν πολίτην κορινθίων, κἂν οὕτω τύχῃ ἀστυνόμον, ἢ ἐφήβαρχον, ἢ στρατηγὸν, ἢ ἀγωνοθέτην; ἄγε. καὶ γαμήσας τίλλεσθαι μέλλεις; τίνι. καὶ ἐπὶ τί. καὶ παιδία ποιήσεις. εἶτα κἀκεῖνα τιλλόμενα ἡμῖν εἰσάξεις εἰς τὸ πολίτευμα; καλὸς πολίτης καὶ βουλευτὴς καὶ ῥήτωρ. τοιούτους δεῖ

νέοις δύνασθαι ἢ μὴν φύεσθαι καὶ ἀναστρέφεσθαι. μὴ τοὺς θεούς σοι νεμεσῆσαι. ἀλλ' ἅπαξ ἀκηκόας τῶν λόγων τούτων, ἀπελθὼν σεαυτῷ εἰπέ. ταῦτά μοι Ἐπίκτητος οὐκ εἴρηκε. πόθεν γὰρ ἐκεῖνος. ἀλλὰ θεός τις ποτ' εὐμενὴς δι' ἐκείνου. οὐδὲ γὰρ ἂν ἐπῆλθεν Ἐπικτήτῳ ταῦτα εἰπεῖν, οὐκ εἰωθότι λέγειν πρὸς οὐδένα. ἄγε οὖν τῷ θεῷ πεισθῶμεν. ἵνα μὴ θεοχόλωτοι ὦμεν. οὔ. ἀλλ' ἂν μὲν κόραξ κρώζων σημαίνῃ σοί τι, οὐχ ὁ κόραξ ἐστὶν ὁ σημαίνων, ἀλλ' ὁ θεὸς δι' αὐτοῦ. ἂν δὲ δι' ἀνθρωπίνης φωνῆς σημαίνῃ τι, τὸν ἄνθρωπον, οὐ ποιήσει λέγειν σοι ταῦτα. ἵνα γνοίης τὴν δύναμιν τοῦ δαιμονίου. ὅτι τοῖς μὲν οὕτως, τοῖς δ' ἐκείνως σημαίνει. περὶ δὲ τῶν μεγίστων καὶ κυριωτάτων, διὰ καλλίστου ἀγγέλου σημαίνει. τί ἐστιν ἄλλο ὃ λέγει ὁ ποιητής. ἐπεὶ οἱ προείπομεν ἡμεῖς, Ἑρμείαν πέμψαντες εὔσκοπον ἀργειφόντην, μήτ' αὐτὸν κτείνειν, μήτε μνάασθαι ἄκοιτιν. ὁ Ἑρμῆς καταβὰς, ἔμελλεν αὐτῷ λέγειν ταῦτα. καὶ σοὶ ταῦτα λέγουσι νῦν οἱ θεοί, Ἑρμείαν πέμψαντες διάκτορον ἀργειφόντην. μὴ ἐκρέφειν τὰ καλῶς ἔχοντα, μηδὲ περιεργάζεσθαι. ἀλλ' ἀφεῖναι τὸν ἄνδρα, ἄνδρα. τὴν γυναῖκα, γυναῖκα. τὸν καλὸν ἄνθρωπον, ὡς καλὸν ἄνθρωπον. τὸν αἰσχρὸν, ὡς ἄνθρωπον αἰσχρόν. ὅτι οὐκ εἶ κρέας. οὐδὲ τρίχες. ἀλλὰ προαίρεσις. ταύτην ἂν σχῇς καλὴν, τότ' ἔσῃ καλός. μέχρι δὲ νῦν οὐ τολμῶ σοι λέγειν ὅτι

αἰσχρὸς



αἰσχρὸς εἶ. δοκεῖς γάρ μοι πάντα θέλειν ἀκοῦσαι, ἢ τοῦτο. ἀλλ' ὅρα τί λέγει Σωκράτης τῷ καλλίστῳ πάντων καὶ ὡραιοτάτῳ Ἀλκιβιάδῃ. πειρῶ οὖν καλὸς εἶναι. τί αὐτῷ λέγει. πλάσσε σου τὴν κόμην καὶ τίλλε σου τὰ σκέλη; μὴ γένοιτο. ἀλλὰ κόσμει σου τὴν προαίρεσιν. ἔξαιρε τὰ φαῦλα δόγματα. τὸ σωμάτιον οὖν πῶς; ὡς πέφυκεν. ἄλλῳ τούτων ἐμέλησεν, ἐκείνῳ ἐπίτρεψον. τί οὖν; ἀκάθαρτον δεῖ εἶναι; μὴ γένοιτο. ἀλλ' ὃς εἶ καὶ πέφυκας, τοῦτο καθαρόν. ἄνδρα, ὡς ἄνδρα καθάριον εἶναι. γυναῖκα, ὡς γυναῖκα. παιδίον, ὡς παιδίον. οὔ. ἀλλὰ καὶ τοῦ λέοντος ἐκτίλλωμεν τὴν κόμην, ἵνα μὴ ἀκάθαρτος ᾖ. καὶ τοῦ ἀλεκτρυόνος τὸν λόφον. δεῖ γὰρ καὶ τοῦτον καθάριον εἶναι. ἀλλ' ὡς ἀλεκτρυόνα. καὶ ἐκεῖνον ὡς λέοντα. καὶ τὸν κυνηγετικὸν κύνα, ὡς κυνηγετικόν.

Περὶ τίνα ἀσκεῖσθαι δεῖ τὸν προκόψαντα. καὶ ὅτι τῶν κυριωτάτων ἀμελοῦμεν. β'.

Τρεῖς εἰσι τόποι περὶ οὓς ἀσκηθῆναι δεῖ, τὸν ἐσόμενον καλὸν καὶ ἀγαθόν. ὁ περὶ τὰς ὀρέξεις καὶ τὰς ἐκκλίσεις. ἵνα μήτ' ὀρεγόμενος ἀποτυγχάνῃ, μήτ' ἐκκλίνων περιπίπτῃ. ὁ περὶ τὰς ὁρμὰς καὶ ἀφορμάς. καὶ ἁπλῶς ὁ περὶ τὸ καθῆκον. ἵνα τάξει. ἵνα εὐλογίστως. ἵνα μὴ ἀμελῶς. τρίτος ἐστὶν ὁ περὶ τὴν ἀνεξαπατησίαν καὶ ἀνεικαιότητα.

Σ. Α. Socrates Alcibiades καλός.

280 8 S 282 10 S

ὁρμάς — ἀφορμάς

καὶ ὅλως ὁ περὶ τὰς συγκαταθέσεις. τούτων κυριώτατος, καὶ μάλιστα ἐπείγων ἐστὶν ὁ περὶ τὰ πάθη. πάθος γὰρ ἄλλως οὐ γίνεται, ἢ μὴ ὀρέξεως ἀποτυγχανούσης ἢ ἐκκλίσεως περιπιπτούσης. οὗτός ἐστιν ὁ ταραχάς, θορύβους, ἀτυχίας, ὁ δυστυχίας ἐπιφέρων. ὁ πένθη, οἰμωγάς, φθόνους, ὁ φθονερούς, ὁ ζηλοτύπους ποιῶν. δι᾽ ὧν οὐδ᾽ ἀκοῦσαι λόγου δυνάμεθα. δεύτερός ἐστιν ὁ περὶ τὸ καθῆκον. οὐ δεῖ γάρ με εἶναι ἀπαθῆ ὡς ἀνδριάντα. ἀλλὰ τὰς σχέσεις τηροῦντα τὰς φυσικὰς καὶ ἐπιθέτους, ὡς εὐσεβῆ, ὡς υἱόν. ὡς ἀδελφόν. ὡς πατέρα. ὡς πολίτην. τρίτος ἐστὶν ὁ ἤδη τοῖς προκόπτουσιν ἐπιβάλλων. ὁ περὶ τῆς αὐτῶν τούτων ἀσφαλείας. ἵνα μηδ᾽ ἐν ὕπνοις λάθῃ τις ἀνεξέταστος παρελθοῦσα φαντασία. μηδ᾽ ἐν οἰνώσει. μηδὲ μελαγχολῶντος. τοῦτο ὑπὲρ ἡμᾶς φησίν ἐστιν. οἱ δὲ νῦν φιλόσοφοι ἀφέντες τὸν πρῶτον τόπον καὶ τὸν δεύτερον, καταγίνονται περὶ τὸν τρίτον. μεταπίπτοντας, ἠρωτῆσθαι, περαίνοντας, ὑποθετικούς, ψευδομένοις. δεῖ γάρ φησι καὶ ἐν ταῖς ὕλαις ταύταις γενόμενον, διαφυλάξαι τὸ ἀνεξαπάτητον. τίνα; τὸν καλὸν καὶ ἀγαθόν. σοὶ οὖν τοῦτο λείπει.

283 | 11 S

τὰς ἄλλας ἐκπεπόνηκας. περὶ κερμάτιον ἀνεξαπάτητος εἶ. ἐὰν ἴδῃς κοράσιον καλόν, ἀντέχεις τῇ φαντασίᾳ. ἂν ὁ γείτων σου κληρονομήσῃ, οὐ δάκνῃ. νῦν οὐδὲν ἄλλό σοι λείπει, ἢ ἀμεταπτωσία. τάλας. αὐτὰ ταῦτα τρέμων μανθάνεις καὶ ἀγωνιῶν μή τις

μεταπίπτοντας



σου καταφρονήσῃ. καὶ πυνθανόμενος μή τίς τι περὶ σοῦ λέγῃ. κἄν τις ἐλθὼν εἴπῃ σοι. ὅτι λόγου γινομένου τίς ἄριστός ἐστι τῶν φιλοσόφων, παρών τις ἔλεγεν, ὅτι εἷς φιλόσοφος ὁ δεῖνα, γέγονέ σου τὸ ψυχάριον ἀντὶ δακτυλιαίου δίπηχυ. ἂν δ᾽ ἄλλος παρὼν εἴπῃ οὐδὲν εἴρηκας. οὐκ ἔστιν ἄξιον τοῦ δεῖνος ἀκροᾶσθαι, τί γὰρ οἶδε. τὰς πρώτας ἀφορμὰς ἔχει, πλέον δ᾽ οὐδέν, ἐξέστηκας. ὠχρίακας εὐθύς. κέκραγας. ἐγὼ αὐτῷ δείξω τίς εἰμι, ὅτι μέγας φιλόσοφος. βλέπεται ἐξ αὐτῶν τούτων τί θέλεις ἐξ ἄλλων δεῖξαι. οὐκ

Δ οἶδας ὅτι Διογένης τῶν σοφιστῶν τινα οὕτως ἔδειξεν ἐκτείνας τὸν μέσον δάκτυλον; εἶτα ἐκμανέντος αὐτοῦ, οὗτός ἐστιν ἔφη ὁ δεῖνα. ἔδειξα ὑμῖν αὐτόν. ἄνθρωπος γὰρ δακτύλῳ οὐ δείκνυται ὡς λίθος ἢ ὡς ξύλον. ἀλλ᾽ ὅταν τις τὰ δόγματα αὐτοῦ δείξῃ, τότε αὐτὸν ὡς ~~[illegible]~~ ἔδειξε. βλέπωμεν καὶ σοῦ τὰ — Diogenes — ἄνθρωπον

284 | 12 S

δόγματα. μὴ γὰρ οὐ δῆλόν ἐστιν ὅτι σὺ τὴν προαίρεσιν τὴν σαυτοῦ ἐν οὐδενὶ τίθεσαι, ἔξω δὲ βλέπεις εἰς τὰ ἀπροαίρετα. τί ἐρεῖ ὁ δεῖνα. καὶ τίς εἶναι δόξεις;

Χ Α ἢ φιλόλογος; ἢ Χρύσιππον ἀνέγνως, ἢ Ἀντίπα- — Chrysipp

Α τρον; εἰ μὲν γὰρ καὶ Ἀρχέδημον, ἀπέχεις ἅπαντα. — Antipate — Archedem

τί ἔτι ἀγωνιᾷς, μὴ οὐ δείξεις ἡμῖν τίς εἶ. θέλεις σοι εἴπω, τίνα ἡμῖν ἔδειξας, ἄνθρωπον παριόντα. ταπεινόν. μεμψίμοιρον. ὀξύθυμον. δειλόν. πάντα μεμφόμενον. πᾶσιν ἐγκαλοῦντα. μηδέποτε ἡσυχίαν ἄγοντα. πέρπερον. ταῦτα ἡμῖν ἔδειξας. ἄπελθε



πέρπερον. hesychii μετὰ βλακείας (ἐπαιρόμενος). adulatore

νῦν καὶ ἀναγίνωσκε Ἀρχέδημον. εἶτα μῦς ἂν καταπέσῃ καὶ ψοφήσῃ, ἀπέθανες. τοιοῦτος γάρ σε μένει θάνατος, οἷον καὶ τὸν τίνα ποτ' ἐκεῖνον τὸν Κρῖνιν. καὶ ἐκεῖνος μέγα ἐφρόνει ὅτι ἐνόει Ἀρχέδημον. τάλας. οὐ θέλεις ἀφεῖναι ταῦτα τὰ μηδὲν πρὸς σέ; πρέπει ταῦτα τοῖς δυναμένοις δίχα ταραχῆς αὐτὰ μανθάνειν. οἷς ἔξεστιν εἰπεῖν. οὐκ ὀργίζομαι. οὐ λυποῦμαι. οὐ φθονῶ. οὐ κωλύομαι. οὐκ ἀναγκάζομαι. τί μοι λοιπόν. σχολάζω. ἡσυχίαν ἄγω. ἴδωμεν πῶς περὶ τὰς μεταπτώσεις τῶν λόγων δεῖ ἀναστρέφεσθαι. ἴδωμεν πῶς ὑπόθεσίν τις λαβὼν, ἃς οὐδὲν ἄτοπον ἀπαχθήσεται. ἐκείνων ἐστὶ ταῦτα. τοῖς εὖ παθοῦσι προσήκει, πῦρ καίειν, ἀριστᾶν, ἂν οὕτω τύχῃ καὶ ᾄδειν, καὶ ὀρχεῖσθαι. βυθιζομένου δὲ τοῦ πλοίου, σύ μοι παρελθὼν ἐπαίρεις τοὺς σιφάρους. εἶδος αὐλοῦ, ὅς ἐστι φάρος. ἔστι δὲ εἶδος ἐμεσφορέως.

### Τίς ὕλη τοῦ ἀγαθοῦ. καὶ πρὸς τί μάλιστ' ἀσκητέον. γʹ.

Ὕλη τοῦ καλοῦ καὶ ἀγαθοῦ, τὸ ἴδιον ἡγεμονικόν. τὸ σῶμα δ' ἰατροῦ καὶ ἀπελάπτου. ὁ ἀγρὸς, γεωργοῦ ὕλη. ἔργον δὲ καλοῦ καὶ ἀγαθοῦ, τὸ χρῆσθαι ταῖς φαντασίαις κατὰ φύσιν. πέφυκε δὲ πᾶσα ψυχὴ ὥσπερ τῷ ἀληθεῖ ἐπινεύειν, πρὸς τὸ ψεῦδος ἀνανεύειν, πρὸς τὸ ἄδηλον ἐπέχειν, οὕτω πρὸς μὲν τὸ ἀγαθὸν ὀρεκτικῶς κινεῖσθαι, πρὸς δὲ τὸ κακὸν ἐκκλιτικῶς. πρὸς δὲ τὸ μήτ' ἀγαθὸν μήτε κακὸν, οὐδετέρως. ὡς γὰρ τὸ τοῦ καίσαρος νόμισμα οὐκ ἔξεστιν ἀποδοκιμάσαι τῷ τραπεζίτῃ, οὐδὲ τῷ λαχανοπώλῃ. ἀλλ' ἂν δείξῃς, θέλει οὐ θέλει, προέσθαι αὐτὸν δεῖ τὸ ἀντ' αὐτοῦ πωλούμενον. οὕτως ἔχει καὶ ἐπὶ τῆς ψυχῆς. τὸ ἀγαθὸν φανὲν, εὐθὺς ἐκίνησεν ἐφ' αὑτὸ, τὸ κακὸν ἀφ' αὑτοῦ. οὐδέποτε δ' ἀγαθοῦ φαντασίαν ἐναργῆ ἀποδοκιμάσει ψυχὴ, οὐ μᾶλλον ἢ τὸ καίσαρος νόμισμα. ἔνθεν ἐξήρτηται πᾶσα κίνησις καὶ ἀνθρώπου καὶ θεοῦ. διὰ τοῦτο πάσης οἰκειότητος, προκρίνεται τὸ ἀγαθόν. οὐδὲν ἐμοὶ καὶ τῷ πατρί. ἀλλὰ τῷ ἀγαθῷ. οὕτως εἶ σκληρός. οὕτω γὰρ πέφυκα. τοῦτό μοι τὸ νόμισμα δέδωκεν ὁ θεός. διὰ τοῦτο εἰ τοῦ καλοῦ καὶ δικαίου τὸ ἀγαθὸν ἕτερόν ἐστιν, οἴχεται καὶ πατὴρ καὶ ἀδελφὸς, καὶ πατρὶς, καὶ πάντα τὰ πράγματα. ἀλλ' ἐγὼ τὸ ἐμὸν ἀγαθὸν ὑπερίδω, ἵνα σὺ σχῇς, καὶ παραχωρήσω σοι; ἀντὶ τίνος. πατήρ σου εἰμί; ἀλλ' οὐκ ἀγαθόν. ἀδελφός σου εἰμί. ἀλλ' οὐκ ἀγαθόν. ἐὰν δ' ἐν ὀρθῇ προαιρέσει θῶμεν αὐτὸ τὸ τηρεῖν τὰς σχέσεις, ἀγαθὸν γίνεται. καὶ λοιπὸν ὁ τῶν ἐκτὸς τινῶν ἐκχωρῶν, οὗτος τοῦ ἀγαθοῦ τυγχάνει. αἴρει τὰ χρήματα ὁ πατήρ. ἀλλ' οὐ βλάπτει. ἕξει τὸ πλέον τοῦ ἀγροῦ ὅσον καὶ θέλει. μή τι οὖν τοῦ αἰδήμονος; μή τι τοῦ πιστοῦ; μή τι τοῦ φιλαδέλ-



μεταπλώσεις

θέλει οὐ θέλει. Veltnoht

φον· ἐκ ταύτης γὰρ τῆς οὐσίας, τίς δύναται ἐκβαλεῖν; οὐδ' ὁ θεός. οὐδὲ γὰρ ἠθέλησεν. ἀλλ' ἐπ' ἐμοὶ αὐτὸ ἐποίησε. καὶ ἔδωκεν οἷον εἶχεν αὐτός, ἀκώλυτον. ἀνανάγκαστον. ἀπαραπόδιστον. ὅταν οὖν ἄλλῳ ἄλλο τὸ νόμισμα ᾖ ἐκεῖνό τις δείξας, ἔχει τὸ ἀντ' αὐτοῦ πιπρασκόμενον. ἐλήλυθεν εἰς τὴν ἐπαρχίαν κλέπτης ἀνθύπατος. τίνι νομίσματι χρῆται. ἀργυρίῳ. δεῖξον καὶ ἀπόφερε ὃ θέλεις. ἐλήλυθε μοιχός. τίνι νομίσματι χρῆται. κορασιδίοις. λάβε φησὶ τὸ νόμισμα καὶ πώλησόν μοι τὸ πραγμάτιον. δὸς καὶ ἀγόραζε. ἄλλος περὶ παιδάρια ἐσπούδακε. δὸς αὐτῷ τὸ νόμισμα καὶ λάβε ὃ θέλεις. ἄλλος φιλόθηρος. δὸς ἱππάριον καλὸν ἢ κυνάριον, οἰμώζων καὶ στένων πωλήσει ἀντ' αὐτοῦ ὃ θέλεις. ἄλλος γὰρ αὐτὸν ἀναγκάζει ἔσωθεν, ὁ τὸ νόμισμα τοῦτο τεταχώς. πρὸς τοῦτο μάλιστα τὸ εἶδος αὑτὸν γυμναστέον. εὐθὺς ὄρθρον προελθών, ὃν ἂν ἴδῃς, ὃν ἂν ἀκούσῃς, ἐξέταζε. ἀποκρίνου ὡς πρὸς ἐρώτημα, τί εἶδες καλὸν ἢ καλήν. ἔπαγε τὸν κανόνα. ἀπροαίρετον, ἢ προαιρετικόν. ἀπροαίρετον. αἶρε ἔξω. τί εἶδες πενθοῦντ' ἐπὶ τέκνου τελευτῇ. ἔπαγε τὸν κανόνα. ὁ θάνατός ἐστιν ἀπροαίρετον. αἶρε ἐκ τοῦ μέσου. ἀπήντησέ σοι ὕπατος. ἔπαγε τὸν κανόνα. ὑπατεία ποῖόν τί ἐστιν. ἀπροαίρετον ἢ προαιρετικόν. ἀπροαίρετον. αἶρε καὶ τοῦτο. οὐκ ἔστι δόκιμον. ἀπόβαλε. οὐδὲν πρὸς σέ. καὶ τοῦτο



εἰ ἐποιοῦμεν καὶ πρὸς τοῦτο ἠσκούμεθα καθ' ἡμέραν ἐξ ὄρθρου μέχρι νυκτός, ἐγίνετο ἄν τι νὴ τοὺς θεούς. νῦν δ' εὐθὺς ὑπὸ πάσης φαντασίας κεχηνότες λαμβανόμεθα. καὶ μόνον, εἴπερ ἄρα ἐν τῇ σχολῇ μικρόν τι διεγειρόμεθα, εἶτ' ἐξελθόντες ἂν ἴδωμεν πενθοῦντα, λέγομεν ἀπόλετο. ἂν ὕπατον, μακάριος. ἂν ἐξωρισμένον, ταλαίπωρος. ἂν πένητα, ἄθλιος, οὐκ ἔχει πόθεν φάγῃ. ταῦτ' οὖν ἐκκόπτειν δεῖ τὰ πονηρὰ δόγματα. περὶ τοῦτο συντετάσθαι. τί γάρ ἐστι τὸ κλαίειν καὶ οἰμώζειν. δόγμα. τί δυστυχία. δόγμα. τί στάσις. τί διχόνοια. τί μέμψις. τί κατηγορία. τί ἀσέβεια. τί φλυαρία. ταῦτα πάντα δόγματά ἐστι. καὶ ἄλλο οὐδέν. καὶ δόγματα περὶ τῶν ἀπροαιρέτων, ὡς ὄντων ἀγαθῶν καὶ κακῶν. ταῦτά τις ἐπὶ τὰ προαιρετικὰ μεταθέτω. κἀγὼ αὐτὸν ἐγγυῶμαι ὅτι εὐσταθήσει, ὡς ἂν ἔχῃ τὰ περὶ αὐτόν. οἷόν ἐστιν ἡ λεκάνη τοῦ ὕδατος, τοιοῦτον ἡ ψυχή. οἷον ἡ αὐγὴ ἡ προσπίπτουσα τῷ ὕδατι, τοιοῦτον αἱ φαντασίαι. ὅταν οὖν τὸ ὕδωρ κινηθῇ, δοκεῖ μὲν καὶ ἡ αὐγὴ κινεῖσθαι, οὐ μέντοι κινεῖται. καὶ ὅταν τοίνυν σκοτωθῇ τις, οὐχ αἱ τέχναι καὶ αἱ ἀρεταὶ συγχέονται, ἀλλὰ τὸ πνεῦμα ἐφ' οὗ εἰσί. καταστάντος δέ, καθίσταται κἀκεῖνα.

## Πρὸς τὸν ἀκόσμως ἐν θεάτρῳ σπουδάσαντα.

Τοῦ δ᾽ ἐπιτρόπου τῆς ἠπείρου ἀκοσμότερον σπουδάσαντος κωμῳδῷ τινι καὶ ἐπὶ τούτῳ δημοσίᾳ λοιδορηθέντος, εἶτα ἑξῆς ἀπαγγείλαντος πρὸς αὐτὸν ὅτι ἐλοιδορήθη καὶ ἀγανακτοῦντος πρὸς τοὺς λοιδορήσαντας, καὶ τί κακὸν ἔφη ἐποίουν, ἐσπούδαζον καὶ οὗτοι ὡς καὶ σύ. εἰπόντος ἐκείνου οὕτως οὖν τις σπουδάζει; σὲ ἔφη βλέποντες τὸν αὐτῶν ἄρχοντα, τοῦ καίσαρος φίλον καὶ ἐπίτροπον οὕτω σπουδάζοντα, οὐκ ἔμελλον καὶ αὐτοὶ οὕτω σπουδάζειν; εἰ γὰρ μὴ δεῖ οὕτω σπουδάζειν, μηδὲ σὺ σπούδαζε. εἰ δὲ δεῖ, τί χαλεπαίνεις εἴ σε ἐμιμήσαντο. τίνας γὰρ ἔχουσι μιμήσασθαι οἱ πολλοί, ἢ τοὺς ὑπερέχοντας ὑμᾶς. εἰς τίνας ἀπίδωσιν ἐλθόντες εἰς τὰ θέατρα, ἢ ὑμᾶς. ὅρα πῶς ὁ ἐπίτροπος τοῦ καίσαρος θεωρεῖ. κέκραγε; κἀγὼ τοίνυν κραυγάσω. ἀναπηδᾷ; κἀγὼ ἀναπηδήσω. οἱ δοῦλοι αὐτοῦ διακάθηνται κραυγάζοντες; ἐγὼ δ᾽ οὐκ ἔχω δούλους. ἀντὶ πάντων αὐτὸς ὅσον δύναμαι κραυγάσω. εἰδέναι σε οὖν δεῖ ὅταν εἰσέρχῃ εἰς τὸ θέατρον, ὅτι κανὼν εἰσέρχῃ, καὶ παράδειγμα τοῖς ἄλλοις, πῶς αὐτοὺς δεῖ θεωρεῖν. τί οὖν σε ἐλοιδόρουν; ὅτι πᾶς ἄνθρωπος μισεῖ τὸ ἐμποδίζον. ἐκεῖνοι στεφανωθῆναι ἤθελον τὸν δεῖνα. σὺ ἕτερον. ἐκεῖνοί σοι



ἐνεπόδιζον. καὶ σὺ ἐκείνοις. σὺ εὑρίσκου ἰσχυρότερος. ἐκεῖνοι ὃ ἐδύναντο ἐποίουν. ἐλοιδόρουν τὸ ἐμποδίζον. τί οὖν θέλεις. ἵνα σὺ μὲν ποιῇς ὃ θέλεις, ἐκεῖνοι μηδ᾽ εἴπωσιν ἃ θέλουσι; καὶ τί θαυμαστόν; οἱ γεωργοὶ τὸν δία οὐ λοιδοροῦσιν ὅταν ἐμποδίζωνται ὑπ᾽ αὐτοῦ; οἱ ναῦται οὐ λοιδοροῦσι; τὸν καίσαρα παύονται λοιδοροῦντες; τί οὖν. οὐ γινώσκει ὁ ζεύς; τῷ καίσαρι οὐκ ἀπαγγέλλονται τὰ λεγόμενα; τί οὖν ποιεῖ. οἶδεν ὅτι ἂν πάντας τοὺς λοιδοροῦντας κολάζῃ, οὐχ ἕξει τίνων ἄρξει. τί οὖν ἔδει εἰσερχόμενον εἰς τὸ θέατρον τοῦτο εἰπεῖν, ἄγε ἵνα σώφρων στεφανωθῇ; ἀλλ᾽ ἐκεῖνο. ἄγε ἵνα τηρήσω τὴν ἐμαυτοῦ προαίρεσιν ἐπὶ ταύτης τῆς ὕλης κατὰ φύσιν ἔχουσαν. ἐμοὶ παρ᾽ ἐμὲ φίλτερος οὐδείς. γελοῖον οὖν ἵν᾽ ἄλλος νικήσῃ κωμῳδῶν, ἐμὲ βλάπτεσθαι. τίνα οὖν θέλω νικῆσαι. τὸν νικῶντα. καὶ οὕτως ἀεὶ νικήσω ὃν θέλω. ἀλλὰ θέλω στεφανωθῆναι σώφρονα. ἐν οἴκῳ ὅσους θέλεις ἀγῶνας ἄγων ἀνακήρυξον αὐτὸν νέμεα. πύθια. ἴσθμια. ὀλύμπια. ἐν φανερῷ δὲ μὴ πλεονέκτει, μηδ᾽ ὑφάρπαλε τὸ κοινόν. εἰ δὲ μή, ἀνέχου λοιδορούμενος. ὡς ὅταν ταὐτὰ ποιῇς τοῖς πολλοῖς εἰς ἴσον ἐκείνοις καθιστᾷς σαυτόν.

## Πρὸς τοὺς διὰ νόσον πλαττομένους.

Νόσῳ φησὶν ἐνθάδε. καὶ βούλομαι ἀπιέναι εἰς οἶκον. ἐν οἴκῳ γὰρ ἄνοσος ἦς σύ. οὐ σκο-

ὑφάρπαζε

πάρεσ' εἴ τι ποιεῖς ἐνθάδε τῶν πρὸς τὴν προαίρεσιν τὴν σαυτοῦ φερόντων, ἵν' ἐπανορθωθῇ; εἰ μὲν γὰρ μηδὲν ἀνύεις, περισσῶς καὶ ἦλθες. ἄπιθι, ἐπιμελοῦ τῶν ἐν οἴκῳ. εἰ γὰρ μὴ δύναταί σου τὸ ἡγεμονικὸν σχεῖν κατὰ φύσιν, τό γ' ἀγρίδιον δυνήσεται. τό γε κερμάτιον αὐξήσεις. τὸν πατέρα γηροκομήσεις. ἐν τῇ ἀγορᾷ ἀναστραφήσῃ. ἄρξεις κακὸς κακῶς. τί ποτε ποιήσεις τῶν ἑξῆς. εἰ δὲ παρακολουθεῖς σαυτῷ ὅτι ἀποβάλλεις τινὰ δόγματα φαῦλα, καὶ ἄλλα ἀντ' αὐτῶν ἀναλαμβάνεις, καὶ τὴν σαυτοῦ στάσιν μετατέθεικας ἀπὸ τῶν ἀπροαιρέτων ἐπὶ τὰ προαιρετικά. κἄν ποτ' εἴπῃς οἴμοι, οὐ λέγεις διὰ τὸν πατέρα, διὰ τὸν ἀδελφὸν, ἀλλὰ δι' ἐμέ. ἔτι ὑπολογίζῃ νόσον. οὐκ οἶδας ὅτι καὶ νόσος καὶ θάνατος καταλαβεῖν ἡμᾶς ὀφείλουσι; τί ποιοῦντας; τὸν γεωργὸν γεωργοῦντα καταλαμβάνουσι. τὸν ναυτικὸν πλέοντα. σὺ τί θέλεις ποιῶν καταληφθῆναι. τί ποτε μὲν γὰρ ποιοῦντά σε δεῖ καταληφθῆναι, εἴ τι ἔχεις τούτου κρεῖσσον ποιῶν καταληφθῆναι, ποίει ἐκεῖνο. ἐμοὶ μὲν γὰρ καταληφθῆναι γένοιτο, μηδενὸς ἄλλου ἐπιμελουμένῳ, ἢ τῆς προαιρέσεως τῆς ἐμῆς. ἵν' ἀπαθής. ἵν' ἀκώλυτος. ἵν' ἀνανάγκαστος. ἵν' ἐλεύθερος. ταῦτα ἐπιτηδεύων θέλω εὑρεθῆναι. ἵν' εἰπεῖν δύνωμαι τῷ θεῷ μή τι παρέβην σου τὰς ἐντολάς; μή τι πρὸς ἄλλα ἐχρησάμην ταῖς ἀφορμαῖς ἃς ἔδωκας; μή τι ταῖς αἰσθήσεσιν ἄλλως; μή τι ταῖς

γηροκομήσεις

292

4 I

ἀνανάγκαστος



προλήψεσι; μή τί σοί ποτ' ἐνεκάλεσα; μή τι ἐμεμψάμην σου τὴν διοίκησιν; ἐνόσησα ὅτε ἠθέλησας. καὶ οἱ ἄλλοι. ἀλλ' ἐγὼ ἑκών. πένης ἐγενόμην σοῦ θέλοντος. ἀλλὰ χαίρων. οὐκ ἦρξα. ὅτι σὺ οὐκ ἠθέλησας. οὐδέποτ' ἐπεθύμησα ἀρχῆς. μή τί με τούτου ἕνεκα στυγνότερον εἶδες; μὴ οὐ προσῆλθόν σοι ποτὲ φαιδρῷ τῷ προσώπῳ ἕτοιμος εἴ τι ἐπιτάσσεις; εἴ τι σημαίνεις; νῦν με θέλεις ἀπελθεῖν ἐκ τῆς πανηγύρεως; ἄπειμι. χάριν σοι ἔχω πᾶσαν, ὅτι ἠξίωσάς με συμπανηγυρίσαι σοι. καὶ ἰδεῖν ἔργα τὰ σὰ καὶ τῇ διοικήσει σου συμπαρακολουθῆσαί σοι. ταῦτά με ἐνθυμούμενον, ταῦτα γράφοντα, ταῦτα ἀναγινώσκοντα καταλάβοι ὁ θάνατος. ἀλλ' ἡ μήτηρ μου τὴν κεφαλὴν νοσοῦντος οὐ κρατήσει. ἄπιθι τοίνυν πρὸς τὴν μητέρα. ἄξιος γὰρ εἶ τὴν κεφαλὴν κρατούμενος νοσεῖν. ἀλλ' ἐπὶ κλιναρίου κομψοῦ ἐν οἴκῳ κατεκείμην. ἄπιθί σου ἐπὶ τὸ κλινάριον. ἢ ὑγιαίνων ἄξιος εἶ ἐπὶ τοιούτου κατακεῖσθαι. μὴ τοίνυν ἀπόλλυε ἃ δύνασαι ἐκεῖ ποιεῖν. ἀλλ' ὁ Σωκράτης τί λέγει; ὥσπερ ἄλλος τις φησὶ χαίρει τὸν ἀγρὸν τὸν αὑτοῦ ποιῶν κρείσσονα, ἄλλος τὸν ἵππον, οὕτως ἐγὼ καθ' ἡμέραν χαίρω παρακολουθῶν ἐμαυτῷ βελτίονι γινομένῳ. πρὸς τί. μή τι πρὸς λεξείδια; ἄνθρωπε εὐφήμει. μή τι πρὸς θεωρημάτια; τί ποιεῖς. καὶ μὴν οὐ βλέπω τί ἐστιν ἄλλο περὶ ὃ ἀσχολοῦνται οἱ φιλόσοφοι. οὐ-

στυγνότερ

Σ

Socrate

δέν σοι δοκεῖ εἶναι τὸ μηδέποτ' ἐγκαλέσαι τινί· μὴ θεῷ, μὴ ἀνθρώπῳ· μὴ μέμψασθαι μηδένα· τὸ αὐτὸ πρόσωπον ἀεὶ καὶ ἐκφέρειν καὶ εἰσφέρειν; ταῦτα ἦν ἃ ᾔδει Σωκράτης· καὶ ὅμως οὐδέποτε εἶπεν ὅτι οἶδέ τι ἢ διδάσκει. εἰ δέ τις λεξείδια ᾔτει ἢ θεωρημάτια, ἀπῆγε πρὸς Πρωταγόραν, πρὸς Ἱππίαν. καὶ γὰρ εἰ λάχανά τις ζητῶν ἐληλύθει, πρὸς τὸν κηπουρὸν ἂν αὐτὸν ἀπήγαγε. τίς οὖν ὑμῶν ἔχει ταύτην τὴν ἐπιβολήν; ἐπεί τοι εἰ εἴχετε, καὶ ἐνοσεῖτε ἂν ἡδέως, καὶ ἐπεινῆτε, καὶ ἀπεθνήσκετε. εἴ τις ὑμῶν ἠράσθη κορασίου κομψοῦ, οἶδεν ὅτι ἀληθῆ λέγω.

Σποράδην τινά. ς.

Πυθομένου δέ τινος πῶς νῦν μᾶλλον ἐκπεπονημένου τοῦ λόγου, πότερον μείζονες προκοπαὶ ἦσαν. κατὰ τί, ἔφη, ἐκπεπόνηται, καὶ κατὰ τί μείζους αἱ προκοπαὶ τότε ἦσαν. καθὸ γὰρ νῦν ἐκπεπόνηται, κατὰ τοῦτο καὶ προκοπαὶ νῦν εὑρεθήσονται. καὶ νῦν μὲν ὥστε συλλογισμοὺς ἀναλύειν ἐκπεπόνηται, καὶ προκοπαὶ γίνονται. τότε δὲ ὥστε τὸ ἡγεμονικὸν κατὰ φύσιν ἔχον τηρῆσαι, καὶ ἐξεπονεῖτο καὶ προκοπαὶ ἦσαν. μὴ οὖν ἐναλλάσσετε, μηδὲ ζήτει ὅταν ἄλλο ἐκπονῇς, ἐν ἄλλῳ προκόπτειν. ἀλλ' ἴδε εἴ τις ἡμῶν πρὸς τούτῳ ὢν ὥστε καὶ κατὰ φύσιν ἔχειν καὶ διεξάγειν, οὐ προκόπτει, οὐδένα γὰρ εὑρήσεις. ὁ σπουδαῖος ἀήττη-



τος. ἢ γὰρ οὐκ ἀγωνίζεται ὅπου μὴ κρείσσων· εἰ μὴ ὅπου κρείσσων ἐστίν. εἰ τὰ κατὰ τὸν ἀγρὸν θέλεις, λάβε· τοὺς οἰκέτας, λάβε· τὴν ἀρχήν, λάβε· τὸ σωμάτιον. τὴν δὲ ὄρεξιν οὐ ποιήσεις ἀποτευκτικήν, οὐδὲ τὴν ἔκκλισιν περιπτωτικήν. εἰς τοῦτον μόνον τὸν ἀγῶνα καθίησι τὸν περὶ τῶν προαιρετικῶν· πῶς οὖν οὐ μέλλει ἀήττητος εἶναι; πυθομένου δέ τινος τί ἐστιν ὁ κοινὸς νοῦς, ὥσπερ φησὶ κοινή τις ἀκοὴ λέγοιτ' ἄν, ἡ μόνον φωνῶν διακριτική, ἡ δὲ τῶν φθόγγων οὐκέτι κοινὴ ἀλλὰ τεχνική, οὕτως ἔστι τινὰ ἃ οἱ μὴ παντάπασι διεστραμμένοι τῶν ἀνθρώπων, κατὰ τὰς κοινὰς ἀφορμὰς ὁρῶσιν. ἡ τοιαύτη κατάστασις, κοινὸς νοῦς καλεῖται. τῶν νέων τοὺς μαλακούς, οὐκ ἔστι προτρέψαι ῥᾴδιον. οὐδὲ γὰρ τυρὸν ἀγκίστρῳ λαβεῖν. οἱ δ' εὐφυεῖς, κἂν ἀποτρέπῃς, ἔτι μᾶλλον ἔχονται τοῦ λόγου. διὸ καὶ ὁ Ῥοῦφος τὰ πολλὰ ἀπέτρεπε, τούτῳ δοκιμαστηρίῳ χρώμενος τῶν εὐφυῶν καὶ ἀφυῶν. ἔλεγε γὰρ ὅτι ὡς ὁ λίθος κἂν ἀναβάλῃς, ἐνεχθήσεται κάτω ἐπὶ τὴν αὐτοῦ κατασκευήν, οὕτω καὶ ὁ εὐφυής, ὅσῳ μᾶλλον ἀποκρούεταί τις αὐτόν, τοσούτῳ μᾶλλον νεύει ἐφ' ὃ πέφυκεν.

Πρὸς τὸν διορθωτὴν τῶν ἐλευθέρων πόλεων ἐπικούρειον ὄντα. ζ.

Τοῦ διορθωτοῦ εἰσελθόντος πρὸς αὐτόν, ἦν δ' οὗτος ἐπικούρειος, ἄξιον ἔφη τοὺς ἰδιώτας

∴ κατασκευήν. proprie locus

ἡμᾶς, παρ' ὑμῶν τῶν φιλοσόφων πυνθάνεσθαι. καθάπερ τοὺς εἰς ξένην πόλιν ἐλθόντας, παρὰ τῶν πολιτῶν καὶ εἰδότων, τί κράτιστόν ἐστιν ἐν κόσμῳ. ἵνα καὶ αὐτοὶ ἱστορήσαντες μετίωμεν, ὡς ἐκεῖνοι τὰ ἐν ταῖς πόλεσι, καὶ θεώμεθα. ὅτι μὲν γὰρ τρία ἐστὶ περὶ τὸν ἄνθρωπον, ψυχὴ καὶ σῶμα καὶ τὰ ἐκτός, σχεδὸν οὐδεὶς ἀντιλέγει. λοιπὸν ὑμέτερόν ἐστιν ἀποκρίνασθαι, τί ἐστι τὸ κράτιστον. τί ἐροῦμεν τοῖς ἀνθρώποις. τὴν σάρκα. καὶ διὰ ταύτην Μάξιμος ἔπλευσε μέχρι Κασσιόπης χειμῶνος μετὰ τοῦ υἱοῦ προπέμπων, ἵν' ἡσθῇ τῇ σαρκί; ἀρνησαμένου δ' ἐκείνου καὶ εἰπόντος μὴ γένοιτο. οὐ προσήκει περὶ τὸ κράτιστον ἐσπουδακέναι; πάντων μάλιστα προσήκει. τί οὖν κρεῖσσον ἔχομεν τῆς σαρκός; τὴν ψυχήν ἔφη. ἀγαθὰ δὲ τὰ τοῦ κρατίστου κρείττονά ἐστιν, ἢ τὰ τοῦ φαυλοτέρου. τὰ τοῦ κρατίστου. ψυχῆς δὲ ἀγαθὰ πότερον προαιρετικά ἐστιν, ἢ ἀπροαίρετα. προαιρετικά. προαιρετικὸν οὖν ἐστιν ἡ ἡδονὴ ἡ ψυχική; ἔφη. αὕτη δ' ἐπὶ τίσι γίνεται, πότερον ἐφ' αὑτῇ; ἀλλ' ἀδιανόητόν ἐστι. προηγουμένην γάρ τινα ὑφεστάναι δεῖ οὐσίαν τοῦ ἀγαθοῦ. ἧς τυγχάνοντες, ἡσθησόμεθα κατὰ ψυχήν. ὡμολόγει καὶ τοῦτο. ἐπὶ τίνι οὖν ἡ ἡσθησόμεθα ταύτην τὴν ψυχικὴν ἡδονήν. εἰ γὰρ ἐπὶ τοῖς ἀγαθοῖς, εὕρηται ἡ οὐσία τοῦ ἀγαθοῦ. οὐ γὰρ δύναται ἄλλο μὲν εἶναι ἀγαθόν, ἄλλο δ' ἐφ' ᾧ εὐλόγως ἐπαιρόμεθα. οὐδὲ τοῦ προηγουμένου μὴ

Μ
Κ

Maxim
Cassiope



ὄντος ἀγαθοῦ, τὸ ἐπιγέννημα ἀγαθὸν εἶναι. ἵνα γὰρ εὔλογον ᾖ τὸ ἐπιγέννημα, τὸ προηγούμενον δεῖ ἀγαθὸν εἶναι. ἀλλ' οὐ μὴ εἴπητε φρένας ἔχοντες. ἀνακόλουθα γὰρ ἐρεῖτε καὶ Ἐπικούρῳ, καὶ τοῖς ἄλλοις ὑμῶν δόγμασιν. ὑπολείπεται λοιπὸν ἐπὶ τοῖς σωματικοῖς ἥδεσθαι τὴν κατὰ ψυχὴν ἡδονήν. πάλιν ἐκεῖνα γίνεται προηγούμενα καὶ οὐσία τοῦ ἀγαθοῦ. διὰ τοῦτο ἀφρόνως ἐποίησε Μάξιμος, εἰ δι' ἄλλο τι ἔπλευσεν, ἢ διὰ τὴν σάρκα, τουτέστι διὰ τὸ κράτιστον. ἀφρόνως δὲ ποιεῖ, καὶ εἰ ἀπέχεται τῶν ἀλλοτρίων, δικαστὴς ὢν καὶ δυνάμενος λαμβάνειν. ἀλλ' ἄν σοι δόξῃ, ἐκεῖνο μόνον σκεπτώμεθα, ἵνα κεκρυμμένως. ἵν' ἀσφαλῶς. ἵνα μή τις γνῷ. τὸ γὰρ κλέψαι, οὐδ' αὐτὸς ὁ Ἐπίκουρος ἀποφαίνει κακόν, ἀλλὰ τὸ ἐμπεσεῖν, καὶ ὅτι πίστιν περὶ τοῦ λαθεῖν λαβεῖν ἀδύνατον, διὰ τοῦτο λέγει μὴ κλέπτετε. ἀλλ' ἐγώ σοι λέγω ὅτι ἐὰν κομψῶς καὶ περιεσταλμένως γίνηται, λησόμεθα. εἶτα καὶ φίλοις ἐν τῇ Ῥώμῃ ἔχομεν δυνατούς. καὶ φιλίας. καὶ οἱ Ἕλληνες ἀδρανεῖς εἰσιν. οὐδεὶς τολμήσει ἀναβιῶσαι τούτου ἕνεκα. τί ἀπέχῃ τοῦ ἰδίου ἀγαθοῦ. ἄφρον ἐστὶ τοῦτο, ἠλίθιόν ἐστιν. ἀλλ' οὐδ' ἂν λέγῃς μοι ὅτι ἀπέχῃ, πιστεύσω σοι. ὡς γὰρ ἀδύνατόν ἐστι τῷ ψευδεῖ φαινομένῳ συγκατατίθεσθαι καὶ ἀπὸ τοῦ ἀληθοῦς ἀπονεῦσαι, οὕτως ἀδύνατόν ἐστι τοῦ φαινομένου ἀγαθοῦ ἀποστῆναι. ὁ πλοῦτος δ' ἀγαθόν. καὶ

Ε
Μ
298
10 T
Ε
Ρ Ε

299

11 T

τὸ ποιητικώτατόν γε τῶν ἡδονῶν. διατί μὴ περιποιήσῃ αὐτόν. διατί δὲ μὴ τὴν τοῦ γείτονος γυναῖκα διαφθείρωμεν, ἂν δυνώμεθα λαθεῖν. ἂν δὲ φλυαρῇ ὁ ἀνήρ, καὶ αὐτὸν προσεκτραχηλίσωμεν. εἰ θέλεις εἶναι φιλόσοφος οἷος δεῖ, εἴ γε τέλειος, εἰ ἀκολουθῶν σου τοῖς δόγμασιν. εἰ δὲ μή, οὐδὲν διοίσεις ἡμῶν τῶν λεγομένων στωϊκῶν. καὶ αὐτοὶ γὰρ ἄλλα λέγομεν. ἄλλα δὲ ποιοῦμεν. ἡμεῖς λέγομεν τὰ καλά. ποιοῦμεν τὰ αἰσχρά. σὺ τὴν ἐναντίαν διαστροφὴν ἔσῃ διεστραμμένος. δογματίζων τὰ καλά, ποιῶν τὰ αἰσχρά. τὸ θεόν σοι. ἐννοεῖς ἐπικουρείων πόλιν. ἐγὼ οὐ γαμῶ. οὐδ᾽ ἐγώ. οὐ γὰρ γαμητέον. ἀλλ᾽ οὐδὲ παιδοποιητέον. ἀλλ᾽ οὐδὲ πολιτευτέον. τί οὖν γένηται. πόθεν οἱ πολῖται. τίς αὐτοὺς παιδεύσει. τίς ἐφήβαρχος. τίς γυμνασίαρχος. τί δὲ καὶ παιδεύσει αὐτούς. ἃ λακεδαιμόνιοι ἐπαιδεύοντο, ἢ ἀθηναῖοι. λάβε μοι νέον. ἄγαγε κατὰ τὰ δόγματά σου. πονηρά ἐστι τὰ δόγματα. ἀνατρεπτικὰ πόλεως. λυμαντικὰ οἴκων. οὐδὲ γυναιξὶ πρέποντα. ἄφες ταῦτα ἄνθρωπε, ζῇς ἐν ἡγεμονευούσῃ πόλει. ἄρχειν σε δεῖ. κρίνειν δικαίως. ἀπέχεσθαι τῶν ἀλλοτρίων. σοὶ καλὴν γυναῖκα φαίνεσθαι μηδεμίαν ἢ τὴν σήν. καλὸν παῖδα μηδένα. καλὸν ἀργύρωμα μηδέν. χρύσωμα μηδέν. τούτοις σύμφωνα δόγματα ζήτησον. ἀφ᾽ ὧν ὁρμώμενος, ἡδέως ἀφέξῃ πραγμάτων. οὕτω πιθανῶν πρὸς τὸ ἀγαγεῖν καὶ νικῆσαι. ἂν δὲ πρὸς

Λ Ἀ

ἄνθρωπε





300

12 T

τῇ πιθανότητι τῇ ἐκείνων καὶ φιλοσοφίαν τινά ποτε ταύτην ἐξευρηκότες ὦμεν, συνεπωθοῦσαν ἡμᾶς ἐπ᾽ αὐτὰ καὶ ἐπιρρωννύουσαν, τί ἂν γένηται. ἐν τῷ ῥεύματι τί κράτιστόν ἐστιν, ὁ ἄργυρος, ἢ ἡ τέχνη. χειρὸς, οὐσία μὲν ἡ σάρξ. προηγούμενα δὲ, τὰ χειρὸς ἔργα. οὐκοῦν καὶ καθήκοντα τριττά. τὰ μὲν πρὸς τὸ εἶναι. τὰ δὲ, πρὸς τὸ ποιὰ εἶναι. τὰ δ᾽ αὐτὰ τὰ προηγούμενα. οὕτω καὶ ἀνθρώπου οὐ τὴν ὕλην δεῖ τιμᾶν, τὰ σαρκίδια. ἀλλὰ τὰ προηγούμενα. τίνα ἐστὶ ταῦτα. πολιτεύεσθαι. γαμεῖν. παιδοποιεῖσθαι. θεὸν σέβειν. γονέων ἐπιμελεῖσθαι. καθόλου ὀρέγεσθαι. ἐκκλίνειν. ὁρμᾶν. ἀφορμᾶν. ὡς ἕκαστον τούτων δεῖ ποιεῖν. ὡς πεφύκαμεν. πεφύκαμεν δὲ πῶς. ὡς ἐλεύθεροι. ὡς γενναῖοι. ὡς αἰδήμονες. ποῖον γὰρ ἄλλο ζῷον ἐρυθριᾷ. ποῖον αἰσχροῦ φαντασίαν λαμβάνει. τὴν δ᾽ ἡδονὴν ὑποτάξαι τούτοις ὡς διάκονον. ὡς ὑπηρέτιν. ἵνα προθυμίαν ἐκκαλέσηται. ἵν᾽ ἐν τοῖς κατὰ φύσιν ἔργοις παρακρατῇ. ἀλλ᾽ ἐγὼ πλούσιός εἰμι, καὶ οὐδενὸς χρεία μοι ἐστί. τί οὖν ἔτι προσποιῇ φιλοσοφεῖν. ἀρκεῖ τὰ χρυσώματα καὶ τὰ ἀργυρώματα. τί σοι χρεία δογμάτων. ἀλλὰ καὶ κριτής εἰμι τῶν ἑλλήνων. οἶδας κρίνειν. τί σε ἐποίησεν εἰδέναι. καῖσαρ μοι κωδίκελλον ἔγραψε. γραψάτω σοι ἵνα κρίνῃς περὶ τῶν μουσικῶν. καὶ τί σοι ὄφελος. ὅμως δὲ πῶς κριτὴς ἐγένου. τὴν τίνος χεῖρα καταφιλήσας. τὴν συμφο-

Ἑ

Κ

Σ



κωδίκελλον codicillū

φόρον. ἢ τὴν σουμμίων. τίνος πρὸ τοῦ κοιτῶνος κοιμηθείς. τινὶ πέμψας δῶρα. εἶτα οὐκ αἰσθάνῃ ὅτι τοσοῦτον ἄξιόν ἐστι κριτὴν εἶναι, ὅσον σουμμίωος; ἀλλὰ δύναμαι ὃν θέλω, εἰς φυλακὴν βαλεῖν. ὡς λίθον. ἀλλὰ δύναμαι ξυλοκοπῆσαι ὃν θέλω. ὡς ὄνον. οὐκ ἔστι τοῦτο ἀνθρώπων ἀρχή. ὡς λογικῶν ἡμῶν ἄρξον, δεικνὺς ἡμῖν τὰ συμφέροντα. καὶ ἀκολουθήσομεν. δείκνυε τὰ ἀσύμφορα, καὶ ἀποστραφησόμεθα. ζηλωτὰς ἡμᾶς κατασκεύασον σεαυτοῦ, ὡς σωκράτης ἑαυτοῦ. ἐκεῖνος ἦν ὁ ὡς ἀνθρώπων ἄρχων. ὁ κατεσκευακὼς ὑποτεταχότας αὐτῷ τὴν ὄρεξιν τὴν αὐτῶν. τὴν ἔκκλισιν. τὴν ὁρμήν. τὴν ἀφορμήν. τοῦτο ποίησον. τοῦτο μὴ ποιήσῃς. εἰ δὲ μή, εἰς φυλακήν σε βαλῶ. οὐκέτι ὡς λογικῶν ἡ ἀρχὴ γίνεται, ἀλλ' ὡς ὁ ζεὺς διέταξε, τοῦτο ποίησον. ἂν δὲ μὴ ποιήσῃς, ζημιώσῃ, βλαβήσῃ, ποῦ βλάβην. ἄλλην οὐδεμίαν, ἀλλὰ τὸ μὴ ποιῆσαι ἃ δεῖ. ἀπολέσεις τὸν πιστόν, τὸν αἰδήμονα, τὸν κόσμιον. τούτων ἄλλας βλάβας μείζου μὴ ζήτει.

## Πῶς πρὸς τὰς φαντασίας γυμναστέον. η.

Ὡς πρὸς τὰ ἐρωτήματα τὰ σοφιστικὰ γυμναζόμεθα, οὕτω καὶ πρὸς τὰς φαντασίας καθημέραν ἔδει γυμνάζεσθαι. προτείνουσι γὰρ ἡμῖν καὶ αὗται ἐρωτήματα. ὁ υἱὸς ἀπέθανε τοῦ δεῖνος. ἀπόκειναι. ἀπροαίρετον, οὐ κακόν. ὁ πατὴρ τὸν δεῖνα ἀποκληρονόμον κατέλιπε. τί σοι δοκεῖ. ἀπροαίρετον, οὐ κακόν. ἐλυπήθη ἐπὶ τούτοις. προαιρετικὸν κακόν. γενναίως ὑπέμεινε. προαιρετικὸν ἀγαθόν. κἂν οὕτως ἐθιζώμεθα, προκόψομεν. οὐδέποτε γὰρ ἄλλῳ συγκαταθησόμεθα. ἢ οὗ φαντασία καταληπτικὴ γίνεται. ὁ υἱὸς ἀπέθανε. τί ἐγένετο. ὁ υἱὸς ἀπέθανεν. ἄλλο οὐδέν; οὐδέν. τὸ πλοῖον ἀπώλετο. εἰς φυλακὴν ἀπήχθη. τί γέγονεν. εἰς φυλακὴν ἀπήχθη. τὸ δ' ὅτι κακῶς πέπραχεν, ἐξ αὐτοῦ ἕκαστος προστίθησιν. ἀλλ' οὐκ ὀρθῶς ταῦτα ὁ ζεὺς ποιεῖ. διατί. ὅτι σε ὑπομενητικὸν ἐποίησεν; ὅτι μεγαλόψυχον; ὅτι ἀφεῖλεν αὐτῶν τὸ εἶναι κακά; ὅτι ἔξεστί σοι πάσχοντι ταῦτα, εὐδαιμονεῖν; ὅτι σοι τὴν θύραν ἤνοιξεν; ὅταν σοι μὴ ποιῇ ἄνθρωπε, ἔξελθε καὶ μὴ ἐγκάλει. πῶς ἔχουσι ῥωμαῖοι πρὸς φιλοσόφους εἰ θέλῃς γνῶναι, ἄκουσον. ἰταλικὸς ὁ μάλιστα δοκῶν αὐτῶν φιλόσοφος εἶναι, παρόντος ποτέ μου χαλεπήνας τοῖς ἰδίοις ὡς ἀνήκεστα πάσχων, οὐ δύναμαι ἔφη φέρειν. ἀπόλλυτέ με. ποιήσετέ με τοιοῦτον γενέσθαι, δείξας ἐμέ.

## Πρός τινα ῥήτορα ἀνιόντα εἰς ῥώμην ἐπὶ δίκην. θ.

Εἰσελθόντος δέ τινος πρὸς αὐτὸν ὃς εἰς ῥώμην ἀνῄει δίκην ἔχων περὶ τιμῆς τῆς αὐτοῦ, πυθόμενος τὴν αἰτίαν δι' ἣν ἄνεισιν, ἐπερωτήσαντος ἐκείνου τίνα

γνώμην ἔχει περὶ τοῦ πράγματος. εἰ μὲν πυνθάνῃ τί πράξεις ἐν ῥώμῃ φησὶ, πότερον κατόρθωσιν ἢ ἀποτυχίαν, θεώρημα πρὸς τοῦτο οὐκ ἔχω. εἰ δὲ μὴ πυνθάνῃ πῶς πράξεις, τοῦτο εἰπεῖν. ὅτι εἰ μὲν ὀρθὰ δόγματα ἔχεις, καλῶς. εἰ δὲ φαῦλα, κακῶς. παντὶ γὰρ αἴτιον τοῦ πράσσειν τι δόγμα. τί γάρ ἐστιν ὃ ἐπεθυμήσατε. προστάτης χειροτονηθῆναι κνωσίων. τὸ δόγμα τί ἐστι δι' ὃ νῦν ἀνέρχῃ ἐς ῥώμην. τὸ δόγμα. καὶ μετὰ χειμῶνος καὶ κινδύνου καὶ ἀναλωμάτων. ἀνάγκη γάρ ἐστι. τί σοι λέγει τοῦτο; τὸ δόγμα. οὐκοῦν εἰ πάντων αἴτια τὰ δόγματα, φαῦλα δέ τις ἔχει δόγματα, οἷον ἂν ᾖ τὸ αἴτιον, τοιοῦτον καὶ τὸ ἀποτελούμενον. ἆρ' οὖν πάντ' ἔχομεν ὑγιῆ δόγματα καὶ σὺ καὶ ὁ ἀντίδικός σου; καὶ πῶς διαφέρεσθε. ἀλλὰ σὺ μᾶλλον ἢ ἐκεῖνος; διατί; δοκεῖ σοι κἀκείνῳ. καὶ τοῖς μαινομένοις τοῦτο πονηρὸν κριτήριον. ἀλλὰ δεῖξόν μοι ὅτι ἐπίσκεψίν τινα, καὶ ἐπιμέλειαν πεποίησαι τῶν σαυτοῦ δογμάτων. καὶ ὡς νῦν ἐς ῥώμην πλεῖς ἐπὶ τῷ προστάτην εἶναι κνωσίων. καὶ οὐκ ἐξαρκεῖ σοι μένειν ἐν οἴκῳ, τὰς τιμὰς ἔχοντι ἃς εἶχες, ἀλλὰ μείζονός τινος ἐπιθυμεῖς καὶ ἐπιφανεστέρου. πότε οὕτως ἔπλευσας, ὑπὲρ τοῦ τὰ δόγματα ἐπισκέψασθαι τὰ σαυτοῦ, καὶ εἴ τι φαῦλον ἔχεις, ἐκβαλεῖν. τίνι προσελήλυθας τούτου ἕνεκα. ποῖον χρόνον ἐπέταξας σαυτῷ. ποίαν ἡλικίαν. ἐπελθέ σου τοὺς



χρόνους, εἰ ἐμὲ αἰσχύνῃ, αὐτὸς πρὸς αὑτόν. ὅτε παῖς ἦς, ἐξήταζες τὰ σαυτοῦ δόγματα. οὐχὶ δ' ὡς πάντα ποιεῖς, ἐποίεις ἃ ἐποίεις; ὅτε δὲ μειράκιον ἤδη καὶ τῶν ῥητόρων ἤκουες, καὶ αὐτὸς ἐμελέτας, τί σοι λείπειν ἐφαντάζου; ὅτε δὲ νεανίσκος, καὶ ἤδη ἐπολιτεύου, καὶ δίκας αὐτὸς ἔλεγες καὶ εὐδοκίμεις, τίς σοι ἔτι ἴσος ἐφαίνετο; ποῦ δ' ἂν ἠνέσχου ὑπό τινος ἐξεταζόμενος ὅτι πονηρὰ ἔχεις δόγματα. τί οὖν σοι θέλεις εἴπω. βοήθησόν μοι εἰς τὸ πρᾶγμα. οὐκ ἔχω πρὸς τοῦτο θεωρήματα. οὐδὲ σὺ τούτου ἕνεκα ἐλήλυθας πρὸς ἐμὲ, οὐχ ὡς πρὸς φιλόσοφον ἐλήλυθας, ἀλλ' ὡς πρὸς λαχανοπώλην. καὶ ὡς πρὸς σκυτέα. πρὸς τί οὖν ἔχουσιν οἱ φιλόσοφοι θεωρήματα. πρὸς τοῦτο ὅπη ἂν ἀποβῇ, τὸ ἡγεμονικὸν ἡμῶν κατὰ φύσιν ἔχειν καὶ διεξάγειν. μικρόν σοι δοκεῖ τοῦτο; οὔ. ἀλλὰ τὸ μέγιστον. τί οὖν. ὀλίγου χρόνου χρείαν ἔχει. καὶ ἔστι παρερχόμενον αὐτὸ λαβεῖν; εἰ δύνασαι λάμβανε. εἶτ' ἐρεῖς. συνέβαλον ἐπικτήτῳ ὡς λίθῳ. ὡς ἀνδριάντι. εἶδες γάρ με, καὶ πλέον οὐδέν. ἀνθρώπῳ δ' ὡς ἀνθρώπῳ συμβάλλει, ὁ τὰ δόγματα αὐτοῦ καταμανθάνων. καὶ ἐν τῷ μέρει τὰ ἴδια δεικνύων. κατάμαθέ μου τὰ δόγματα. δεῖξόν μοι τὰ σά. καὶ οὕτω λέγε συμβεβληκέναι μοι. ἐλέγξωμεν ἀλλήλους. εἴ τι ἔχω κακὸν δόγμα, ἄφελε αὐτό. εἴ τι ἔχεις, θὲς εἰς τὸ μέσον. τοῦτό ἐστι φιλοσόφῳ συμβάλλειν

ᾶν; οὔ. ἀλλὰ παραβὰς ἔτι. καὶ ἕως τὸ πλοῖον με-
θορμούμεθα, δυνάμεθα καὶ Ἐπίκτητον ἰδεῖν. ἴδωμεν
τί ποτε λέγει. εἶτ' ἐξελθὼν, οὐδὲν ἦν ὁ Ἐπίκτητος.
ἐσολοίκιζεν. ἐβαρβάριζε. τίνος γὰρ ἄλλου κριταὶ
εἰσέρχεσθε. ἀλλ' αὖ πρὸς τούτοις φησὶν ὦ, ἀγρὸν
οὐχ ἔξω, ὡς οὐδὲ σύ. ποτήρια ἀργυρᾶ οὐχ ἔξω,
ὡς οὐδὲ σύ. κτήνη καλὰ, ὡς οὐδὲ σύ. πρὸς ταῦτα
ἴσως ἀρκεῖ ἐκεῖνο εἰπεῖν. ὅτι ἀλλὰ χρείαν αὐτῶν
οὐκ ἔχω. σὺ δ' αὖ πολλὰ κτήσῃ, ἄλλων χρείαν ἔ-
χεις. θέλεις οὐ θέλεις, πτωχότερός μου εἶ. τίνος οὖν
ἔχω χρείαν. τοῦ σοὶ μὴ παρόντος. τοῦ εὐσταθεῖν. τοῦ
κατὰ φύσιν ἔχειν τὴν διάνοιαν. τοῦ μὴ ταράττε-
σθαι. πάσχων οὐ πάσχων. τί μοι μέλει. σοὶ μέλει.
πλουσιώτερός σου εἰμί. οὐκ ἀγωνιῶ τί φρονήσει
περὶ ἐμοῦ ὁ Καῖσαρ. οὐδένα κολακεύω τούτου ἕνε-
κα. ταῦτα ἔχω ἀντὶ τῶν ἀργυρωμάτων, ἀντὶ τῶν
χρυσωμάτων. σὺ χρυσᾶ σκεύη, ὀστράκινον τὸν λό-
γον, τὰ δόγματα, τὰς συγκαταθέσεις, τὰς ὁρ-
μὰς, τὰς ὀρέξεις. ὅταν δὲ ταῦτα ἔχω κατὰ φύσιν,
διατί μὴ φιλοτεχνήσω καὶ περὶ τὸν λόγον. εὐσχολῶ
γάρ. οὐ περισπᾶταί μου ἡ διάνοια. τί ποιήσω μὴ
περισπώμενος. τούτου τί ἀνθρωπικώτερον ἔχω.
ὑμεῖς ὅταν μηδὲν ἔχητε, ταράσσεσθε. εἰς θέατρον
εἰσέρχεσθε. ἢ ἀναλύετε. διατί ὁ φιλόσοφος μὴ ἐ-
ξεργάσεται τὸν αὐτοῦ λόγον. σὺ κρυστάλλινα. ἐγὼ τὰ
τοῦ ψευδομένου. σὺ μούρρινα. ἐγὼ τὰ τοῦ ἀποφά-



σκοντος. σοὶ πάντα μικρὰ φαίνεται ἃ ἔχεις. ἐμοὶ
τὰ ἐμὰ πάντα μεγάλα. ἀπλήρωτός σου ἐστὶν ἡ
ἐπιθυμία, ἡ ἐμὴ πεπλήρωται. τοῖς εἰς στενόβρογ-
χον κεράμιον καθιεῖσι τὴν χεῖρα καὶ ἐκφέρουσιν
ἰσχάδα καὶ κάρυα, τοῦτο συμβαίνει. ἂν πληρώσῃ τὴν
χεῖρα, ἐξενεγκεῖν οὐ δύναται, εἶτα κλάει. ἄφες
ὀλίγα ἐξ αὐτῶν καὶ ἐξοίσεις. καὶ σὺ ἄφες τὸ ὀρέ-
γειν, μὴ πολλῶν ἐπιθύμει, καὶ οἴσεις.

Πῶς φέρειν δεῖ τὰς νόσους. ι.

Ἑκάστου δόγματος ὅταν ἡ χρεία παρῇ, πρό-
χειρον αὐτὸ ἔχειν δεῖ. ἐπ' ἀρίστῳ τὰ περὶ ἀρί-
στου. ἐν βαλανείῳ τὰ τοῦ βαλανείου. ἐν τῇ κοίτῃ τὰ
περὶ τῆς κοίτης. μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι
προσδέξασθαι, πρὶν τῶν ἡμερινῶν ἔργων λογίσασθαι ἕ-
καστα. πῇ παρέβην, τί δ' ἔρεξα, τί μοι δέον ἐκτετέ-
λεσται. ἀρξάμενος δ' ἀπὸ τοῦδε ἐπέξιθι καὶ μετέπειτα.
δειλὰ μὲν ῥέξας ἐπιπλήσσεο, χρηστὰ δὲ, τέρπου. καὶ
τούτοις τοῖς στίχοις κατέχειν χρηστικῶς. οὐχ ἵνα δι'
αὐτῶν ἀναφωνῶμεν, ὡς διὰ τοῦ παιὰν Ἄπολ-
λον. πάλιν ἐν πυρετῷ τὰ πρὸς τοῦτο. μὴ ἂν πυρέ-
ξωμεν, ἀφιέναι πάντα καὶ ἐπιλανθάνεσθαι. ἂν
ἐγὼ ἔτι φιλοσοφήσω, ὃ θέλει γινέσθω. ποῦ ποτ'
ἀπελθόντα τοῦ σωματίου ἐπιμελεῖσθαι. εἴ τε καὶ
πυρετὸς οὐκ ἔρχεται. τὸ δὲ φιλοσοφῆσαι, τί
ἐστιν. οὐχὶ παρασκευάσασθαι πρὸς τὰ συμβαί-

ἔχοντα; οὐ παρακολουθεῖς οὖν ὅτι τοιοῦτον πλέκεις. ἂν ἔπι ἐγὼ παρασκευάσωμαι πρὸς τὸ πράως φέρειν τὰ συμβαίνοντα, ὃ θέλει γινέσθω. οἷον εἴ τις πληγὰς λαβὼν ἀποστάιη τοῦ παγκρατιάζειν. ἀλλ' ἐκεῖ μὲν ἔξεστι καταλῦσαι καὶ μὴ δαίρεσθαι. ἐνθάδε δ' ἂν καταλύσωμεν φιλοσοφοῦντες, τί ὄφελος. τί οὖν δεῖ λέγειν αὐτὸν ἀφ' ἑκάστου τῶν τραχέων. ὅτι ἕνεκα τούτου ἐγυμναζόμην. ἐπὶ τοῦτο ἤσκουν. ὁ θεός σοι λέγει δός μοι ἀπόδειξιν εἰ νομίμως ἤθλησας. εἰ ἔφαγες ὅσα δεῖ. εἰ ἐγυμνάσθης. εἰ τοῦ ἀλείπτου ἤκουσας. εἶτ' ἐπ' αὐτοῦ τοῦ ἔργου καταμαλακίζῃ. νῦν τοῦ πυρέσσειν καιρός ἐστι. τοῦτο καλῶς γινέσθω. τοῦ διψᾶν, δίψα καλῶς. τοῦ πεινᾶν, πείνα καλῶς. οὐκ ἔστιν ἐπὶ σοί; τίς σε κωλύσει; ἀλλὰ πιεῖν μὲν κωλύσει ὁ ἰατρός. καλῶς δὲ διψᾶν οὐ δύναται. καὶ φαγεῖν μὲν κωλύσει. πεινᾶν δὲ καλῶς οὐ δύναται. ἀλλ' οὐ φιλολογῶ. τίνος δ' ἕνεκα φιλολογεῖς. ἀνδράποδον. οὐχ ἵνα εὐροῇς; οὐχ ἵνα εὐσταθῇς; οὐχ ἵνα κατὰ φύσιν ἔχῃς καὶ διεξάγῃς; τί κωλύει πυρέσσοντα κατὰ φύσιν ἔχειν τὸ ἡγεμονικόν. ἐνθάδ' ὁ ἔλεγχος τοῦ πράγματος. ἡ δοκιμασία τοῦ φιλοσοφοῦντος. μέρος γάρ ἐστι καὶ τοῦτο τοῦ βίου. ὡς περίπατος. ὡς πλοῦς. ὡς ὁδοιπορία, οὕτω καὶ πυρετός. μή τι περιπατῶν ἀναγινώσκεις; οὔ. οὕτως οὐδὲ πυρέσσων. ἀλλ' ἂν καλῶς περιπατῇς, ἔχεις τὸ τοῦ περιπατοῦντος. ἂν



καλῶς πυρέξῃς, ἔχεις τὰ τοῦ πυρέσσοντος. τί ἐστι καλῶς πυρέσσειν. μὴ θεὸν μέμψασθαι. μὴ ἄνθρωπον. μὴ θλίβεσθαι ὑπὸ τῶν γινομένων. εὖ καὶ καλῶς. προσδέχεσθαι τὸν θάνατον. ποιεῖν τὰ προστασσόμενα. ὅταν ὁ ἰατρὸς εἰσέρχηται, μὴ φοβεῖσθαι τί εἴπῃ. μηδ' ἂν εἴπῃ κομψῶς ἔχεις, ὑπερχαίρειν. τί γάρ σοι ἀγαθὸν εἶπεν. ὅταν γὰρ ὑγιαίνῃς, τί σοι τότε ἀγαθόν. μηδ' ἂν εἴπῃ κακῶς ἔχεις, ἀθυμεῖν. τί γάρ ἐστι τὸ κακῶς ἔχειν. ἐγγίζειν τῷ διαλυθῆναι τὴν ψυχὴν ἀπὸ τοῦ σώματος. τί οὖν δεινόν ἐστιν; ἐὰν νῦν μὴ ἐγγίσῃς, ὕστερον οὐκ ἐγγιεῖς; ἀλλὰ ὁ κόσμος μέλλει ἀναστρέφεσθαι σοῦ ἀποθανόντος. τί οὖν κολακεύεις τὸν ἰατρόν. τί λέγεις. ἐὰν θέλῃς κύριε, καλῶς ἕξω. τί παρέχεις αὐτῷ ἀφορμὴν τοῦ ἐπᾶραι ὀφρῦν. οὐχὶ δὲ τὴν αὐτοῦ ἀξίαν αὐτῷ ἀποδίδως, ὡς σκυτεῖ περὶ τὸν πόδα, ὡς τέκτονι περὶ τὴν οἰκίαν, οὕτω καὶ τῷ ἰατρῷ περὶ τὸ σωμάτιον. τὸ οὐκ ἐμόν. τὸ φύσει νεκρόν. τούτων ὁ καιρός ἐστι τῷ πυρέσσοντι. ἂν ταῦτα ἐκπληρώσῃ, ἔχει τὰ αὑτοῦ. οὐ γάρ ἐστιν ἔργον τοῦ φιλοσόφου, ταῦτα τὰ ἐκτὸς τηρεῖν. οὔτε τὸ οἰνάριον. οὔτε τὸ ἐλάδιον. οὔτε τὸ σωμάτιον. ἀλλὰ τὸ ἴδιον ἡγεμονικόν. τὰ δ' ἔξω, πῶς. μέχρι τοῦ μὴ ἀλογίστως κατὰ ταῦτα ἀναστρέφεσθαι. ποῦ οὖν ἔτι καιρὸς τοῦ φοβεῖσθαι. ποῦ οὖν ἔτι καιρὸς ὀργῆς. ποῦ φόβον, περὶ ~~τῶν~~ ἀλλοτρίων, περὶ τῶν μηδενὸς ἀξίων. δύο γὰρ ταῦτα

πρόχειρα ἔχειν δεῖ. ὅτι ἔξω τῆς προαιρέσεως οὐδέν ἐστιν οὔτε ἀγαθὸν οὔτε κακόν. καὶ ὅτι οὐ δεῖ προηγεῖσθαι τῶν πραγμάτων. ἀλλ' ἐπακολουθεῖν. οὐκ ἔδει οὕτω μοι προσενεχθῆναι τὸν ἀδελφόν. οὔ. ἀλλὰ τοῦτο μὲν ἐκεῖνος ὄψεται. ἐγὼ δ' ὡς ἂν προσενεχθῇ αὐτὸς, ὡς δεῖ χρήσομαι τοῖς πρὸς ἐκεῖνον. τοῦτο γὰρ ἐμόν ἐστιν, ἐκεῖνο δ' ἀλλότριον. τοῦτο οὐδεὶς κωλῦσαι δύναται, ἐκεῖνο κωλύεται.

311

7 V

## Σποράδην τινά. ια.

Εἰσί τινες ὥσπερ ἐκ νόμου διατεταγμέναι κολάσεις τοῖς ἀπειθοῦσι τῇ θείᾳ διοικήσει. ὃς ἂν ἄλλο τι ἡγήσηται ἀγαθὸν παρὰ τὰ προαιρετικά, φθονείτω. ἐπιθυμείτω. κολακευέτω. ταρασσέσθω. ὃς ἂν ἄλλο κακὸν, λυπείσθω. πενθείτω. θρηνείτω. δυστυχείτω. καὶ ὅμως οὕτω πικρῶς κολαζόμενοι, ἀποστῆναι οὐ δυνάμεθα. μέμνησο τί λέγει ὁ ποιητὴς, περὶ τοῦ ξένου. ξεῖν' οὔ μοι θέμις ἐστὶν οὐδ' εἰ κακίων σέθεν ἔλθοι. τοῦτο οὖν καὶ ἐπὶ πατρὸς πρόχειρον ἔχειν. οὔ μοι θέμις ἐστ' οὐδ' εἰ κακίων σέθεν ἔλθοι πατέρ' ἀτιμῆσαι. πρὸς γὰρ Διός εἰσιν ἅπαντες τοῦ πατρῴου. καὶ ἐπ' ἀδελφοῦ. πρὸς γὰρ Διός εἰσιν ἅπαντες τοῦ ὁμογνίου. καὶ οὕτω κατὰ τὰς ἄλλας σχέσεις εὑρήσομεν ἐπόπτην τὸν Δία.



## Περὶ ἀσκήσεως. ιβ.

312

8 V

Τὰς ἀσκήσεις οὐ δεῖ διὰ τῶν παρὰ φύσιν καὶ παραδόξων ποιεῖσθαι. ἐπεί τοι τῶν θαυματοποιῶν οὐδὲν διοίσομεν οἱ λέγοντες φιλοσοφεῖν. δύσκολόν ἐστι γὰρ καὶ τὸ ἐπὶ σχοινίου περιπατεῖν. καὶ οὐ μόνον δύσκολον, ἀλλὰ καὶ ἐπικίνδυνον. τούτου ἕνεκα δεῖ καὶ ἡμᾶς μελετᾶν ἐπὶ σχοινίου περιπατεῖν, ἢ φοίνικα ἱστάναι, ἢ ἀνδριάντας περιλαμβάνειν; οὐδαμῶς. οὐκ ἔστι τὸ δύσκολον πᾶν καὶ ἐπικίνδυνον, ἐπιτήδειον πρὸς ἄσκησιν. ἀλλὰ τὸ πρόσφορον τῷ προκειμένῳ ἐκπονηθῆναι. τί δ' ἐστὶ τὸ προκείμενον ἐκπονηθῆναι. ὀρέξει καὶ ἐκκλίσει ἀκωλύτως ἀναστρέφεσθαι. τοῦτο δὲ τί ἐστι. μήτε ὀρεγόμενον ἀποτυγχάνειν, μήτ' ἐκκλίνοντα περιπίπτειν. πρὸς τοῦτο οὖν καὶ τὴν ἄσκησιν ῥέπειν δεῖ. ἐπεὶ γὰρ οὐκ ἔστιν ἀναπότευκτον σχεῖν τὴν ὄρεξιν, καὶ τὴν ἔκκλισιν ἀπερίπτωτον, ἄνευ μεγάλης καὶ συνεχοῦς ἀσκήσεως, ἴσθι ὅτι ἐὰν ἔξω ἐάσῃς ἀποστρέφεσθαι αὐτὴν ἐπὶ τὰ ἀπροαίρετα, οὔτε τὴν ὄρεξιν ἐπιτευκτικὴν ἕξεις, οὔτε τὴν ἔκκλισιν ἀπερίπτωτον. καὶ ἐπεὶ τὸ ἔθος ἰσχυρὸν προηγεῖται, πρὸς μόνα ταῦτα εἰθισμένων ἡμῶν χρῆσθαι ὀρέξει καὶ ἐκκλίσει, δεῖ τῷ ἔθει τούτῳ ἐναντίον ἔθος ἀντιθεῖναι. καὶ ὅπου ὁ πολὺς ὄλισθος τῶν φαντασιῶν, ἐκεῖ ἀντιτιθέναι τὸ ἀσκητικόν. ἑτεροκλινῶς

ἔχω πρὸς ἡδονήν· ἀντιτάξω αὐτῇ τὸ ἐναντίον ὑπὲρ τὸ μέτρον τῆς ἀσκήσεως ἕνεκα. ἐκκλιτικῶς ἔχω πόνου· τρίψω μου καὶ γυμνάσω πρὸς τοῦτο τὰς φαντασίας ὑπὲρ τοῦ ἀποστῆναι τὴν ἔκκλισιν ἀπὸ παντὸς τοιούτου. τίς γάρ ἐστιν ἀσκητής; ὁ μελετῶν ὀρέξει μὲν χρῆσθαι, ἐκκλίσει δὲ πρὸς μόνα τὰ προαιρετικὰ χρῆσθαι, καὶ μελετῶν μᾶλλον ἐν τοῖς δυσκαταπονήτοις· καθ' ὃ καὶ ἄλλῳ πρὸς ἄλλα μᾶλλον ἀσκητέον. τί οὖν ὧδε ποιεῖ τὸ φοίνικα στῆσαι, ἢ τὸ στέγην δερματίνην, καὶ ὅλμον, καὶ ὕπερον περιφέρειν. ἄνθρωπε. ἄσκησον εἰ γοργὸς εἶ, λοιδορούμενος ἀνέχεσθαι, ἀτιμασθεὶς μὴ ἀχθεσθῆναι. εἶθ' οὕτω προσβήσῃ ἵνα κἂν πλήξῃ σέ τις, εἴπῃς αὐτὸς πρὸς αὑτόν· ὅτι δόξον ἀνδριάντα περιειληφέναι. εἶτα καὶ οἰναρίῳ κομψῶς χρῆσθαι, μὴ εἰς τὸ πολὺ πίνειν· καὶ γὰρ περὶ τοῦτο ἐπαρίστεροι ἀσκηταί εἰσιν. ἀλλὰ πρῶτον εἰς τὸ ἀποσχέσθαι καὶ κορασιδίου, ἀπέχεσθαι καὶ πλακουντακείου. εἶτά ποτε ὑπὲρ δοκιμασίας εἰ ἄρα καθήσεις εὐκαίρως αὐτὸς σαυτὸν ὑπὲρ τοῦ γνῶναι, εἰ ὁμοίως ἡττῶσί σε αἱ φαντασίαι. τὰ πρῶτα δὲ φεῦγε μακρὰν ἀπὸ τῶν ἰσχυροτέρων. ἄνισος ἡ μάχη κορασιδίῳ κομψῷ, πρὸς νέον ἀρχόμενον φιλοσοφεῖν· χύτρα φασὶ καὶ πέτρα οὐ συμφωνεῖ. μετὰ τὴν ὄρεξιν καὶ τὴν ἔκκλισιν, δεύτερος τόπος ὁ περὶ τὴν ὁρμὴν καὶ ἀφορμὴν εὐπειθὴς τῷ λό-

φοίνικα στῆσαι, στέγην δερματίνην, ὅλμον καὶ ὕπερον περιφέρειν



γῳ· ἵνα μὴ παρὰ καιρόν, μὴ παρὰ τόπον, μὴ παρὰ ἄλλην τινὰ τοιαύτην ἀσυμμετρίαν. τρίτος περὶ τὰς συγκαταθέσεις, ὁ πρὸς τὰ πιθανὰ καὶ ἑλκυστικά. ὡς γὰρ ὁ Σωκράτης ἔλεγεν ἀνεξέταστον βίον μὴ ζῆν, οὕτως ἀνεξέταστον φαντασίαν μὴ παραδέχεσθαι. ἀλλὰ λέγειν, ἔκδεξαι, ἄφες ἴδω τίς εἶ, καὶ πόθεν ἔρχῃ, ὡς οἱ νυκτοφύλακες· δεῖξόν μοι τὰ συνθήματα. ἔχεις τὸ παρὰ τῆς φύσεως σύμβολον, ὃ δεῖ τὴν παραδεχθησομένην ἔχειν φαντασίαν; καὶ λοιπὸν ὅσα τῷ σώματι προσάγεται ὑπὸ τῶν γυμναζόντων αὐτό, ἂν μὲν ὧδέ που ῥέπῃ πρὸς ὄρεξιν καὶ ἔκκλισιν, εἴη ἂν καὶ αὐτὰ ἀσκητικά· ἂν δὲ πρὸς ἐπίδειξιν, ἔξω νενευκώς ἐστι καὶ ἄλλο τι θηρωμένου, καὶ θεατὰς ζητοῦντος τῶν ἐρούντων ὡς μεγάλου ἀνθρώπου· διὰ τοῦτο καλῶς ὁ Ἀπολλώνιος ἔλεγεν· ὅτι ὅταν θέλῃς σαυτῷ ἀσκῆσαι, διψῶν ποτε καύματος, ἐφέλκυσαι βρόγχον ψυχροῦ, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἴπῃς.

### Τί ἐρημία, καὶ ποῖος ἔρημος. ιγ'.

Ἐρημία ἐστὶ, κατάστασίς τις ἀβοηθήτου. οὐ γὰρ ὁ μόνος ὤν, εὐθὺς καὶ ἔρημος. ὥσπερ οὐδ' ὁ ἐν πολλοῖς ὤν, οὐκ ἔρημος. ὅταν γοῦν ἀπολέσωμεν ἢ ἀδελφὸν ἢ υἱόν, ἢ φίλον ᾧ προσανεπαυόμεθα, λέγομεν ἀπολελεῖφθαι ἔρημοι. πολλάκις ἐν Ῥώμῃ ὄντες τοσούτου ὄχλου ἡμῖν ἀπαντῶντος

καὶ τοσούτων συνοικούντων, ἔθ' ὅτι πλῆθος δού-
λων ἔχοντες. ἀλλὰ γὰρ ὁ ἔρημος κατὰ τὴν ἔννοιαν ἀ-
βοήθητός τις εἶναι καὶ ἐκκείμενος τοῖς βλάπτειν
βουλομένοις. διὰ τοῦτο ὅταν ὁδεύωμεν, τότε μά-
λιστα ἐρήμους λέγομεν ἑαυτούς, ὅταν εἰς λῃστὰς ἐμ-
πέσωμεν. οὐ γὰρ ἀνθρώπου ὄψις ἐξαιρεῖται ἐρημίας,
ἀλλὰ πιστοῦ καὶ αἰδήμονος καὶ ὠφελίμου. ἐπεὶ εἰ τὸ μό-
νον εἶναι ἀρκεῖ πρὸς τὸ ἔρημον εἶναι, λέγε ὅτι καὶ ὁ
Ζεὺς ἐν τῇ ἐκπυρώσει ἔρημός ἐστι, καὶ κατακλαίει
αὐτὸς ἑαυτοῦ. τάλας ἐγώ. οὔτε τὴν Ἥραν ἔχω, οὔτε
τὴν Ἀθηνᾶν, οὔτε τὸν Ἀπόλλωνα, οὔτε ὅλως ἢ
ἀδελφὸν, ἢ υἱὸν, ἢ ἔγγονον, ἢ συγγενῆ. ταῦτα
καὶ λέγουσί τινες ὅτι ποιεῖ μόνος ἐν τῇ ἐκπυρώ-
σει. οὐ γὰρ ἐπινοοῦσι διεξαγωγὴν μόνου. καὶ ἀπό τι-
νος φυσικοῦ ὁρμώμενοι, ἀπὸ τοῦ φύσει κοινωνικοῦ
εἶναι καὶ φιλαλλήλου, καὶ ἡδέως συναναστρέφε-
σθαι ἀνθρώποις. ἀλλ' οὐδὲν ἧττον δεῖ τινα καὶ πρὸς
τοῦτο παρασκευὴν ἔχειν, τὸ δύνασθαι αὐτὸν ἑαυτῷ
ἀρκεῖν. δύνασθαι αὐτὸν ἑαυτῷ συνεῖναι. ὡς ὁ Ζεὺς
αὐτὸς ἑαυτῷ σύνεστι, καὶ ἡσυχάζει ἐφ' ἑαυτοῦ, καὶ
ἐννοεῖ τὴν διοίκησιν τὴν ἑαυτοῦ οἵα ἐστί. καὶ ἐν ἐπι-
νοίαις γίνεται πρεπούσαις ἑαυτῷ. οὕτω καὶ ἡμᾶς
δύνασθαι δεῖ αὐτοὺς ἑαυτοῖς λαλεῖν. μὴ προσδεῖ-
σθαι ἄλλων διαγωγῆς. μὴ ἀπορεῖν. ἐφιστάναι τῇ
θείᾳ διοικήσει. τῇ αὑτῶν πρὸς τἆλλα σχέσει ἐπι-
βλέπειν. πῶς πρότερον εἴχομεν πρὸς τὰ συμβαί-



νοντα. πῶς νῦν. τίνα ἐστὶν ἔτι τὰ θλίβοντα. πῶς ἂν
θεραπευθῇ καὶ ταῦτα. πῶς ἐξαιρεθῇ. εἴ τινα ἐξερ-
γασίας δεῖται, τὴν κατὰ τὸν αὐτοῦ λόγον ἐξεργά-
σασθαι. ὁρᾶτε γὰρ ὅτι εἰρήνην μεγάλην ὁ Καῖσαρ
ἡμῖν δοκεῖ παρέχειν. ὅτι οὐκ εἰσὶν οὐκέτι πόλεμοι,
οὐδὲ μάχαι, οὐδὲ λῃστήρια μεγάλα, οὐδὲ πειρατι-
κά. ἀλλ' ἔξεστι πάσῃ ὥρᾳ ὁδεύειν, πλεῖν ἀπὸ ἀ-
νατολῶν ἐπὶ δυσμάς. μή τι οὖν καὶ ἀπὸ πυρετοῦ
δύναται ἡμῖν εἰρήνην παρασχεῖν; μή τι καὶ ἀπὸ
ναυαγίου; μή τι καὶ ἀπὸ ἐμπρησμοῦ, ἢ ἀπὸ σεισμοῦ,
ἢ ἀπὸ κεραυνοῦ; ἄγε, ἀπ' ἔρωτος; οὐ δύναται. ἀ-
πὸ πένθους; οὐ δύναται. ἀπὸ φθόνου; οὐ δύνα-
ται. ἀπὸ οὐδενὸς ἁπλῶς τούτων. ὁ δὲ λόγος ὁ
τῶν φιλοσόφων, ὑπισχνεῖται καὶ ἀπὸ τούτων εἰ-
ρήνην παρέχειν. καὶ τί λέγει. ἄν μοι προσέχητε
ὦ ἄνθρωποι, ὅπου ἂν ἦτε, ὅ, τι ἂν ποιῆτε, οὐ λυπη-
θήσεσθε. οὐκ ὀργισθήσεσθε. οὐκ ἀναγκασθήσεσθε.
οὐ κωλυθήσεσθε. ἀπαθεῖς δὲ καὶ ἐλεύθεροι διάξε-
τε ἀπὸ πάντων. ταύτην τὴν εἰρήνην τις ἔχων οὐχὶ
κεκηρυγμένην ὑπὸ τοῦ Καίσαρος (πόθεν γὰρ αὐ-
τῷ ταύτην κηρῦξαι) ἀλλ' ὑπὸ τοῦ θεοῦ κεκη-
ρυγμένην διὰ τοῦ λόγου, οὐκ ἀρκεῖται, ὅταν
ᾖ μόνος, ἐπιβλέπων καὶ ἐνθυμούμενος. νῦν
ἐμοὶ κακὸν οὐδὲν δύναται συμβῆναι. ἐμοὶ
λῃστὴς οὐκ ἔστιν. ἐμοὶ σεισμὸς οὐκ ἔστιν. πάν-
τα εἰρήνης μεστά. πάντα ἀταραξίας. πᾶ-

σα ὁδὸς, πᾶσα πόλις, πᾶσα σύνοδος, γείτων καὶ κοινωνὸς ἀβλαβής. ἄλλος παρέχει τροφάς, ᾧ μέλει. ἄλλος ἐσθῆτα, ἄλλος αἰσθήσεις ἔδωκεν, ἄλλος προλήψεις. ὅταν δὲ μὴ παρέχῃ τἀναγκαῖα, τὸ ἀνακλητικὸν σημαίνει. τὴν θύραν ἤνοιξε. καὶ λέγει σοι ἔρχου. ποῦ; εἰς οὐδὲν δεινόν, ἀλλ' ὅθεν ἐγένου. εἰς τὰ φίλα καὶ συγγενῆ, εἰς τὰ στοιχεῖα. ὅσον ἦν ἐν σοὶ πῦρ, εἰς πῦρ ἄπεισιν. ὅσον ἦν γηδίου, εἰς γήδιον. ὅσον πνευμάτιον, εἰς πνευμάτιον. ὅσον ὑδάτιον, εἰς ὑδάτιον. οὐδεὶς ᾅδης. οὐδ' Ἀχέρων. οὐδὲ Κωκυ- K τὸς. οὐδὲ Πυριφλεγέθων. ἀλλὰ πάντα θεῶν μεστὰ καὶ δαιμόνων. ταῦτά τις ἐνθυμεῖσθαι ἔχων, καὶ βλέπων τὸν ἥλιον καὶ σελήνην καὶ ἄστρα, καὶ γῆς ἀπολαύων καὶ θαλάσσης, ἔρημός ἐστιν. οὐ μᾶλλον ἢ καὶ ἀβοήθητος. τί οὖν ἄν τις ἐπελθὼν μόνῳ ἀποσφάξῃ με. μωρέ. σὲ οὔ. ἀλλὰ τὸ σωμάτιον. ποία οὖν ἔτι ἐρημία. ποία ἀπορία. τί χείρονας ἑαυτοὺς ποιοῦμεν τῶν παιδαρίων. ἅτινα ὅταν ἀπολειφθῇ μόνα, τί ποιεῖ; ἄραντα ὀστράκια καὶ σποδὸν, οἰκοδομεῖ τί ποτε, εἶτα καταστρέφει. καὶ πάλιν ἄλλο οἰκοδομεῖ. καὶ οὕτως οὐδέποτε ἀπορεῖ διαγωγῆς. ἐγὼ οὖν ἂν πλεύσητε ὑμεῖς, μέλλω καθήμενος κλαίειν, ὅτι μόνος ἀπελείφθην καὶ ἔρημος. οὕτως οὐκ ὀστράκια ἕξω, οὐ σποδόν; ἀλλ' ἐκεῖνα ὑπ' ἀφροσύνης ταῦτα ποιεῖ, ἡμεῖς δ' ὑπὸ φρονήσεως δυστυχοῦμεν. πᾶσα μεγάλη δύναμις





ἐπισφαλὴς τῶν ἀρχομένων. φέρειν οὖν δεῖ τὰ τοιαῦτα κατὰ δύναμιν. ἀλλὰ καὶ κατὰ φύσιν. ἀλλ' οὐχὶ τῷ φθισικῷ. μελέτησόν ποτε διαγωγὴν ὡς ἄρρωστος, ἵνα ποθ' ὡς ὑγιαίνων διαγάγῃς. ἀσίτησον. ὑδροπότησον. ἀπόσχου ποτὲ παντάπασιν ὀρέξεως, ἵνα ποτὲ καὶ εὐλόγως ὀρεχθῇς. εἰ δ' εὐλόγως, ὅταν ἔχῃς τι ἐν σεαυτῷ ἀγαθὸν, εὖ ὀρεχθήσῃ. οὔ. ἀλλ' εὐθέως ὡς σοφοὶ διάγειν θέλομεν, καὶ ὠφελεῖν ἀνθρώπους. ποίαν ὠφέλειαν; τί ποιεῖς; σαυτὸν γὰρ ὠφέλησας. ἀλλὰ προτρέψαι αὐτοὺς θέλεις. σὺ γὰρ προτέτραψαι; θέλεις αὐτοὺς ὠφελῆσαι; δεῖξον αὐτοῖς ἐπὶ σεαυτοῦ οἵους ποιεῖ φιλοσοφία, καὶ μὴ φλυάρει. ἐσθίων τοὺς συνεσθίοντας ὠφέλει. πίνων, τοὺς πίνοντας. εἴκων πᾶσι. παραχωρῶν. ἀνεχόμενος. οὕτως αὐτοὺς ὠφέλει. καὶ μὴ κατεξέρα αὐτῶν τὸ σαυτοῦ φλέγμα.

## Σποράδην τινά. ιδ'.

Ὡς οἱ κακοὶ τραγῳδοὶ μόνοι ᾆσαι οὐ δύνανται, ἀλλὰ μετὰ πολλῶν, οὕτως ἔνιοι μόνοι περιπατῆσαι οὐ δύνανται. ἄνθρωπε, εἴ τι εἶ, καὶ μόνος περιπάτησον. καὶ σαυτῷ λάλησον. καὶ μὴ ἐν τῷ χορῷ κρύπτου. σκόπτει τί ποτε, περίβλεψαι, ἐνσείσθητι, ἵνα γνῷς τίς εἶ. ὅταν τις ὕδωρ πίνῃ ἢ ποιῇ τι ἀσκητικὸν, ἐκ πάσης ἀφορμῆς λέγει αὐτὸ πρὸς πάντας. ἐγὼ ὕδωρ πίνω. διὰ γὰρ τοῦτο

ὕδωρ πίνεις, διὰ τὸ ὕδωρ πίνειν; ἄνθρωπε. εἴ σοι λυσιτελεῖ πίνειν, πίνε. εἰ δὲ μή, γελοίως ποιεῖς. εἰ δὲ συμφέρει σοι καὶ πίνεις, σιώπα. πρὸς τοὺς δυσαρεστοῦντας τοῖς ἀνθρώποις. τί οὖν αὐτοῖς τούτοις ἀρέσκειν θέλεις. τῶν πραττομένων τὰ μὲν προηγουμένως πράττεται, τὰ δὲ κατὰ περίστασιν, τὰ δὲ κατ᾽ οἰκονομίαν, τὰ δὲ κατὰ συμπεριφοράν, τὰ δὲ κατ᾽ ἔνστασιν. δύο ταῦτα ἐξελεῖν τῶν ἀνθρώπων, οἴησιν καὶ ἀπιστίαν. οἴησις μὲν οὖν ἐστι, τὸ δοκεῖν μηδενὸς προσδεῖσθαι. ἀπιστία δὲ, τὸ ὑπολαμβάνειν μὴ δυνατὸν εἶναι εὐροεῖν σε, τοσούτων περιεστηκότων. τὴν μὲν οὖν οἴησιν ἔλεγχος ἐξαιρεῖ. καὶ τοῦτο πρῶτον ποιεῖ σωκράτης. ὅτι δ᾽ οὐκ ἀδύνατόν ἐστι τὸ πρᾶγμα, σκέψαι καὶ ζήτησον. οὐδέν σε βλάψει ἡ ζήτησις αὕτη. καὶ σχεδὸν τὸ φιλοσοφεῖν τοῦτ᾽ ἔστι, ζητεῖν πῶς ἐνδέχεται ἀπαραποδίστως ὀρέξει χρῆσθαι καὶ ἐκκλίσει. κρείσσων εἰμί σου. ὁ γὰρ πατήρ μου ὑπατικός ἐστιν. ἄλλος λέγει. ἐγὼ δεδημάρχηκα, σὺ δ᾽ οὔ. εἰ δ᾽ ἵπποι ἦμεν, ἔλεγες ἄν, ὅτι ὁ πατήρ μου ὠκύτερος ἦν, ὅτι ἐγὼ ἔχω πολλὰς κριθὰς καὶ χόρτον. ἢ ὅτι κομψὰ περιτραχήλια. εἰ οὖν ταῦτά σου λέγοντος, εἶπον ὅτι ἔστω ταῦτα, φέρωμεν οὖν. ἄγε ἐπ᾽ ἀνθρώπου οὖν οὐδέν ἐστι τοιοῦτον, οἷον ἐφ᾽ ἵππου δρόμος, ἐξ οὗ γνωσθήσεται ὁ χείρων καὶ ὁ κρείττων; μή ποτ᾽ ἔστιν αἰδώς, πίστις, δικαιοσύνη; τούτοις δείκνυε κρείττονα σεαυτόν, ἵν᾽ ὡς ἵππος ᾖς

Socrates · Σ · 321 · 1 X · ἄνθρωπος



κρείττων. ἄν μοι λέγῃς ὅτι μεγάλα λακτίζω, ἐρῶ σοι κἀγὼ ὅτι ἐπ᾽ ἀθλίῳ ὄνου ἔργῳ μέγα φρονεῖς.

## Ὅτι δεῖ περιεσκεμμένως ἔρχεσθαι πρὸς ἕκαστα. ιε΄.

Ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα καὶ τὰ ἀκόλουθα. καὶ οὕτως ἔρχου ἐφ᾽ αὐτό. εἰ δὲ μή, τὴν μὲν πρώτην ἥξεις προθύμως, ἅτε μηδὲν τῶν ἑξῆς ἐντεθυμημένος, ὕστερον δ᾽ ἀναφανέντων τινῶν, αἰσχρῶς ἀποστήσῃ. θέλω ὀλύμπια νικῆσαι. ἀλλὰ σκόπει τὰ καθηγούμενα αὐτοῦ καὶ τὰ ἀκόλουθα, καὶ οὕτως ἄν σοι λυσιτελῇ, ἅπτου τοῦ ἔργου. δεῖ σε εὐτακτεῖν, ἀναγκοφαγεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην ὥρᾳ τεταγμένῃ. ἐν καύματι. ἐν ψύχει. μὴ ψυχρὸν πίνειν. μὴ οἶνον, ὅτ᾽ ἔτυχεν ἁπλῶς, ἰατρῷ γὰρ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ. εἶτα ἐν τῷ ἀγῶνι παρορύσσεσθαι. ἔστιν ὅτε χεῖρα ἐμβαλεῖν, ὀφρὺν στρέψαι, πολλὴν ἀφὴν καταπιεῖν, μαστιγωθῆναι. καὶ μετὰ τούτων πάντων ἔσθ᾽ ὅτε νικηθῆναι. ταῦτα λογισάμενος ἂν ἔτι θέλῃς, ἔρχου ἐπὶ τὸ ἀθλεῖν. εἰ δὲ μή, ὅρα ὅτι ὡς τὰ παιδία ἀναστραφήσῃ. ἃ νῦν μὲν ἀθλητὰς παίζει, νῦν δὲ μονομάχους. νῦν δὲ σαλπίζει. εἶτα τραγῳδεῖ. ὅταν ἴδῃ καὶ θαυμάσῃ. οὕτω καὶ σὺ νῦν μὲν ἀθλητής, νῦν δὲ μονομάχος, εἶτα

322 · 2 X · οἶνον · σφυρόν

φιλόσοφος, εἶτα ῥήτωρ, ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν.
ἀλλ' ὡς ὁ πίθηκος, πᾶν ὃ ἂν ἴδῃς μιμῇ. καὶ ἀεί σοι
ἄλλο ἐξ ἄλλου ἀρέσκει, τὸ σύνηθες δ' ἀπαρέσκει.
οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπί τι. οὐδὲ περιο-
δεύσας ὅλον τὸ πρᾶγμα, οὐδ' ἐβασάνισας, ἀλλ'
εἰκῇ καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν. οὕτω τινὲς ἰδόν-
τες φιλόσοφον, καὶ ἀκούσαντές τινος οὕτω λέγον-
τος, ὡς Εὐφράτης λέγει (καίτοι τίς οὕτω δύναται
εἰπεῖν ὡς ἐκεῖνος) θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν. ἄν-
θρωπε σκέψαι πρῶτον τί ἐστι τὸ πρᾶγμα. εἶτα καὶ
τὴν σαυτοῦ φύσιν, τί δύνασαι βαστάσαι. εἰ παλαι-
στής, ἰδού σου τοὺς ὤμους, τοὺς μηρούς, τὴν ὀσφύν.
ἄλλος γὰρ πρὸς ἄλλο τι πέφυκε. δοκεῖς ὅτι ταῦτα
ποιῶν δύνασαι φιλοσοφεῖν. δοκεῖς ὅτι δύνασαι
ὡσαύτως ἐσθίειν. ὡσαύτως πίνειν. ὁμοίως ὀργί-
ζεσθαι. ὁμοίως δυσαρεστεῖν. ἀγρυπνῆσαι δεῖ, πονῆ-
σαι. νικῆσαί τινας ἐπιθυμίας. ἀπελθεῖν ἀπὸ τῶν
οἰκείων, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ὑπὸ τῶν
ἀπαντώντων καταγελασθῆναι. ἐν παντὶ ἔλασ-
σον ἔχειν. ἐν ἀρχῇ, ἐν τιμῇ, ἐν δίκῃ. ταῦτα περισκε-
ψάμενος, εἴ σοι δοκεῖ προσέρχου. εἰ θέλεις ἀντικα-
ταλλάξασθαι τούτων ἀπάθειαν. ἐλευθερίαν. ἀτα-
ραξίαν. εἰ δὲ μή, μὴ πρόσαγε. μὴ ὡς τὰ παιδία,
νῦν μὲν φιλόσοφος, ὕστερον δὲ τελώνης, εἶτα ῥή-
τωρ, εἶτα ἐπίτροπος Καίσαρος. ταῦτα οὐ συμφω-
νεῖ. ἕνα σε δεῖ ἄνθρωπον εἶναι, ἢ ἀγαθὸν ἢ κακόν.





ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ σαυτοῦ, ἢ
τὰ ἐκτός. ἢ περὶ τὰ ἔσω φιλοπόνει, ἢ περὶ τὰ ἔξω.
τοῦτ' ἔστι φιλοσόφου στάσιν ἔχειν, ἢ ἰδιώτου. Ῥοῦφω
τις ἔλεγε Γάλβα σφαγέντος, ὅτι νῦν προνοίᾳ ὁ
κόσμος διοικεῖται. ὁ δέ, μή, παρέργως ποτ' ἔφη
ἀπὸ Γάλβα κατεσκεύασα, ὅτι προνοίᾳ ὁ κό-
σμος διοικεῖται.

Ruffus
Galba

## Ὅτι εὐλαβῶς δεῖ συγκαθιέναι εἰς συμπεριφοράς. ιϛ'.

Ἀνάγκη τὸν συγκαθιέντα τισὶν ἐπὶ πλέον, ἢ
εἰς λαλιάν, ἢ εἰς συμπόσια, ἢ ἁπλῶς εἰς συμ-
βίωσιν, ἢ αὐτὸν ἐκείνοις ἐξομοιωθῆναι, ἢ ἐκείνους
μεταθεῖναι ἐπὶ τὰ αὑτοῦ. καὶ γὰρ ἄνθρακα ἀπε-
σβεσμένον ἂν θῇς παρὰ τὸν καιόμενον, ἢ αὐτὸς ἐκεῖ-
νον, ἢ ἐκεῖνος τοῦτον ἐκκαύσει. τηλικούτου οὖν τοῦ
κινδύνου ὄντος, εὐλαβῶς δεῖ τοῖς ἰδιώταις συγ-
καθίεσθαι εἰς τὰς τοιαύτας περιφοράς. μεμνημέ-
νους ὅτι ἀμήχανον τὸν συναναθριβόμενον τῷ ἐσβο-
λημένῳ, μὴ καὶ αὐτὸν ἀπολαῦσαι τῆς ἀσβόλης.
τί γὰρ ποιήσεις ἂν περὶ μονομάχων λαλῇ, ἂν περὶ
ἵππων, ἂν περὶ ἀθλητῶν, ἂν τὸ ἔτι τούτων χεῖρον
περὶ ἀνθρώπων. ὁ δεῖνα κακός, ὁ δεῖνα ἀγαθός.
τοῦτο καλῶς ἐγένετο, τοῦτο κακῶς. ἔτι ἂν σκώ-
πτῃ, ἂν γελοιάζῃ, ἂν κακοηθίζῃ, ἔχει τις ὑμῶν πα-
ρασκευὴν οἵαν ὁ κιθαριστικὸς τὴν λύραν λαβών,

ὥστ' εὐθὺς ἁψάμενος τῶν χορδῶν, γνῶναι τὰς ἀσυμφώνους καὶ ἁρμόσασθαι τὸ ὄργανον. ἣν εἶχε Σωκράτης δύναμιν, ὥστ' ἐν πάσῃ συμφορᾷ ἄγειν ἐπὶ τὸ αὐτοῦ τοὺς συνόντας. πόθεν ὑμῖν. ἀλλ' ἀνάγκη ὑπὸ τῶν ἰδιωτῶν ὑμᾶς περιάγεσθαι. διατί οὖν ἐκεῖνοι ὑμῶν ἰσχυρότεροι. ὅτι ἐκεῖνοι μὲν τὰ σαπρὰ ταῦτα ἀπὸ δογμάτων λαλοῦσιν, ὑμεῖς δὲ τὰ κομψὰ ἀπὸ τῶν χειλῶν. διατοῦτο ἄτονά ἐστι καὶ νεκρά. καὶ σικχᾶναί ἐστιν ἀκούοντα ὑμῶν τοὺς προτρεπτικοὺς, καὶ τὴν ἀρετὴν τὴν ταλαίπωρον, ἣ ἄνω κάτω θρυλλεῖται. οὕτως ὑμᾶς οἱ ἰδιῶται νικῶσι. πανταχοῦ γὰρ ἰσχυρὸν τὸ δόγμα. ἀνίκητον τὸ δόγμα. μέχρις ἂν οὖν παγῶσιν ἐν ὑμῖν αἱ κομψαὶ ὑπολήψεις, καὶ δύναμίν τινα περιποιήσησθε πρὸς ἀσφάλειαν, συμβουλεύω ὑμῖν εὐλαβῶς τοῖς ἰδιώταις συγκαταβαίνειν. εἰ δὲ μὴ, καθημέραν ὡς κηρὸς ἐν ἡλίῳ διατακήσεται ὑμῶν εἴ τινα ἐν τῇ σχολῇ ἐγγράφετε. μακρὰν οὖν ἀπὸ τοῦ ἡλίου πού ποτε ὑπάγετε, μέχρις ἂν κηρίνας τὰς ὑπολήψεις ἔχητε. διατοῦτο καὶ τῶν πατρίδων συμβουλεύουσιν ἀποχωρεῖν οἱ φιλόσοφοι, ὅτι τὰ παλαιὰ ἔθη περισπᾷ καὶ οὐκ ἐᾷ ἀρχὴν γενέσθαι τινὰ ἄλλου ἐθισμοῦ. οὐδὲ φέρομεν τοὺς ἀπαντῶντας καὶ λέγοντας. ἴδ' ὁ δεῖνα φιλοσοφεῖ. ὁ τοῖος καὶ ὁ τοῖος. οὕτω καὶ οἱ ἰατροὶ τοὺς μακρονοσοῦντας ἐκπέμπουσιν εἰς ἄλλην χώραν καὶ ἄλλον ἀέρα,



καλῶς ποιοῦντες. καὶ ὑμεῖς ἀντεισαγάγετε ἄλλα ἔθη. πήξατε ὑμῶν τὰς ὑπολήψεις. ἐν αὐταῖς συνασκεῖτε. οὔ. ἀλλ' ἔνθεν ἐπὶ θεωρίαν, εἰς μονομαχίαν, εἰς ξυστὸν, εἰς κίρκον. εἶτ' ἐκεῖθεν ὧδε, καὶ πάλιν ἔνθεν ἐκεῖ οἱ αὐτοί, καὶ ἔθος κομψὸν οὐδὲν. οὔτε προσοχὴ οὔτ' ἐπιστροφὴ ἐφ' αὑτὸν καὶ παρατήρησις. πῶς χρῶμαι ταῖς προσπιπτούσαις φαντασίαις κατὰ φύσιν ἢ παρὰ φύσιν. πῶς ἀποκρίνομαι πρὸς αὐτὰς ὡς δεῖ, ἢ ὡς οὐ δεῖ. ἐπιλέγω τοῖς ἀπροαιρέτοις, ὅτι οὐδὲν πρὸς ἐμέ. εἰ γὰρ μή πως οὕτως ἔχετε, φύγετε ἔθη τὰ πρότερον, φύγετε τοὺς ἰδιώτας, εἰ θέλετε, ἄρξασθαί ποτε τινὲς εἶναι.

## Περὶ προνοίας. ιζ'.

Ὅταν τι τῇ προνοίᾳ ἐγκαλῇς, ἐπιστράφηθι, καὶ γνώσῃ ὅτι κατὰ λόγον γέγονε. ναί. ἀλλ' ὁ ἄδικος πλέον ἔχει. ἐν τίνι. ἐν ἀργυρίῳ. πρὸς γὰρ τοῦτό σου κρείττων ἐστὶν, ὅτι κολακεύει, ἀναισχυντεῖ. ἀγρυπνεῖ. τί θαυμαστόν. ἀλλ' ἐκεῖνο βλέπε, εἰ ἐν τῷ πιστὸς εἶναι πλέον σου ἔχει. εἰ ἐν τῷ αἰδήμων. οὐ γὰρ εὑρήσεις. ἀλλ' ὅπου κρείττων, ἐκεῖ σαυτὸν εὑρήσεις πλέον ἔχοντα. κἀγώ ποτ' εἶπόν τινι ἀγανακτοῦντι ὅτι Φιλόστοργος εὐτυχεῖ. ἤθελες ἂν σὺ μετὰ Σούρα κοιμᾶσθαι; μὴ γένοιτο φησὶν ἐκείνη ἡ ἡμέρα. τί οὖν ἀγανακτεῖς, εἰ λαμβάνει τι ἀνθ' οὗ πω-

λεῖ. ἢ πῶς μακαρίζεις τὸν διὰ τούτων, ἃ σὺ ἀπεύχῃ, κτώμενον ἐκεῖνα. ἢ τί κακὸν ποιεῖ ἡ πρόνοια, ἣ τοῖς κρείττοσι τὰ κρείττω δίδωσιν. ἢ οὐκ ἔστι κρεῖττον αἰδήμονα εἶναι ἢ πλούσιον; ὡμολόγει. τί οὖν ἀγανακτεῖς ἄνθρωπε ἔχων τὸ κρεῖττον. μέμνησθε οὖν ἀεὶ καὶ πρόχειρον ἔχετε, ὅτι νόμος οὗτος φυσικός, τὸν κρείττονα τοῦ χείρονος πλέον ἔχειν ἐν ᾧ κρείττων ἐστί. καὶ οὐδέποτ' ἀγανακτήσετε. ἀλλ' ἡ γυνή μοι κακῶς χρῆται. καλῶς. ἄν τις πυνθάνηται τί ἐστι τοῦτο, λέγε. ἡ γυνή μοι κακῶς χρῆται. ἄλλο οὖν οὐδέν; οὐδέν. ὁ πατήρ μοι οὐδὲν δίδωσιν, ὅτι δὲ κακόν ἐστι, τοῦτο ἔξωθεν αὐτῷ δεῖ προσθεῖναι καὶ προσκαταψεύσασθαι. διὰ τοῦτο οὐ δεῖ τὴν πενίαν ἐκβάλλειν, ἀλλὰ τὸ δόγμα τὸ περὶ αὐτῆς, καὶ οὕτως εὐροήσομεν.

328

8 X

## Ὅτι οὐ δεῖ πρὸς τὰς ἀγγελίας ταράσσεσθαι. ιζ.

Ὅταν σοι τι προσαγγελθῇ ταρακτικόν, ἐκεῖνο ἔχε πρόχειρον, ὅτι ἀγγελία περὶ οὐδενὸς προαιρετικοῦ γίνεται. μή τι γὰρ δύναταί σοι τις ἀγγεῖλαι, ὅτι κακῶς ὑπέλαβες, ἢ κακῶς ὠρέχθης; οὐδαμῶς. ἀλλ' ὅτι ἀπέθανέ τις. τί οὖν πρὸς σέ. ὅτι σε κακῶς τις λέγει. τί οὖν πρὸς σέ. ὅτι ὁ πατὴρ τάδε τινὰ ἑτοιμάζεται. ἐπὶ τίνα. μή τι ἐπὶ τὴν προαίρεσιν; πόθεν δύναται. ἀλλ' ἐπὶ τὸ



σωμάτιον; ἐπὶ τὸ κτησείδιον; ἐσώθης. οὐκ ἐπὶ σέ. οὐκοῦν ἀλλ' ὁ κριτὴς ἀποφαίνεται, ὅτι ἠσέβησας. περὶ Σωκράτους δ' οὐκ ἀπεφήναντο οἱ δικασταί; μή τι σὸν ἔργον ἐστὶ τὸ ἐκεῖνον ἀποφήνασθαι; οὔ. τί οὖν ὅτι σοι μέλει. ἔστι τι τοῦ πατρός σου ἔργον, ὃ ἂν μὴ πληρώσῃ, ἀπώλεσε τὸν πατέρα. τὸν φιλόστοργον. τὸν ἥμερον. ἄλλο μηδὲν ζήτει τούτου εἵνεκα αὐτὸν ἀπολέσθαι. οὐδέποτε γὰρ ἐν ἄλλῳ μέν τις ἁμαρτάνει, εἰς ἄλλο δὲ βλάπτεται. πάλιν σὸν ἔργον τὸ ἀπολογηθῆναι. εὐσταθῶς. αἰδημόνως, ἀοργήτως. εἰ δὲ μή, ἀπώλεσας καὶ σὺ τὸν υἱόν, τὸν αἰδήμονα, τὸν γενναῖον. τί οὖν ὁ κριτὴς ἀκίνδυνός ἐστιν; οὔ. ἀλλὰ κἀκεῖνος τὰ ἴσα κινδυνεύεται. τί οὖν ἔτι φοβῇ, τί ἐκεῖνος κρινεῖ. τί σοι καὶ τῷ ἀλλοτρίῳ κακῷ. σὸν κακόν ἐστι, τὸ κακῶς ἀπολογηθῆναι. τοῦτο φύλασσον μόνον. κριθῆναι δ' ἢ μὴ κριθῆναι, ὥσπερ ἄλλου ἐστὶν ἔργον, οὕτω κακὸν ἄλλου ἐστίν. ἀπειλεῖ σοι ὁ δεῖνα. ἐμοί; οὔ. ψέγει σε. αὐτὸς ὄψεται πῶς ποιεῖ τὸ ἴδιον ἔργον. μέλλει σε κατακρινεῖν ἀδίκως, ἄθλιος.

Σ Socrate

329

9 X

## Τίς στάσις ἰδιώτου καὶ φιλοσόφου. ιη.

Η πρώτη διαφορὰ ἰδιώτου καὶ φιλοσόφου. ὁ μὲν λέγει οὐαί μοι διὰ τὸ παιδάριον. διὰ τὸν ἀδελφόν. οὐαὶ διὰ τὸν πατέρα. ὁ δ' ἄν ποτ' εἰπεῖν ἀναγκασθῇ οὐαί μοι, ἐπιστήσας λέγει, δι' ἐμέ.

προαίρεσιν γὰρ οὐδεὶς δύναται κωλῦσαι ἢ βλάψαι ἀπροαίρετον, εἰ μὴ αὐτὴ ἑαυτήν. ἂν οὖν ἐπὶ τοῦτο ῥέψωμεν καὶ αὐτοί, ὥστε ὅταν δυσοδῶμεν αὐτοὺς αἰτιᾶσθαι, καὶ μεμνῆσθαι ὅτι οὐδὲν ἄλλο ταραχῆς ἢ ἀκαταστασίας αἴτιόν ἐστιν ἢ δόγμα, ὀμνύω ὑμῖν πάντας θεούς, ὅτι προέκοψε. νῦν δ' ἄλλην ὁδὸν ἐξ ἀρχῆς ἐληλύθαμεν. εὐθὺς ἔτι παίδων ἡμῶν ὄντων, ἡ τίτθη εἴ ποτε προσεπταίσαμεν χάσκοντες, οὐχὶ ἡμῖν ἐπέπλησσεν, ἀλλὰ τὸν λίθον ἔτυπτε. τί γὰρ ἐποίησεν ὁ λίθος; διὰ τὴν τοῦ παιδίου σου μωρίαν ἔδει μεταβῆναι αὐτόν; πάλιν ἂν μὴ εὕρωμεν φαγεῖν ἐκ βαλανείου, οὐδέποθ' ἡμῶν καταστέλλει τὴν ~~ἐπιθυμίαν~~ ὁ παιδαγωγός. ἀλλὰ δέρει τὸν μάγειρον ~~ἄνθρωπε~~. μὴ γὰρ ἐκεῖνόν σε παιδαγωγὸν κατεστήσαμεν, ἀλλὰ τὸ παιδίον ἡμῶν. τοῦτο ἐπανόρθου. τοῦτο ὠφέλει. οὕτω καὶ αὐξηθέντες φαινόμεθα παιδία. παῖς γὰρ ἐν μουσικοῖς, ὁ ἄμουσος. ἐν γραμματικοῖς, ὁ ἀγράμματος. ἐν βίῳ, ὁ ἀπαίδευτος.

## Ὅτι ἀπὸ πάντων τῶν ἐκτὸς ἔστιν ὠφελεῖσθαι. ιϛ

Ἐπὶ τῶν θεωρητικῶν φαντασιῶν, πάντες σχεδὸν τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἐν ἡμῖν ἀπέλιπον, οὐχὶ δ' ἐν τοῖς ἐκτός. οὐδεὶς λέγει ἀγαθόν, τὸ ἡμέραν εἶναι, κακόν, τὸ νύκτα εἶναι. μέγιστον δὲ κακὸν τὸ τρία τέσσαρα εἶναι. ἀλλὰ τί. τὴν μὲν ἐπιστήμην ἀγαθόν, τὴν δ' ἀπάτην κακόν. ὥστε καὶ περὶ τὸ



ψεῦδος αὐτό, ἀπάτην συνίστασθαι· τὴν ἐπιστήμην τοῦ ψεῦδος εἶναι αὐτό. ἔδει οὖν οὕτω καὶ ἐπὶ τοῦ βίου. ὑγεία ἀγαθόν, νόσος δὲ κακόν. οὔ. ἄνθρωπε. ἀλλὰ τί. τὸ καλῶς ὑγιαίνειν, ἀγαθόν. τὸ κακῶς, κακόν. ὥστε καὶ ἀπὸ νόσου ἔστιν ὠφεληθῆναι. τὸν θεόν σου. ἀπὸ θανάτου γὰρ οὐκ ἔστιν; ἀπὸ πηρώσεως γὰρ οὐκ ἔστι; μικρά σοι δοκεῖ ὁ Μενοικεὺς ὠφεληθῆναι ὅτ' ἀπέθνησκε; τοιαῦτά τις εἰπὼν ὠφεληθείη, οἷα ἐκεῖνος ὠφελήθη. ἔα ἄνθρωπε. οὐκ ἐτήρησε τὸν φιλόπατριν; τὸν μεγαλόφρονα; τὸν πιστόν; τὸν γενναῖον; ἐπιζήσας δὲ, οὐκ ἀπώλλυε ταῦτα πάντα; οὐ περιεποιεῖτο τὰ ἐναντία; τὸν δειλὸν οὐκ ἀνελάμβανε; τὸν ἀγεννῆ, τὸν μισόπατριν; τὸν φιλόψυχον; ἄγε. δοκεῖ σοι μικρὰ ὠφεληθῆναι ἀποθανών; οὔ. ἀλλ' ὁ τοῦ Ἀδμήτου πατὴρ μεγάλα ὠφελήθη ζήσας οὕτως ἀγεννῶς καὶ ἀθλίως, ὕστερον γὰρ οὐκ ἀπέθανε. παύσασθε τοὺς θεοὺς ὑμῶν, τὰς ὕλας θαυμάζοντες. παύσασθ' ἑαυτοὺς δούλους ποιοῦντες, πρῶτον τῶν πραγμάτων, εἶτα δι' αὐτὰ καὶ τῶν ἀνθρώπων τῶν ταῦτα περιποιεῖν ἢ ἀφαιρεῖσθαι δυναμένων. ἔστιν οὖν ἀπὸ τούτων ὠφεληθῆναι; ἀπὸ πάντων. καὶ ἀπὸ τοῦ λοιδοροῦντος. τί δ' ὠφελεῖ τὸν ἀθλητὴν ὁ προγυμναζόμενος. τὰ μέγιστα. καὶ οὗτος ἐμοῦ προγυμναστὴς γίνεται. τὸ ἀνεκτικόν μου γυμνάζει. τὸ ἀόργητον. τὸ πρᾷον. οὔ. ἀλλ' ὁ μὲν τοῦ τραχήλου καθάπτων,

καὶ τὴν ὀσφῦν μου καὶ τοὺς ὤμους καταρτίζων,
ὠφελεῖ με. καὶ ὁ ἀλείπτης καλῶς ποιῶν, λέγει. ἆ-
ρον ὕπερ ἀμφοτέραις. καὶ ὅσῳ βαρύτερός ἐστιν ἐ-
κεῖνος, τοσούτῳ μᾶλλον ὠφελοῦμαι ἐγώ. εἰ δέ τις
πρὸς ἀοργησίαν με γυμνάζει, οὐκ ὠφελοῦμαι. τοῦ-
τ᾽ ἔστι τὸ μὴ εἰδέναι ἀπ᾽ ἀνθρώπων ὠφελεῖσθαι. κα-
κὸς γείτων αὐτῷ, ἀλλ᾽ ἐμοὶ ἀγαθός. γυμνάζει μου
τὸ εὔγνωμον. τὸ ἐπιεικές. κακὸς πατὴρ αὐτῷ, ἀλ-
λ᾽ ἐμοὶ ἀγαθός. τουτέστι τὸ τοῦ ἑρμοῦ ῥαβδίον. οὗ
θέλεις φησὶν ἅψαι, καὶ χρυσοῦν ἔσται. οὔ. ἀλλ᾽ ὃ θέ-
λεις φέρε. κἀγὼ αὐτὸ ἀγαθὸν ποιήσω. φέρε νόσον,
φέρε θάνατον, φέρε ἀπορίαν, φέρε λοιδορίαν,
δίκην τὴν περὶ τῶν ἐσχάτων, πάντα ταῦτα τῷ ῥαβ-
δίῳ τοῦ ἑρμοῦ, ὠφέλιμα ἔσται. τὸν θάνατον τί ποιή-
σεις. τί γὰρ ἄλλο, ἢ ἵνα σε κοσμήσῃ. ἢ ἵνα δείξῃ σε
ἔργῳ δι᾽ αὐτοῦ τί ἐστιν ἄνθρωπος, τῷ βουλήματι τῆς
φύσεως παρακολουθῶν. τὴν νόσον τί ποιήσεις, δεί-
ξω αὐτῆς τὴν φύσιν. διαπρέψω ἐν αὐτῇ. εὐσταθήσω.
εὐροήσω. τὸν ἰατρὸν οὐ κολακεύσω. οὐκ εὔξομαι ἀ-
ποθανεῖν. τί ἔτι ἄλλο ζητεῖς. πᾶν ὃ ἂν δῷς, ἐγὼ
αὐτὸ ποιήσω μακάριον. εὐδαιμονικόν. σεμνόν. ζη-
λωτόν. οὔ. ἀλλὰ βλέπε μὴ νοσήσῃς. κακόν ἐστιν.
οἷον εἴ τις ἔλεγε, βλέπε μὴ λάβῃς ποτὲ φαντασίαν
τοῦ τὰ τρία τέσσαρα εἶναι. κακόν ἐστιν. ἄνθρωπε.
πῶς κακόν. ἂν ὃ δεῖ περὶ αὐτοῦ ὑπολάβω, πῶς ἔτι
με βλάψει. οὐχὶ δὲ μᾶλλον καὶ ὠφελήσει. ἂν οὖν



περὶ πενίας ὃ δεῖ ὑπολάβω, ἂν περὶ νόσου, ἂν περὶ
ἀναρχίας, οὐκ ἀρκεῖ μοι; οὐκ ὠφέλιμα ἔσται; πῶς
οὖν ἔτι ἐν τοῖς ἐκτὸς τὰ κακὰ καὶ τἀγαθὰ δεῖ με
ζητεῖν. ἀλλὰ τί. ταῦτα μέχρι ὧδε. εἰς οἶκον δ᾽ οὐδεὶς
ἀποφέρει. ἀλλ᾽ εὐθὺς πρὸς τὸ παιδάριον πόλε-
μος. πρὸς τοὺς γείτονας. πρὸς τοὺς σκώψαντας. πρὸς
τοὺς καταγελάσαντας. καλῶς γένοιτο λεσβίῳ,
ὅτι με καθ᾽ ἡμέραν ἐξελέγχει μηδὲν εἰδότα.

Πρὸς τοὺς εὐκόλως ἐπὶ τὸ σοφιστεύειν
ἐρχομένους. κα.

Ὅτι τὰ θεωρήματα ἀναλαβόντες ψιλά,
εὐθὺς αὐτὰ ἐξεμέσαι θέλουσιν, ὡς οἱ στομα-
χικοὶ τὴν τροφήν. πρῶτον αὐτὸ πέψον, εἶθ᾽ οὕτω
μὴ ἐξεμέσῃς. εἰ δὲ μή, ἔμετος τῷ ὄντι γίνεται. πρᾶ-
γμα καθαρὸν καὶ ἄβρωτον. ἀλλ᾽ ἀπ᾽ αὐτῶν ἀνα-
δοθέντων δεῖξόν τινα ἡμῖν μεταβολὴν τοῦ ἡγεμο-
νικοῦ τοῦ σεαυτοῦ. ὡς οἱ ἀθληταὶ τοὺς ὤμους ἀφ᾽
ὧν ἐγυμνάσθησαν, καὶ ἔφαγον. ὡς οἱ τὰς τέχνας
ἀναλαβόντες, ἀφ᾽ ὧν ἔμαθον. οὐκ ἔρχεται ὁ τέκ-
των καὶ λέγει, ἀκούσατέ μου διαλεγομένου περὶ
τῶν τεκτονικῶν, ἀλλ᾽ ἐκμισθωσάμενος οἰκίαν, ταύ-
την κατασκευάσας, δείκνυσιν ὅτι ἔχει τὴν τέχνην.
τοιοῦτόν τι καὶ σὺ ποίησον. φάγε ὡς ἄνθρωπος. πίε
ὡς ἄνθρωπος. κοσμήθητι. γάμησον. παιδοποίησον.
πολίτευσαι. ἀνάσχου λοιδορίας. ἔνεγκαι ἀδελ-

φὸν ἀγνώμονα. σύνεσχες πατέρα. σύνεσχες γείτονα, σύνοδον. ταῦτα ἡμῖν δεῖξον, ἵν' ἴδωμεν ὅτι μεμάθηκας ταῖς ἀληθείαις τι τῶν φιλοσόφων. οὔ. ἀλλ' ἐλθόντες ἀκούσατέ μου σχόλια λέγοντος. ὕπαγε ζήτει τίνων κατεξεράσεις. καὶ μὴν ἐγὼ ὑμῖν ἐξηγήσομαι τὰ χρυσίππεια, ὡς οὐδείς. τὴν λέξιν διαλύσω καθαρώτατα. προσθήσω ἄν που καὶ ἀντιπάτρου καὶ ἀρχεδήμου φοράν. εἶτα τούτου ἕνεκα ἀπολίπωσιν οἱ νέοι τὰς πατρίδας καὶ τοὺς γονεῖς τοὺς αὐτῶν, ἵν' ἐλθόντες λεξείδιά σου ἐξηγουμένου ἀκούσωσιν; οὐ δεῖ αὐτοὺς ὑποστρέψαι, ἀνεκτικούς, συνεργητικούς, ἀπαθεῖς, ἀταράχους, ἔχοντάς τι ἐφόδιον τοιοῦτον εἰς τὸν βίον, ἀφ' οὗ ὁρμώμενοι φέρειν δυνήσονται τὰ συμπίπτοντα καλῶς, καὶ κοσμεῖσθαι ὑπ' αὐτῶν; καὶ πόθεν σοι μεταδιδόναι τούτων ὧν οὐκ ἔχεις. αὐτὸς γὰρ ἄλλο τι ἐποίησας ἐξ ἀρχῆς, ἢ περὶ ταῦτα κατετρίβης, πῶς οἱ συλλογισμοὶ ἀναλυθήσονται. πῶς οἱ μεταπίπτοντες. πῶς οἱ τῷ ἠρωτῆσθαι περαίνοντες. ἀλλ' ὁ δεῖνα σχολὴν ἔχει. διατί μὴ κἀγὼ σχῶ. οὐκ εἰκῇ ταῦτα γίνεται ἀνδράποδον, οὐδ' ὡς ἔτυχεν. ἀλλὰ καὶ ἡλικίαν εἶναι δεῖ καὶ βίον, καὶ θεὸν ἡγεμόνα. οὔ. ἀλλ' ἀπὸ λιμένος μὲν οὐδεὶς ἀνάγεται, μὴ θύσας τοῖς θεοῖς καὶ παρακαλέσας αὐτοὺς βοηθούς. οὐδὲ σπείρουσιν ἄλλως οἱ ἄνθρωποι, εἰ μὴ τὴν δήμητραν ἐπικα-

Chrysipp Antipater Archedem 335 15 X

Δ

φοράν



λεσάμενοι. τηλικοῦτον δ' ἔργον ἁψάμενός τις, ἄνευ θεῶν ἀσφαλῶς ἅψεται. καὶ οἱ τούτῳ προσιόντες, εὐτυχῶς προσελεύσονται. τί ἄλλο ποιεῖς ἄνθρωπε, ἢ τὰ μυστήρια ἐξορχῇ καὶ λέγεις, οἴκημά ἐστι καὶ ἐν ἐλευσῖνι. ἰδοὺ καὶ ἐνθάδε. ἐκεῖ ἱεροφάντης, καὶ ἐγὼ ποιήσω ἱεροφάντην. ἐκεῖ κῆρυξ, κἀγὼ κήρυκα καταστήσω. ἐκεῖ δᾳδοῦχος, κἀγὼ δᾳδοῦχον. ἐκεῖ δᾷδες, καὶ ἐνθάδε. αἱ φωναὶ αἱ αὐταί. τὰ γινόμενα τί διαφέρει ταῦτα ἐκείνων; ἀσεβέστατε ἄνθρωπε. οὐδὲν διαφέρει, καὶ παρὰ τόπον ταῦτα ὠφελεῖ, καὶ παρὰ καιρόν, καὶ μετὰ θυσίας δέ, καὶ μετ' εὐχῶν. καὶ προηγνευκότα, καὶ προδιακείμενον τῇ γνώμῃ ὅτι ἱεροῖς προσελεύσεται, καὶ ἱεροῖς παλαιοῖς. οὕτως ὠφέλιμα γίνεται τὰ μυστήρια. οὕτως εἰς φαντασίαν ἐρχόμεθα, ὅτι ἐπὶ παιδείᾳ καὶ ἐπανορθώσει τοῦ βίου κατεστάθη πάντα ταῦτα ὑπὸ τῶν παλαιῶν. σὺ δ' ἐξαγγέλλεις αὐτὰ καὶ ἐξορχῇ παρὰ καιρόν, παρὰ τόπον, ἄνευ θυμάτων, ἄνευ ἁγνείας. οὐκ ἐσθῆτα ἔχεις ἣν δεῖ τὸν ἱεροφάντην. οὐ κόμην. οὐ στρόφιον οἷον δεῖ. οὐ φωνήν, οὐχ ἡλικίαν. οὐχ ἥγνευκας ὡς ἐκεῖνος. ἀλλ' αὐτὰς μόνας τὰς φωνὰς ἀνειληφὼς λέγεις. ἱεραί εἰσιν αἱ φωναὶ *αὐταὶ καθ' αὑτάς. ἄλλον τρόπον δεῖ ἐπὶ ταῦτα ἐλθεῖν. μέγα ἐστὶ τὸ πρᾶγμα. μυστικόν ἐστιν οὐχ ὡς ἔτυχεν. οὐδὲ τῷ τυχόντι δεδομένον. ἀλλ' οὐδὲ σοφὸν εἶναι τυχὸν ἐξαρκεῖ,

ἐξορχῇ 336 16 X

ἐξορχῇ στρόφι

*αὐταὶ

ἐξορχῇ τὰ μυστήρια

πρὸς τὸ ἐπιμεληθῆναι νέων. δεῖ δὲ καὶ προχειρότητά τινα εἶναι καὶ ἐπιτηδειότητα πρὸς τοῦτο νὴ τὸν Δία. καὶ σῶμα ποιόν. καὶ πρὸ πάντων τὸν θεὸν συμβουλεύειν ταύτην τὴν χώραν κατασχεῖν. ὡς Σωκράτει συνεβούλευε τὴν ἐλεγκτικὴν χώραν ἔχειν. ὡς Διογένει τὴν βασιλικὴν καὶ ἐπιπληκτικήν. ὡς Ζήνωνι τὴν διδασκαλικὴν καὶ δογματικήν. σὺ δ᾽ ἰατρεῖον ἀνοίγεις, ἄλλο οὐδὲν ἔχων, ἢ φάρμακα. ποῦ δὲ ἢ πῶς ἐπιτίθεται ταῦτα, μήτε εἰδώς, μήτε πολυπραγμονήσας. ἰδοὺ ἐκεῖνος ταῦτα τὰ κολλύρια κἀγὼ ἔχω. μή τι οὖν καὶ τὴν δύναμιν τὴν χρηστικὴν αὐτοῖς; μή τι οἶδας καὶ πότε καὶ πῶς ὠφελήσει καὶ τίνας; τί οὖν κυβεύεις ἐν τοῖς μεγίστοις; τί ῥᾳδιουργεῖς; τί ἐπιχειρεῖς πράγματι, μηδέν σοι προσήκοντι. ἄφες αὐτὸ τοῖς δυναμένοις. τοῖς κοσμοῦσι. μὴ προστρίβου καὶ αὐτὸς αἶσχος φιλοσοφίᾳ διὰ σαυτοῦ. μηδὲ γίνου μέρος τῶν διαβαλλόντων τὸ ἔργον. ἀλλ᾽ εἴ σε ψυχαγωγεῖ τὰ θεωρήματα, καθήμενος αὐτὰ στρέφε αὐτὸς ἐπὶ σεαυτοῦ. φιλόσοφον δὲ μηδέποτ᾽ εἴπῃς σεαυτόν, μήδ᾽ ἄλλου ἀνάσχῃ λέγοντος. ἀλλὰ λέγε. πεπλάνηται. ἐγὼ γὰρ οὔτ᾽ ὀρέγομαι ἄλλως ἢ πρότερον, οὔθ᾽ ὁρμῶ ἐπ᾽ ἄλλα, οὐδὲ συγκατατίθεμαι ἄλλοις, οὐδ᾽ ὅλως ἐν χρήσει φαντασιῶν παρήλλαχά τι ἀπὸ τῆς πρότερον καταστάσεως. ταῦτα φρόνει καὶ λέγε περὶ σεαυτοῦ, εἰ θέλεις τὰ κατ᾽ ἀξίαν φρονεῖν.

εἰ δὲ

[Marginalia: Y 337 · Socrates · Diogenes · Zeno · 338 · 2 Y]



εἰ δὲ μή, κύβευε καὶ ποίει ἃ ποιεῖς, ταῦτα γάρ σοι πρέπει.

## Περὶ κυνισμοῦ. κβ.

Πυνθανομένου δὲ τῶν γνωρίμων τινὸς αὐτοῦ, ὃς ἐφαίνετο ἐπιρρεπῶς ἔχων πρὸς τὸ κυνίσαι, ποῖόν τινα εἶναι δεῖ τὸν κυνίζοντα, καὶ τίς ἡ πρόληψις ἡ τοῦ πράγματος, σκεψόμεθα ἔφη κατὰ σχολήν. τοσοῦτον δ᾽ ἔχω σοι εἰπεῖν, ὅτι ὁ δίχα θεοῦ τηλικούτῳ πράγματι ἐπιβαλλόμενος, θεοχόλωτός ἐστι, καὶ οὐδὲν ἄλλο, ἢ δημοσίᾳ θέλει ἀσχημονεῖν. οὐδὲ γὰρ ἐν οἰκίᾳ καλῶς οἰκουμένῃ παρελθών τις, αὐτὸς ἑαυτῷ λέγει, ἐμὲ δεῖ οἰκονόμον εἶναι. εἰ δὲ μή, ἐπιστραφεὶς ὁ κύριος καὶ ἰδὼν αὐτὸν σοβαρῶς διατασσόμενον, ἑλκύσας ἔτεμεν. οὕτω γίνεται καὶ ἐν τῇ μεγάλῃ πόλει ταύτῃ. ἔστι γάρ τις καὶ ἐνθάδ᾽ οἰκοδεσπότης ἕκαστα διατάσσων. σὺ ἥλιος εἶ, δύνασαι περιερχόμενος ἐνιαυτὸν ποιεῖν καὶ ὥρας, καὶ τοὺς καρποὺς αὔξειν καὶ τρέφειν, καὶ ἀνέμους κινεῖν καὶ ἀνιέναι, καὶ τὰ σώματα τῶν ἀνθρώπων θερμαίνειν συμμέτρως. ὕπαγε, περιέρχου. καὶ οὕτω διακίνει ἀπὸ τῶν μεγίστων τὰ μικρότατα. σὺ μοσχάριον εἶ, ὅταν ἐπιφανῇ λέων, τὸ σεαυτοῦ πρᾶσσε. εἰ δὲ μή, οἰμώξεις. σὺ ταῦρος εἶ, προσελθὼν μάχου. σοὶ γὰρ τοῦτο ἐπιβάλλει καὶ πρέπει, καὶ δύνασαι αὐτὸ ποιεῖν. σὺ δύνασαι

Σ

[Marginalia: 339 Y · Sol uentos mouet & sedat]

Agamemno
Hector
Achilles
Therſites
Philoſophi ſymbola.
340
4 Y

ἡγεῖσθαι τοῦ στρατεύματος ἐπὶ Ἴλιον, ἐκεῖ Ἀγαμέ-
μνων. οὐ δύνασαι τῷ Ἕκτορι μονομαχῆσαι, ἐκεῖ
Ἀχιλλεύς. ἂν δὲ Θερσίτης παρελθὼν ἀντιποιεῖτο τῆς
ἀρχῆς, ἢ οὐκ ἂν ἔτυχεν, ἢ τυχὼν ἂν, ἠσχημόνησεν
ἐν πλείοσι. καὶ συμβουλεῦσαι περὶ πράγματος
ἐπιμελῶς οὐκ ἔστιν οἷον δοκεῖ σοι. τριβώνιον καὶ νῦν
φορῶ, καὶ τότε ἕξω. κοιμῶμαι καὶ νῦν σκληρῶς
καὶ τότε κοιμήσομαι. πηρίδιον προσλήψομαι καὶ
ξύλον. καὶ περιερχόμενος αἰτεῖν, ἄρξομαι τοὺς
ἀπαντῶντας λοιδορεῖν. κἂν ἴδω τινὰ δρωπακιζό-
μενον, ἐπιτιμήσω αὐτῷ. κἂν τὸ κόμιον πεπλακό-
τα, ἢ ἐν κοκκίνοις περιπατοῦντα. εἰ τοιοῦτόν τι φαν-
τάζῃ τὸ πρᾶγμα, μακρὰν ἀπ' αὐτοῦ. μὴ προσέλ-
θῃς, οὐδέν ἐστι πρὸς σέ. εἰ δ' οἷόν ἐστι φανταζόμενος
οὐκ ἀπαξιοῖς σεαυτὸν, σκέψαι ἡλίκῳ πράγματι
ἐπιχειρεῖς. πρῶτον ἐν τοῖς κατὰ σαυτὸν, οὐκέτι
δεῖ σε ὅμοιον ἐν οὐδενὶ φαίνεσθαι, οἷς νῦν ποιεῖς.
οὐ θεῷ ἐγκαλοῦντα, οὐκ ἀνθρώπῳ. ὄρεξιν ἀρέ-
σαι δεῖ παντελῶς. ἔκκλισιν ἐπὶ μόνα μεταθεῖναι
τὰ προαιρετικά. σοὶ μὴ ὀργὴν εἶναι. μὴ μῆνιν.
μὴ φθόνον. μὴ ἔλεον. μὴ κοράσιόν σοι φαίνε-
σθαι καλόν. μὴ δοξάριον. μὴ παιδάριον. μὴ πλα-
κουντάριον. ἐκεῖνο γὰρ εἰδέναι δεῖ, ὅτι οἱ ἄλλοι ἄν-
θρωποι τοὺς τοίχους προβέβληνται, καὶ τὰς οἰ-
κίας καὶ τὸ σκότος, ὅταν τι τῶν τοιούτων ποιῶσι.
καὶ τὰ κρύψοντα πολλὰ ἔχουσι. κέκλακε τὴν θύ-



ραν, ἐστακέναι τινὰ πρὸ τοῦ κοιτῶνος, ἄν τις ἔλ-
θῃ, λέγε ὅτι ἔξω ἐστίν. οὐ σχολάζει. ὁ κυνικὸς δ' ἀν-
τὶ πάντων τούτων ὀφείλει τὴν αἰδῶ προβεβλῆ-
σθαι. εἰ δὲ μή, γυμνὸς καὶ ἐν ὑπαίθρῳ ἀσχημονή-
σει. τοῦτο οἰκία ἐστὶν αὐτῷ. τοῦτο θύρα. τοῦτο οἱ
ἐπὶ τοῦ κοιτῶνος. τοῦτο σκότος. οὔτε γὰρ θέλειν
τι δεῖ ἀποκρύπτειν αὐτὸν τῶν ἑαυτοῦ. εἰ δὲ μή, ἀ-
πῆλθεν. ἀπώλεσε τὸν κυνικόν. τὸν ὕπαιθρον. τὸν
ἐλεύθερον. ἤρκταί τι τῶν ἐκτὸς φοβεῖσθαι. ἤρ-
κται χρείαν ἔχειν τοῦ ἀποκρύψοντος. οὔτε ὅταν
θέλῃ δύναται. ποῦ γὰρ αὐτὸν ἀποκρύψει, ἢ πῶς.
ἂν δ' ἀπὸ τύχης ἐμπέσῃ ὁ παιδευτὴς ὁ κοινὸς, ὁ
παιδαγωγὸς, οἷα πάσχειν ἀνάγκη. ταῦτ' οὖν δε-
δοικότα, ἐπιθαρρεῖν οἷόν τ' ἔτι δι' ὅλης ψυχῆς, ἐπι-
στατεῖν τοῖς ἄλλοις ~~ἀνθρ~~; ἀμήχανον. ἀδύνατον. ἀνθρώποις
πρῶτον οὖν τὸ ἡγεμονικόν σε δεῖ τὸ σαυτοῦ καθα-
ρὸν ποιῆσαι, καὶ τὴν ἔνστασιν ταύτην. νῦν ἐμοὶ ὕλη
ἐστὶν ἡ ἐμὴ διάνοια, ὡς τῷ τέκτονι τὰ ξύλα, ὡς τῷ
σκυτεῖ τὰ δέρματα. ἔργον δ' ὀρθὴ χρῆσις τῶν φαν-
τασιῶν. τὸ σωμάτιον δὲ οὐδὲν πρὸς ἐμὲ, τὰ τούτου
μέρη, οὐδὲν πρὸς ἐμέ. θάνατος; ἐρχέσθω ὅταν θέ-
λῃ, εἴτε ὅλον εἴτε μέρους τινός. φύγε. καὶ ποῦ.
δύναταί τις ἐκβαλεῖν ἔξω τοῦ κόσμου; οὐ δύ-
ναται. ὅπου δ' ἂν ἀπέλθω, ἐκεῖ ἥλιος, ἐκεῖ σελή-
νη, ἐκεῖ ἄστρα, ἐνύπνια, οἰωνοὶ, ἡ πρὸς θεοὺς
ὁμιλία. εἶθ' οὕτω παρασκευασάμενον, οὐκ ἔστι

τούτοις ἀρκεῖσθαι τὸν τῇ ἀληθείᾳ κυνικόν. ἀλλ' εἰδέναι δεῖ ὅτι ἄγγελος ἀπὸ τοῦ Διὸς ἀπέσταλται, καὶ πρὸς τοὺς ἀνθρώπους περὶ ἀγαθῶν καὶ κακῶν, ὑποδείξων αὐτοῖς ὅτι πεπλάνηνται, καὶ ἀλλαχοῦ ζητοῦσι τὴν οὐσίαν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, ὅπου οὐκ ἔστιν· ὅπου δ' ἔστιν, οὐκ ἐνθυμοῦνται. καὶ ὡς ὁ Διογένης ἀπαχθεὶς πρὸς Φίλιππον μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, κατάσκοπος εἶναι. τῷ γὰρ ὄντι κατάσκοπός ἐστιν ὁ κυνικός, τοῦ τίνα ἐστὶ τοῖς ἀνθρώποις φίλα, καὶ τίνα πολέμια. καὶ δεῖ αὐτὸν ἀκριβῶς κατασκεψάμενον, ἐλθόντ' ἀπαγγεῖλαι τἀληθῆ. μήθ' ὑπὸ φόβου ἐκπλαγέντα, ὥστε τοὺς μὴ ὄντας πολεμίους δεῖξαι, μήτε τινὰ ἄλλον τρόπον ὑπὸ τῶν φαντασιῶν παραταραχθέντα ἢ συγχυθέντα. δεῖ οὖν αὐτὸν δύνασθαι ἀνατεινάμενον, ἂν οὕτω τύχῃ, καὶ ἐπὶ σκηνὴν τραγικὴν ἀνερχόμενον, λέγειν τὸ τοῦ Σωκράτους. ὦ ἄνθρωποι ποῖ φέρεσθε; τί ποιεῖτε ὦ ταλαίπωροι; ὡς τυφλοὶ ἄνω καὶ κάτω κυλίεσθε. ἄλλην ὁδὸν ἀπέρχεσθε, τὴν οὖσαν ἀπολελοιπότες. ἀλλαχοῦ ζητεῖτε τὸ εὔρουν καὶ τὸ ἡγεμονικόν, ὅπου οὐκ ἔστιν. οὐδ' ἄλλου δεικνύοντος πιστεύετε. τί αὐτὸ ἔξω ζητεῖτε; ἐν σώματι; οὐκ ἔστιν. εἰ ἀπιστεῖτε, ἴδετε Μύρωνα, ἴδετε Ὀφέλλιον. ἐν κτήσει οὐκ ἔστιν. εἰ δ' ἀπιστεῖτε, ἴδετε Κροῖσον. ἴδετε τοὺς νῦν πλουσίους, ὅσης οἰμωγῆς ὁ βίος αὐτῶν μεστός ἐστιν. ἐν ἀρχῇ οὐκ ἔστιν.

Diogenes
Philipp'
342
Socrates
Myro
Ophellius
Croesus



εἰ δὲ μή γε, ἔδει τοὺς δὶς καὶ τρὶς ὑπάτους, εὐδαίμονας εἶναι. οὐκ εἰσὶ δέ. τίσι περὶ τούτου πιστεύσομεν; ὑμῖν τοῖς ἔξωθεν τὰ ἐκείνων βλέπουσι, καὶ ὑπὸ τῆς φαντασίας περιλαμπομένοις, ἢ αὐτοῖς ἐκείνοις; τί λέγουσιν; ἀκούσατε αὐτῶν ὅταν οἰμώζωσιν, ὅταν στένωσιν, ὅταν δι' αὐτὰς τὰς ὑπατείας καὶ τὴν δόξαν καὶ τὴν ἐπιφάνειαν, ἀθλιώτερον οἴονται καὶ ἐπικινδυνώτερον ἔχειν. ἐν βασιλείᾳ; οὐκ ἔστιν. εἰ δὲ μή, Νέρων ἂν εὐδαίμων ἐγένετο καὶ Σαρδανάπαλος. ἀλλ' οὐδ' Ἀγαμέμνων εὐδαίμων ἦν, καίτοι κομψότερος ὢν Σαρδαναπάλου καὶ Νέρωνος. ἀλλὰ τῶν ἄλλων ῥεγκόντων, ἐκεῖνος τί ποιεῖ; πολλὰς ἐκ κεφαλῆς προθελύμνους ἕλκετο χαίτας. καὶ αὐτὸς τί λέγει; πλάζομαι ὧδε φησὶ καὶ ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω στηθέων ἐκθρώσκει. τάλας τί τῶν σῶν ἔχει κακῶς; ἡ κτῆσις; οὐκ ἔχει. τὸ σῶμα; οὐκ ἔχει. ἀλλὰ πολύχρυσος εἶ καὶ πολύχαλκος. τί οὖν σοι κακόν ἐστιν; ἐκεῖνο, ὅ, τί ποτε ἠμέληταί σου καὶ κατέφθαρται, ᾧ ὀρεγόμεθα, ᾧ ἐκκλίνομεν, ᾧ ὁρμῶμεν καὶ ἀφορμῶμεν. πῶς ἠμέληται; ἀγνοεῖ τὴν οὐσίαν τοῦ ἀγαθοῦ, πρὸς ἣν πέφυκε, καὶ τὴν τοῦ κακοῦ. καὶ τί ἴδιον ἔχει, καὶ τὸ ἀλλότριον. καὶ ὅταν τι τῶν ἀλλοτρίων κακῶς ἔχῃ, λέγει οὐαί μοι. οἱ γὰρ Ἕλληνες κινδυνεύουσι. ταλαίπωρον ἡγεμονικὸν καὶ μόνον ἀτημέλητον καὶ ἀθεράπευτον. μέλλουσιν ἀποθνήσκειν ὑπὸ

343
Nero
Sardanapal'
Agamem



κομψότερος

τῶν φίλων ἀναιρεθέντες. ἂν δ' αὐτοὺς οἱ φίλοι μὴ ἀποκτείνωσιν, οὐ μὴ ἀποθάνωσι; ναί. ἀλλ' οὐχ ὑφ' ἓν πάντες. τί οὖν διαφέρει. εἰ γὰρ κακόν ἐστι τὸ ἀποθανεῖν, ἄν τε ὁμοῦ, ἄν τε καθ' ἕνα, ὁμοίως κακόν ἐστι. μή τι ἄλλο τι μέλλει γίνεσθαι, ἢ τὸ σωμάτιον χωρίζεσθαι καὶ ἡ ψυχή; οὐδέν. σοὶ δὲ ἀπολλυμένων τῶν Ἑλλήνων ἡ θύρα κέκλεισται; οὐκ ἔξεστιν ἀποθανεῖν; ἔξεστι. τί οὖν πενθεῖς. οὐαὶ βασιλεὺς, καὶ τὸ τοῦ διὸς σκῆπτρον ἔχων, ἀτυχὴς βασιλεὺς οὐ γίνεται, οὐ μᾶλλον ἢ ἀτυχὴς θεός. τί οὖν εἶ. ποιμὴν ταῖς ἀληθείαις. οὕτω γὰρ κλάεις, ὡς οἱ ποιμένες. ὅταν λύκος ἁρπάσῃ τι τῶν προβάτων αὐτῶν. καὶ οὗτοι δὲ πρόβατά εἰσιν οἱ ὑπὸ σοῦ ἀρχόμενοι. τί δὲ καὶ ἤρχου. μή τι ὄρεξις ὑμῖν ἐκινδυνεύετο; μή τι ἔκκλισις; μή τι ὁρμή; μή τι ἀφορμή; οὔ φησιν. ἀλλὰ τοῦ ἀδελφοῦ μου τὸ γυναικεῖον ἡρπάγη. οὐκ οὖν κέρδος μέγα στερηθῆναι μοιχικοῦ γυναικείου. καταφρονηθῶμεν οὖν ὑπὸ τῶν φίλων; τίνων ὄντων, φρονίμων ὄντων, ἢ ἀφρόνων, εἰ φρονίμων, τί αὐτοῖς πολεμεῖτε. εἰ δὲ ἀφρόνων, τί ὑμῖν μέλλει. ἐν τίνι οὖν ἐστὶ τὸ ἀγαθόν, ἐπειδὴ ἐν τούτοις οὐκ ἔστιν. εἰπὲ ἡμῖν κύριε ἄγγελε καὶ κατάσκοπε, ὅπου οὐ δοκεῖτε οὐδὲ θέλετε ζητῆσαι αὐτό. εἰ γὰρ ἠθέλετε, εὕρετε ἂν αὐτὸ ἐν ὑμῖν ὄν. οὐδ' ἂν ἔξω ἐπλάζεσθε. οὐδ' ἂν ἐζητεῖτε τὰ ἀλλότρια ὡς ἴδια, ἐπιστρέψατε αὐτοὶ ἐφ' ἑαυτοὺς καταμάθετε τὰς προλήψεις ἃς ἔχετε. ποῖόν τι φαντάζεσθε τὸ ἀγαθόν, τὸ εὔρουν, τὸ εὐδαιμονικόν, τὸ ἀπαραπόδιστον. ἄγε μέγα δ' αὐτὸ φυσικῶς οὐ φαντάζεσθε. ἀξιόλογον οὐ φαντάζεσθε. ἀβλαβὲς οὐ φαντάζεσθε. ἐν ποίᾳ οὖν ὕλῃ δεῖ ζητεῖν τὸ εὔρουν καὶ ἀπαραπόδιστον. ἐν τῇ δούλῃ, ἢ ἐν τῇ ἐλευθέρᾳ; ἐν τῇ ἐλευθέρᾳ. τὸ σωμάτιον οὖν ἐλεύθερον ἔχετε, ἢ δοῦλον; οὐκ ἴσμεν. οὐκ ἴστε ὅτι πυρετοῦ δοῦλόν ἐστι, ποδάγρας, ὀφθαλμίας, δυσεντερίας, τυράννου, πυρὸς, σιδήρου, παντὸς τοῦ ἰσχυροτέρου; ναί. δοῦλον. πῶς οὖν ἔτι ἀνεμπόδιστον εἶναί τι δύναται τῶν τοῦ σώματος. πῶς δὲ μέγα ἢ ἀξιόλογον, τὸ φύσει νεκρὸν, ἡ γῆ, ὁ πηλός. τί οὖν. οὐδὲν ἔχετε ἐλεύθερον; μή ποτε οὐδέν. καὶ τίς ὑμᾶς ἀναγκάσαι δύναται, συγκατατίθεσθαι τῷ ψευδεῖ φαινομένῳ. οὐδείς. τίς δὲ μὴ συγκατατίθεσθαι τῷ φαινομένῳ ἀληθεῖ. οὐδείς. ἐνθάδ' οὖν ὁρᾶτε, ὅτι ἐστί τι ἐν ὑμῖν ἐλεύθερον φύσει. ὀρέγεσθαι δ' ἢ ἐκκλίνειν, ἢ ὁρμᾶν ἢ ἀφορμᾶν, ἢ παρασκευάζεσθαι, ἢ προτίθεσθαι, τίς ὑμῶν δύναται μὴ λαβὼν φαντασίαν λυσιτελοῦς ἢ μὴ καθήκοντος. οὐδείς. ἔχετε οὖν καὶ ἐν τούτοις ἀκώλυτον καὶ ἐλεύθερον. ταλαίπωροι τοῦτο ἐξεργάζεσθε. τούτου ἐπιμέλεσθε. ἐνταῦθα ζητεῖτε τὸ ἀγαθόν. καὶ πῶς ἐνδέχεται, μηδὲν ἔχοντα, γυμνὸν, ἄοικον, ἀνέστιον, αὐχμῶντα,

ὑφ' ἕν. uno tempore ἅμα ὁμοῦ hesychi[us]

ἄδουλον, ἄπολιν, διεξάγειν εὐρόως. ἰδοὺ ἀπέσταλκεν ὑμῖν ὁ θεὸς, τὸν δείξοντα ἔργῳ ὅτι ἐνδέχεται. ἴδετέ με, ὅτι ἄπολίς εἰμι, ἄοικος, ἀκτήμων, ἄδουλος, χαμαὶ κοιμῶμαι. οὐ γυνὴ, οὐ παιδία, οὐ πραιτωρίδιον, ἀλλὰ γῆ μόνον καὶ οὐρανὸς, καὶ ἓν τριβωνάριον. καὶ τί μοι λείπει. οὐκ εἰμὶ ἄλυπος; οὐκ εἰμὶ ἄφοβος; οὐκ εἰμὶ ἐλεύθερος; πότε ὑμῶν εἶδέ μέ τις ἐν ὀρέξει ἀποτυγχάνοντα. πότ' ἐν ἐκκλίσει περιπίπτοντα. πότ' ἐμεμψάμην ἢ θεὸν ἢ ~~αὐτὸν~~. πότ' ἐνεκάλεσά τινι. μή τις ὑμῶν ἐσκυθρωπακότα με εἶδε; πῶς δ' ἐντυγχάνω τούτοις, οὓς ὑμεῖς φοβεῖσθε καὶ θαυμάζετε. οὐχ ὡς ἀνδραποδίοις. τίς με ἰδὼν, οὐχὶ τὸν βασιλέα τὸν ἑαυτοῦ ὁρᾶν οἴεται καὶ δεσπότην. ἴδε κυνικαὶ φωναί. ἴδε χαρακτήρ. ἴδε ἐπιβολή. οὔ. ἀλλὰ πηρίδιον καὶ ξύλον, καὶ γνάθοι μεγάλαι, καταφαγεῖν πᾶν ὃ ἐὰν δῷς, ἢ ἀποθησαυρίζειν, ἢ τοῖς ἀπαντῶσι λοιδορεῖσθαι ἀκαίρως, ἢ καλὸν τὸν ὦμον δακνύειν. τηλικούτῳ πράγματι ὁρᾷς πῶς μέλλεις ἐγχειρεῖν; ἔσοπτρον πρῶτον λάβε. ἴδε σου τοὺς ὤμους. καταμάθε τὴν ὀσφῦν. τοὺς μηρούς. ὀλύμπια μέλλεις ἀπογράφεσθαι ~~ἄνε~~. οὐχί τινά ποτε ἀγῶνα ψυχρὸν καὶ ταλαίπωρον. οὐκ ἔστιν ἐν ὀλυμπίοις νικηθῆναι μόνον καὶ ἐξελθεῖν, ἀλλὰ πρῶτον μὲν ὅλης τῆς οἰκουμένης βλεπούσης δεῖ ἀσχημονῆσαι. οὐχὶ ἀθηναίων μόνον, ἢ λακεδαιμονίων, ἢ νικοπολιτῶν. εἶτα καὶ δέρεσθαι δεῖ τὸν εἰκῆ ἐξελ-

ἈΛΝ



θόντα. πρὸ δὲ τοῦ δέρεσθαι, διψῆσαι. καυματισθῆναι. πολλὴν ἁφὴν καταπιεῖν. βούλευσαι ἐπιμελέστερον. γνῶθι σαυτόν. ἀνάκρινον τὸ δαιμόνιον. δίχα θεοῦ μὴ ἐπιχειρήσῃς. ἂν γὰρ συμβουλεύσῃ, ἴσθι ὅτι μέγαν σε θέλει γενέσθαι, ἢ πολλὰς πληγὰς λαβεῖν. καὶ γὰρ τοῦτο λίαν κομψὸν τῷ κυνικῷ παραπέπλεκται, δέρεσθαι δεῖ αὐτὸν ὡς ὄνον. καὶ δερόμενον, φιλεῖν αὐτοὺς τοὺς δέροντας, ὡς πατέρα πάντων, ὡς ἀδελφόν. οὔ. ἀλλ' ἄν τίς σε δέρῃ, κραύγαζε στὰς ἐν τῷ μέσῳ, ὦ καῖσαρ ἐν τῇ σῇ εἰρήνῃ οἷα πάσχω. ἄγωμεν ἐπὶ τὸν ἀνθύπατον. κυνικῷ δὲ καῖσαρ τί ἐστιν, ἢ ἀνθύπατος, ἢ ἄλλος, ἢ ὁ καταπεπομφὼς αὐτὸν, καὶ ᾧ λατρεύει ὁ ζεύς, ἄλλον τινὰ ἐπικαλεῖται, ἢ ἐκεῖνον; οὐ πέπεισται δ' ὅτι ἂν πάσχῃ τούτων, ὅτι ἐκεῖνος αὐτὸν γυμνάζει; ἀλλ' ὁ μὲν ἡρακλῆς ὑπὸ εὐρυσθέως γυμναζόμενος, οὐκ ἐνόμιζεν ἄθλιος εἶναι. ἀλλ' ἀόκνως ἐπετέλει πάντα τὰ προστασσόμενα. οὗτος δ' ὑπὸ τοῦ διὸς ἀθλούμενος καὶ γυμναζόμενος, μέλλει κεκραγέναι καὶ ἀγανακτεῖν, ἄξιος φορεῖν τὸ σκῆπτρον τοῦ διογένους. ἄκουε τί λέγει ἐκεῖνος πυρέσσων πρὸς τοὺς παριόντας. κακαὶ ἔφη κεφαλαὶ οὐ μενεῖτε; ἀλλ' ἀθλητῶν μὲν ὄλεθρον ἢ μάχην ὀψόμενοι, ἀπῆτε ὁδὸν τοσαύτην εἰς ὀλυμπίαν, πυρετοῦ δὲ καὶ ἀνθρώπου μάχην ἰδεῖν οὐ βούλεσθε; ταχύ γ' ἂν ὁ τοιοῦτος ἐνεκάλεσε τῷ θεῷ καταπεπομφότι

Κ

Κ

Ζ

Δ

Δ

πραιτωρίδιον

347 / 11 Y

348 / 12 Y

ἄνθρωπε

Hercules Eurystheus

εὐρόως

αὐτὸν, ὡς παράξια αὐτῷ χρωμένῳ. ὅς γε οὕτω-
καλλωπίζετο ταῖς περιστάσεσι, καὶ θέαμα εἶναι
ἠξίου τῶν παριόντων. ἐπὶ τίνι γὰρ ἐγκαλέσει; ὅτι
εὐσχημονεῖ; ὅτι κατηγορεῖ; ὅτι λαμπροτέραν αὐτοῦ-
δείκνυται τὴν ἀρετὴν τὴν ἑαυτοῦ; ἄγε. περὶ
πενίας δὲ τί λέγει. περὶ θανάτου. περὶ πόνου. πῶς
συνέκρινε τὴν εὐδαιμονίαν τὴν αὑτοῦ, τῇ μεγά-
λου βασιλέως. μᾶλλον δ' οὐδὲ συγκριτὸν ᾤετο
εἶναι. ὅπου γὰρ ταραχαὶ καὶ λῦπαι καὶ φόβοι, καὶ
ὀρέξεις ἀτελεῖς, καὶ ἐκκλίσεις περιπίπτουσαι, καὶ
φθόνοι καὶ ζηλοτυπίαι, ποῦ ἐκεῖ πάροδος εὐδαι-
μονίας. ὅπου δ' ἂν ᾖ σαπρὰ δόγματα, ἐκεῖ πάν-
τα ταῦτα εἶναι ἀνάγκη. πυθομένου δὲ τοῦ νεανί-
σκου, εἰ νοσήσας, ἀξιοῦντος φίλου πρὸς αὐτὸν ἐλ-
θεῖν ὥστε νοσοκομηθῆναι, ὑπακούσει. ποῦ δὲ φί-
λον μοι δώσεις κυνικὸν ἔφη. δεῖ γὰρ αὐτὸν ἄλ-
λον εἶναι τοιοῦτον, ἵν' ἄξιος ᾖ φίλος αὐτοῦ ἀριθμεῖ-
σθαι. κοινωνὸν εἶναι δεῖ αὐτὸν τοῦ σκήπτρου καὶ
τῆς βασιλείας, καὶ διάκονον ἄξιον, εἰ μέλλει φι-
Δ Ἀ λίας ἀξιωθήσεσθαι, ὡς Διογένης Ἀντισθένους ἐγέ-
Κ Δ νετο, ὡς Κράτης Διογένους. ἢ δοκεῖ σοι ὅτι χαίρειν
ἂν αὐτῷ λέγῃ προσερχόμενος, φίλος ἐστὶν αὐτοῦ.
κἀκεῖνος αὐτὸν ἄξιον ἡγήσεται τοῦ πρὸς αὐτὸν
εἰσελθεῖν. ὥστε ἄν σοι δοκῇ, καὶ ἐνθυμήθητι τοιοῦ-
τον. κοπρίαν μᾶλλον περιβλέπου κομψὴν, ἐν ᾗ
πυρέξεις, ἀποσκέπουσαν τὸν βορέαν, ἵνα μὴ πε-



ριψυγῇς. σὺ δέ μοι δοκεῖς θέλειν εἰς οἶκόν τινος ἀ-
πελθὼν διὰ χρόνου χορτασθῆναι. τί οὖν σοι καὶ
ἐπιχειρεῖν πράγματι τηλικούτῳ. γάμος δ' ἔφη
350 καὶ παῖδες προηγουμένως παραληφθήσονται
ὑπὸ τοῦ κυνικοῦ. ἄν μοι σοφὸν ἔφη δῷς, τάχα
4V μὲν οὐδ' ἥξει τις ῥᾳδίως ἐπὶ τὸ κυνίζειν. τίνων
γὰρ ἕνεκα ἂν δέξηται ταύτην τὴν διεξαγω-
γήν. ὅμως δ' ἂν ὑποθώμεθα, οὐδὲν κωλύσει καὶ
γῆμαι αὐτὸν, καὶ παιδοποιήσασθαι. καὶ γὰρ
ἡ γυνὴ αὐτοῦ ἔσται ἄλλη τοιαύτη, καὶ ὁ πενθε-
ρὸς ἄλλος τοιοῦτος, καὶ τὰ παιδία οὕτως ἀ-
ναγραφήσεται. τοιαύτης δ' οὔσης καταστάσεως οἷα
νῦν ἐστὶν ὡς ἐν παρατάξει, μή ποτ' ἀπερίσπα-
στον εἶναι δεῖ τὸν κυνικὸν ὅλον πρὸς τῇ διακονίᾳ
τοῦ θεοῦ. ἐπιφοιτᾶν ἀνθρώποις δυνάμενον, οὐ
προσδεδεμένον καθήκουσιν ἰδιωτικοῖς. οὐδ' ἐμ-
πεπλεγμένον σχέσιν, ἃς παραβαίνων, οὐκέτι σχέσεσιν
σώσει τὸ τοῦ καλοῦ καὶ ἀγαθοῦ πρόσωπον. τη-
ρῶν δ' ἀπολεῖ τὸν ἄγγελον καὶ κατάσκοπον,
καὶ κήρυκα τῶν θεῶν. ὅρα γὰρ ὅτι δεῖ αὐτὸν
ἀποδεικνύναι τινὰ τῷ πενθερῷ, χρὴ ἀποδι-
δόναι, τοῖς ἄλλοις συγγενέσι τῆς γυναικὸς, αὐτῇ
τῇ γυναικί. εἰς νοσοκομίας λοιπὸν ἐκκλείεται,
εἰς πορισμόν. ἵνα τ' ἄλλα ἀφῶ, δεῖ αὐτὸν κευκ- κουκκούμιον
κούμιον ἔχειν, ὅπου τὸ θερμὸν ποιήσει τῷ παι-
δίῳ, ἵν' αὐτὸ λούσῃ εἰς σκάφην. ἐρίδια τεκούσῃ

ἴσ. σχέσεσιν

τῇ γυναικί, ἔλαιον, κραββάτιον, ποτήριον· γίνεται ἤδη πλείω σκευάρια. τὴν ἄλλην ἀσχολίαν, τὸν περισπασμόν. ποῦ μοι λοιπὸν ἐκεῖνος ὁ βασιλεύς, ὁ τοῖς κοινοῖς προσευκαιρῶν, ᾧ λαοί τ' ἐπιτετράφαται, καὶ ~~πόσα~~ μέμηλεν· ὃν δεῖ τοὺς ἄλλους ἐπισκοπεῖν, τοὺς γεγαμηκότας, τοὺς πεπαιδοποιημένους· τίς καλῶς χρῆται τῇ αὑτοῦ γυναικί, τίς κακῶς· τίς διαφέρεται· ποία οἰκία εὐσταθεῖ, ποία οὔ· ὡς ἰατρὸν περιερχόμενον καὶ τῶν σφυγμῶν ἁπτόμενον· σὺ πυρέττεις, σὺ κεφαλαλγεῖς, σὺ ποδαγρᾷς· σὺ ἀνάτεινον, σὺ φάγε, σὺ ἀλούτησον· σὲ δεῖ τμηθῆναι, σὲ δεῖ καυθῆναι. ποῦ σχολὴ τῷ εἰς τὰ ἰδιωτικὰ καθήκοντα ἐνδεδεμένῳ; οὐ δεῖ αὐτὸν προσπορίσαι ἱμάτια τοῖς παιδίοις; ἄγε πρὸς γραμματιστὴν ἀποστεῖλαι πινακίδια ἔχοντα, γραφεῖα, πλάκεια· καὶ τούτοις κραββάτιον ἑτοιμάσαι· οὐ γὰρ ἐκ τῆς κοιλίας ἐξελθόντα δύναται κυνικὰ εἶναι. εἰ δὲ μή, κρεῖσσον ἦν αὐτὰ γενόμενα ῥῖψαι, ἢ οὕτως ἀποκτεῖναι. σκόπει ποῦ κατάγομεν τὸν κυνικόν, πῶς αὐτοῦ τὴν βασιλείαν ἀφαιρούμεθα. ναί. ἀλλὰ Κράτης ἔγημε. περίστασίν μοι λέγεις ἐξ ἔρωτος γενομένην, καὶ γυναῖκα τιθεὶς ἄλλον Κράτητα. ἡμεῖς δὲ περὶ τῶν κοινῶν γάμων καὶ ἀπεριστάτων ζητοῦμεν, καὶ οὕτω ζητοῦντες οὐχ εὑρίσκομεν ταύτῃ τῇ καταστάσει προηγούμενον τῷ κυνικῷ τὸ πρᾶγμα. πῶς οὖν ἔτι φησὶ διασώσει τὴν κοινω-



νίαν, τὸν θεόν σου, μεῖζον οἱ εὐεργετοῦσιν ἀνθρώπους οἱ δύο ἢ τρία κακόρυγχα παιδία ἀνθ' αὑτῶν εἰσάγοντες, ἢ οἱ ἐπισκοποῦντες πάντας κατὰ δύναμιν ~~αὐτοὺς~~ τί ποιοῦσι, πῶς διάγουσι, τίνος ἐπιμελοῦνται, τίνος ἀμελοῦσι παρὰ τὸ προσῆκον; καὶ Θηβαίους μείζονα ὠφέλησαν ὅσοι τεκνία αὐτοῖς κατέλιπον, ἢ Ἐπαμινώνδου τοῦ ἀτέκνου ἀποθανόντος. καὶ Ὁμήρου πλείονα τῇ κοινωνίᾳ συνεβάλετο Πρίαμος, ὁ πεντήκοντα γεννήσας περικαθάρματα, ἢ Δαναός, ἢ Αἴολος. εἶτα στρατηγία μὲν ἢ σύνταγμα τινὰ ἀπείρξει γάμου ἢ παιδοποιίας, καὶ οὐ δόξει οὗτος ἀντ' οὐδενὸς ἠλλάχθαι τὴν ἀτεκνίαν, ἡ δὲ τοῦ κυνὸς βασιλεία οὐκ ἔσται ἀνταξία; μήποτε οὐκ αἰσθανόμεθα τοῦ μεγέθους αὐτοῦ, οὐδὲ φανταζόμεθα ~~κατ' ἀξίαν~~ τὸν χαρακτῆρα τὸν Διογένους· ἀλλ' εἰς τοὺς νῦν ἀποβλέπομεν τοὺς τραπεζῆας πυλαωρούς, οἳ οὐδὲν μιμοῦνται ἐκείνους, ἢ εἴ που ἄρα πορδῶνες γίνονται, ἄλλο δ' οὐδέν. ἐπεὶ οὐκ ἂν ἡμᾶς ἐκίνει ταῦτα, οὐδ' ἂν ἐθαυμάζομεν, εἰ μὴ γαμήσει ἢ παιδοποιήσεται. ἄνθρωπε, πάντας ἀνθρώπους πεπαιδοποίηται, τοὺς ἄνδρας υἱοὺς ἔχει, τὰς γυναῖκας θυγατέρας. πᾶσιν οὕτω προσέρχεται, οὕτω πάντων κήδεται. ἢ σὺ δοκεῖς ὑπὸ περιεργίας λοιδορεῖσθαι τοῖς ἀπαντῶσιν; ὡς πατὴρ αὐτὸ ποιεῖ, ὡς ἀδελφός, καὶ τοῦ κοινοῦ πατρὸς ὑπηρέτης τοῦ Διός. ἄν σοι δόξῃ, πυθοῦ μου καὶ εἰ πολιτεύσεται φαν-

πόρδωνες. uentre crepati

νίων, μείζονα πολιτείαν ζητεῖς ἧς πολιτεύσεται. ἢ ἐν Ἀθηναίοις παρελθὼν ἐρεῖ τι περὶ προσόδων ἢ πόρων, ὃν δεῖ πᾶσιν ἀνθρώποις διαλέγεσθαι. ἐπ' ἴσης μὲν Ἀθηναίοις, ἐπ' ἴσης δὲ Κορινθίοις, ἐπ' ἴσης δὲ Ῥωμαίοις, οὐ περὶ πόρων, οὐδὲ περὶ προσόδων, οὐδὲ περὶ εἰρήνης, ἢ πολέμου. ἀλλὰ περὶ εὐδαιμονίας καὶ κακοδαιμονίας, περὶ εὐτυχίας καὶ δυστυχίας, περὶ δουλείας καὶ ἐλευθερίας. τηλικαύτην πολιτείαν πολιτευομένου ἀνθρώπου, σύ μου πυνθάνῃ εἰ πολιτεύσεται. πύθου μου, καὶ εἰ ἄρξει, πάλιν ἐρῶ σοι. μωρέ. ποίαν ἀρχήν. μείζονα ἧς ἄρχει. χρεία μέντοι καὶ σώματος ποιοῦ τῷ τοιούτῳ. ἐπεί τοι ἂν φθισικὸς προέρχηται, λεπτὸς καὶ ὠχρός, οὐκέτι ὁμοίαν ἔμφασιν ἡ μαρτυρία αὐτοῦ ἔχει. δεῖ γὰρ αὐτὸν οὐ μόνον τὰ τῆς ψυχῆς ἐπιδεικνύοντα παριστάνειν τοῖς ἰδιώταις ὅτι ἐνδέχεται δίχα τῶν θαυμαζομένων εἶναι ὑπ' αὐτῶν καλὸν καὶ ἀγαθόν. ἀλλὰ καὶ διὰ τοῦ σώματος ἐνδείκνυσθαι ὅτι ἡ ἀφελὴς καὶ λιτὴ καὶ ὕπαιθρος δίαιτα, οὐδὲ τὸ σῶμα λυμαίνεται. ἰδοὺ καὶ τούτου μάρτυς εἰμὶ ἐγώ, καὶ τὸ σῶμα τὸ ἐμόν. ὡς Διογένης ἐποίει. στίλβων γὰρ περιήρχετο, καὶ κατ' αὐτὸ τὸ σῶμα ὑπέστρεφε τοὺς πολλούς. ἐλεούμενος δὲ κυνικὸς ἐπαίτης δοκεῖ. πάντες ἀποστρέφονται. πάντες προσκόπτουσιν. οὐδὲ γὰρ ῥυπαρὸν αὐτὸν δεῖ φαίνεσθαι, ὡς μηδὲ κατὰ τοῦτο τοὺς ἀνθρώπους ἀποσοβεῖν.



ἀλλ' αὐτὸν τὸν αὐχμὸν αὐτοῦ δεῖ καθαρὸν εἶναι καὶ ἀγωγόν. δεῖ δὲ καὶ χάριν προσεῖναι πολλὴν φυσικὴν τῷ κυνικῷ καὶ ὀξύτητα. εἰ δὲ μή, μύξα γίνεται, ἄλλο δ' οὐδέν. ἵνα ἑτοίμως δύνηται καὶ παρακειμένως πρὸς τὰ ἐμπίπτοντα ἀπαντᾶν. ὡς Διογένης πρὸς τὸν εἰπόντα, σὺ εἶ ὁ Διογένης ὁ μὴ οἰόμενος εἶναι θεούς; καὶ πῶς ἔφη, σὲ θεοῖς ἐχθρὸν νομίζω. πάλιν Ἀλεξάνδρῳ ἐπιστάντος αὐτῷ κοιμωμένῳ καὶ εἰπόντι, οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα, ἔνυπνος ἔτι ὤν, ἀπήντησεν. ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε. πρὸ πάντων δὲ τὸ ἡγεμονικὸν αὐτοῦ δεῖ καθαρώτερον εἶναι τοῦ ἡλίου. εἰ δὲ μή, κυβευτὴν ἀνάγκη καὶ ῥᾳδιουργὸν εἶναι, ὅστις ἐνεχόμενός τινι αὐτὸς κακῷ, ἐπιτιμήσει τοῖς ἄλλοις. ὅρα γὰρ οἷόν ἐστι, τοῖς βασιλεῦσι τούτοις καὶ τυράννοις οἱ δορυφόροι, καὶ τὰ ὅπλα παρεῖχε τὸ ἐπιτιμᾶν τισι, καὶ δύνασθαι, καὶ κολακεύειν τοὺς ἁμαρτάνοντας, καὶ αὐτοῖς οὖσι κακοῖς. τῷ κυνικῷ ἀντὶ τῶν ὅπλων καὶ τῶν δορυφόρων τὸ συνειδὸς τὴν ἐξουσίαν ταύτην παραδίδωσιν. ὅταν ἴδῃς ὅτι ὑπερηγρύπνηκεν ὑπὲρ ἀνθρώπων, καὶ πεπόνηκεν, καὶ καθαρὸς μὲν κεκοίμηται, καθαρώτερον δ' αὐτὸν ἔτι ὁ ὕπνος ἀφῆκεν, ἐνθυμεῖται δ' ὅσα ἐνθυμεῖται, ὡς φίλος τοῖς θεοῖς, ὡς ὑπηρέτης, ὡς μετέχων τῆς ἀρχῆς τοῦ Διός. πανταχοῦ

χου δ' αὐτῷ πρόχειρον τὸ ἄγου δέ με ζεῦ, καὶ σύ
γ' ἡ πεπρωμένη. καὶ ὅτι εἰ ταύτῃ τοῖς θεοῖς φίλον,
ταύτῃ γενέσθω. διατί μὴ θαῤῥήσῃ παῤῥησιάζεσθαι
πρὸς τοὺς ἀδελφοὺς τοὺς ἑαυτοῦ. πρὸς τὰ τέκνα.
ἁπλῶς πρὸς τοὺς συγγενεῖς. διατοῦτο οὔτε περίεργος
οὔτε πολυπράγμων ἐστὶν, ὁ οὕτω διακείμενος.
356 42 οὐ γὰρ τὰ ἀλλότρια πολυπραγμονεῖ, ὅταν τὰ ἀν-
θρώπινα ἐπισκοπῇ, ἀλλὰ τὰ ἴδια. εἰ δὲ μὴ, λέγε
καὶ τὸν στρατηγὸν πολυπράγμονα, ὅταν τοὺς στρα-
τιώτας ἐπισκοπῇ, καὶ ἐξετάζῃ, καὶ παραφυλάσ-
σῃ, καὶ τοὺς ἀκοσμοῦντας κολάζῃ. ἐὰν δ' ὑπὸ μά-
λης ἔχων πλακουντάριον, ἐπιπλήσσῃς ἄλλοις, ἐρῶ
σοι, οὐ θέλεις μᾶλλον ἀπελθὼν εἰς γωνίαν, κατα-
φαγεῖν ἐκεῖνο ὃ κέκλοφας; τί δέ σοι καὶ τοῖς ἀλλο-
τρίοις. τίς γὰρ εἶ. ὁ ταῦρος εἶ, ἢ ἡ βασίλισσα τῶν
μελισσῶν. δεῖξόν μοι τὰ σύμβολα τῆς ἡγεμονίας,
οἷα ἐκείνη ἐκ φύσεως ἔχει. εἰ δὲ κηφὴν εἶ ἀντιδικα-
ζόμενος τῆς βασιλείας τῶν μελισσῶν, οὐ δοκεῖς ὅτι
καὶ σὲ καταβάλλουσιν οἱ συμπολιτευόμενοι, ὡς
αἱ μέλισσαι τοὺς κηφῆνας; τὸ μὲν γὰρ ἀνεκτικὸν
τοσοῦτον ἔχειν δεῖ τὸν κυνικὸν, ὥστ' αὐτὸν ἀναίσθη-
τον δοκεῖν τοῖς πολλοῖς καὶ λίθον. οὐδεὶς αὐτὸν
λοιδορεῖ, οὐδεὶς τύπτει, οὐδεὶς ὑβρίζει. τὸ σωμά-
τιον δ' αὐτοῦ δέδωκεν αὐτὸς χρῆσθαι τῷ θέλοντι,
ὡς βούλεται. μέμνηται γὰρ ὅτι τὸ χεῖρον ἀνάγκη
νικᾶσθαι ὑπὸ τοῦ κρείττονος ὅπου χεῖρόν ἐστι. τὸ δὲ
σωμάτιον



σωμάτιον τῶν πολλῶν χεῖρον, τὸ ἀσθενέστερον τῶν
ἰσχυροτέρων. οὐδέποτ' οὖν εἰς τοῦτον καταβαίνει
τὸν ἀγῶνα ὅπου δύναται νικηθῆναι. ἀλλὰ τῶν
ἀλλοτρίων εὐθὺς ἐξίσταται. τῶν δούλων οὐκ ἀν-
τιποιεῖται. ὅπου δὲ προαίρεσις καὶ χρῆσις τῶν φαν-
τασιῶν, ἐκεῖ ὄψει ὅσα ὄμματα ἔχει. ἵν' εἴπῃς ὅτι
ἄργος τυφλὸς ἦν πρὸς αὐτόν. μή που συγκατά- Argus caecus
θεσις προπετής; μή που ὁρμὴ εἰκαία; μή που ὄρε-
ξις ἀποτευκτική; μή που ἔκκλισις περιπτωτική;
ἐπιβολὴ ἀτελής; μή που μέμψις; μή που ταπεί-
νωσις ἢ φθόνος; ὧδε ἡ προσοχὴ ἡ πολλὴ καὶ σύντα-
σις, τῶν δ' ἄλλων ἕνεκα ὕπτιος ῥέγκει. εἰρήνη πᾶ- σύντασις
σα. λῃστὴς προαιρέσεως οὐ γίνεται. τύραννος οὐ
γίνεται. σωματίου δὲ, ναί. καὶ κτησιδίου δὲ, ναί.
καὶ ἀρχῶν καὶ τιμῶν. τί οὖν αὐτῷ τούτων μέλει. ὅταν
οὖν τις διὰ τούτων αὐτὸν ἐκφοβῇ, λέγει αὐτῷ.
ὕπαγε ζήτει τὰ παιδία. ἐκείνοις τὰ προσωπεῖα
φοβερά ἐστιν. ἐγὼ δ' οἶδα ὅτι ὀστράκινά ἐστιν. ἔσω-
θεν δὲ οὐδὲν ἔχει. περὶ τοιούτου πράγματος βου-
λεύῃ. ὥστε ἐάν σοι δόξῃ, τὸν θεόν σοι ὑπέρθου. καὶ
ἰδού σοι πρῶτον τὴν παρασκευήν. ἰδοὺ γάρ τι καὶ Hector
ὁ ἕκτωρ λέγει τῇ ἀνδρομάχῃ. ὕπαγε φησὶ μᾶλ- Andromacha
λον εἰς οἶκον καὶ ὕφαινε. πόλεμος δ' ἄνδρεσσι με-
6Z λήσει πᾶσι, μάλιστα δ' ἐμοί. οὕτω καὶ τῆς ἰδί-
ας παρασκευῆς συνῄδετο, καὶ τῆς ἐκείνης ἀδυ-
358 ναμίας.

τ

παρασκευῆς. status conditionis

## Πρὸς τοὺς ἀναγινώσκοντας καὶ διαλεγομένους ἐπιδεικτικῶς. κβ'.

Τίς εἶναι θέλεις σαυτῷ πρῶτον εἰπέ, εἶθ' οὕτω ποίει ἃ ποιεῖς. καὶ γὰρ ἐπὶ τῶν ἄλλων σχεδὸν ἁπάντων οὕτως ὁρῶμεν γινόμενα. οἱ ἀθλοῦντες πρῶτον κρίνουσι τίνες εἶναι θέλουσιν. εἶθ' οὕτω τὰ ἑξῆς ποιοῦσιν. ἂν δολιχοδρόμος, τοιαύτη τροφή, τοιοῦτος περίπατος, τοιαύτη τρίψις, τοιαύτη γυμνασία. ἂν σταδιοδρόμος, πάντα ταῦτα ἀλλοῖα. ἂν πένταθλος, ἔτι ἀλλοιότερα. οὕτως εὑρήσεις καὶ ἐπὶ τῶν τεχνῶν. ἂν τέκτων, τοιαῦτα ἕξεις. ἂν χαλκεύς, τοιαῦτα. ἕκαστον γὰρ τῶν γινομένων ὑφ' ἡμῶν, ἂν μὲν ἐπὶ μηδὲν ἀναφέρωμεν, εἰκῇ ποιήσομεν. ἐὰν δ' ἐφ' ὃ μὴ δεῖ, διεσφαλμένως. λοιπὸν ἡ μέν τις ἐστὶ κοινὴ ἀναφορά, ἡ δ' ἰδία. πρῶτον, ἵν' ὡς ἄνθρωπος. ἐν τούτῳ τί περιέχεται. μὴ ὡς πρόβατον ἢ καὶ ἐπιεικής, ἢ βλαπτικὸς ὡς θηρίον. ἡ δ' ἰδία πρὸς τὸ ἐπιτήδευμα ἑκάστου καὶ τὴν προαίρεσιν. ὁ κιθαρῳδός, ὡς κιθαρῳδός. ὁ τέκτων, ὡς τέκτων. ὁ φιλόσοφος, ὡς φιλόσοφος. ὁ ῥήτωρ, ὡς ῥήτωρ. ὅταν οὖν λέγῃς δεῦτε καὶ ἀκούσατέ μου ἀναγινώσκοντος ὑμῖν, σκέψαι πρῶτον μὴ εἰκῇ αὐτὸ ποιεῖν. εἶτ' ἂν εὕρῃς ὅ,τι ἀναφέρεις, σκέψαι εἰ ἐφ' ὃ δεῖ. ὠφελῆσαι θέλεις, ἢ ἐπαινεθῆναι; εὐθὺς ἀκούεις λέγοντος. ἐμοὶ δὲ τοῦ παρὰ τῶν πολλῶν ἐπαίνου τί



λόγος. καὶ καλῶς λέγει. οὐδὲν γὰρ τῷ μουσικῷ καθὸ μουσικός ἐστιν. οὐδὲ τῷ γεωμετρικῷ. ἀλλ' οὖν ὠφελῆσαι θέλεις. πρὸς τί. εἰπὲ καὶ ἡμῖν, ἵνα καὶ αὐτοὶ τρέχωμεν εἰς τὸ ἀκροατήριόν σου. νῦν δύναταί τις ὠφελῆσαι καὶ ἄλλους μὴ αὐτὸς ὠφελημένος; οὔ. οὐδὲ γὰρ εἰς τεκτονικὴν ὁ μὴ τέκτων. οὐδ' εἰς ~~σκυτικὴν~~, ὁ μὴ σκυτεύς. θέλεις οὖν γνῶναι εἰ ὠφέλησαι; φέρε σου τὰ δόγματα φιλόσοφε. τίς ἐπαγγελία ὀρέξεως; μὴ ἀποτυγχάνειν. τίς ἐκκλίσεως; μὴ περιπίπτειν. ἄγε πληροῦμεν αὐτῶν τὴν ἐπαγγελίαν; εἰπέ μοι τἀληθῆ, ἂν δὲ ψεύσῃ, ἐρῶ σοι. πρῴην ψυχρότερόν σου τῶν ἀκροατῶν συνελθόντων, καὶ μὴ ἐπιβοησάντων σοι, τεταπεινωμένος ἐξῆλθες. πρῴην ἐπαινεθεὶς, περιήρχου καὶ πᾶσιν ἔλεγες. τί σοι ἔδοξα. θαυμαστὸς κύριε. τὴν ἐμήν σοι σωτηρίαν. πῶς δ' εἶπον ἐκεῖνο τὸ ποῖον. ὅπου διαγράφω τὸν Πᾶνα καὶ τὰς νύμφας; ὑπερφυῶς. εἶτά μοι λέγεις σὺ ὀρέξει καὶ ἐκκλίσει κατὰ φύσιν ἀναστρέφῃ; ὕπαγε ἄλλον πεῖθε. τὸν δεῖνα δὲ πρῴην οὐκ ἐπῄνεις παρὰ τὸ σοὶ φαινόμενον; τὸν δεῖνα δ' οὐκ ἐκολάκευσας τὸν συγκλητικόν, ἤθελες σου τὰ παιδία εἶναι τοιαῦτα; μὴ γένοιτο. τίνος οὖν ἕνεκα ἐπῄνεις καὶ περιέσπες αὐτόν. εὐφυὴς νεανίσκος καὶ λόγων ἀκουστικός. πόθεν τοῦτο. ἐμὲ θαυμάζει. εἴρηκας τὴν ἀπόδειξιν. εἶτα τί δοκεῖ σοι, αὐτοί σου οὗτοι οὐ καταφρονοῦσι λεληθότως; ὅταν οὖν ἄνθρωπος συνειδὼς

ἑαυτῷ μηδὲν ἀγαθὸν, μή τε πεποιηκότι, μή τε
ἐνθυμουμένῳ, εὗρε φιλόσοφον τὸν λέγοντα, με-
γαλοφυὴς καὶ ἁπλοῦς καὶ ἀκέραιος, τί δ' οὐκ εἰς ἄλ-
λο αὐτὸν λέγει, ἢ ὅπως τινά μου ποτὲ χρείαν ἔχει.
ἢ εἰπέ μοι τί μεγαλοφυὲς ἔργον αὐτὸς ἐπιδέδεικται.
ἰδοὺ σύνεστί σοι τοσούτῳ χρόνῳ. διαλεγομένου σου
ἀκήκοεν. ἀναγινώσκοντός σου ἀκήκοε. κατέσταλ-
ται; ἐπέστραπται ἐφ' αὑτόν; ᾔσθηται ἐν οἵοις κα-
κοῖς ἐστίν; ἀποβέβληκεν οἴησιν; ζητεῖ τὸν διδά-
ξοντα; ζητεῖ φησὶ τὸν διδάξοντα πῶς δεῖ βιοῦν.
οὔ. μωρέ. ἀλλὰ πῶς δεῖ φράζειν. τούτου γὰρ ἕνεκα
καὶ σὲ θαυμάζει. ἄκουσον αὐτοῦ τίνα λέγει. οὗτος
ὁ ἄνθρωπος πάνυ τεχνικώτατα γράφει, Δίωνος πο- Δ
λὺ κάλλιον. ὅλον ἄλλο ἐστί; μή τι λέγει ὁ ἄνθρω-
πος αἰδήμων ἐστίν; οὗτος πιστός ἐστιν; οὗτος ἀτάρα-
χός ἐστιν; εἰ δὲ καὶ ἔλεγεν, εἶπον ἂν αὐτῷ. ἐπειδὴ
οὗτος πιστός ἐστιν, οὗτος ὁ πιστὸς τί ἐστι. καὶ εἰ μὴ εἶ-
χεν εἰπεῖν, προσέθηκα ἂν, ὅτι πρῶτον μάθε τί λέ-
γεις. εἶθ' οὕτω λέγε. οὕτως οὖν κακῶς διακείμε-
νος, καὶ χάσκων περὶ τοὺς ἐπαινέσοντας, καὶ ἀ-
ριθμῶν τοὺς ἀκούοντάς σου θέλεις ἄλλους ὠφε-
λεῖν; σήμερόν μου πολλῷ πλείονες ἤκουσαν. ναί.
πολλοί. δοκοῦμεν ὅτι πεντακόσιοι. οὐδὲν λέγεις,
θὲς αὐτοὺς χιλίους. Δίωνος οὐδέποτε ἤκουσαν το- Δ
σοῦτοι. πόθεν αὐτῷ. καὶ κομψῶς αἰσθάνονται λό-
γων. τὸ καλὸν κύριε καὶ λίθον κινῆσαι δύναται.

Dion

Dion



ἰδοὺ φωναὶ φιλοσόφου. ἰδοὺ διάθεσις ὠφελήσον-
τος ἀνθρώπους. ἰδοὺ ἀκηκοὼς ἄνθρωπος λόγου. ἀ-
νεγνωκὼς τὰ σωκρατικὰ ὡς σωκρατικά, οὐχὶ δ'
Λ Ι ὡς Λυσίου, καὶ Ἰσοκράτους. πολλάκις ἐθαύμασα,
τίσι ποτὲ λόγοις; οὔ. ἀλλὰ τίνι ποτὲ λόγῳ. τοῦτ'
ἐκείνου λειότερον. μὴ γὰρ ἄλλως αὐτὰ ἀνεγνώ-
κατε, ἢ ὡς ᾠδάρια; ὡς εἴ γε ἀνεγινώσκετε ὡς δεῖ,
οὐκ ἂν πρὸς τούτοις ἐγίνεσθε, ἀλλ' ἐκεῖνο μᾶλλον
Α Μ ἐβλέπετε. ἐμὲ δ' Ἄνυτος καὶ Μέλητος ἀποκτεῖναι
Ζ μὲν δύνανται, βλάψαι δ' οὔ. καὶ ὅτι ὡς ἐγὼ ἀεὶ
τοιοῦτος οἷος μηδενὶ προσέχειν τῶν ἐμῶν, ἢ τῷ
λόγῳ, ὃς ἄν μοι σκοπουμένῳ βέλτιστος φαίνηται.
διὰ τοῦτο τίς ἤκουσε Σωκράτους ποτὲ λέγοντος, Σ
ὅτι οἶδά τι καὶ διδάσκω. ἀλλ' ἄλλον ἀλλαχοῦ
ἔπεμπε. τοιγαροῦν ἤρχοντο πρὸς αὐτὸν ἀξιοῦντες
φιλοσόφοις ὑπ' αὐτοῦ συσταθῆναι. κἀκεῖνος ἀπῆγε
καὶ συνίστανεν; οὔ. ἀλλὰ προπέμπων ἔλεγεν. ἄκου-
σόν μου σήμερον διαλεγομένου ἐν τῇ οἰκίᾳ τῇ Κο- Κ
δράτου. τί σου ἀκούσω. ἐπιδεῖξαί μοι θέλεις ὅτι
κομψῶς συντιθεῖς τὰ ὀνόματα. συντιθεῖς ἄνθρωπε,
καὶ τί σοι ἀγαθόν ἐστιν. ἀλλ' ἐπαίνεσόν με. τί λέ-
γεις τὸ ἐπαίνεσον. εἰπέ μοι οὐᾶ καὶ θαυμαστῶς.
ἰδοὺ λέγω. εἰ δ' ἔστιν ἔπαινος ἐκεῖνο ὅ, τι ποτὲ λέ-
γουσιν οἱ φιλόσοφοι τῶν τοῦ ἀγαθοῦ κατηγορίᾳ,
τί σε ἔχω ἐπαινέσαι. εἰ ἀγαθόν ἐστι τὸ φράζειν ὀρ-
θῶς, δίδαξόν με καὶ ἐπαινέσω. τί οὖν ἀηδῶς δεῖ



Socrates
Lysias
Isocrates
Socrates
οὐᾶ

οὐᾶ . admirantis - ut illud ua qui destruis & unde liquet sine aspiratione scribi.

τῶν τοιούτων ἀκούειν; μὴ γένοιτο. ἐγὼ μὲν οὐδὲ κιθαρῳδοῦ ἀκηδῶς ἀκούω. μή τι ἂν τούτου ἕνεκα κιθαρῳδεῖν με δεῖ στάντα; ἄκουσον τί λέγει Σωκράτης. Σ οὐδὲ γὰρ ἂν πρέποι ὦ ἄνδρες τῇδε τῇ ἡλικίᾳ, ὥσπερ μειρακίῳ πλάττοντι λόγους, εἰς ὑμᾶς εἰσιέναι. ὥσπερ μειρακίῳ φησίν. ἔστι γὰρ τῷ ὄντι κομψὸν τὸ τεχνίον, ἐκλέξαι ὀνομάτια, καὶ ταῦτα συνθεῖναι, καὶ παρελθόντα εὐφυῶς ἀναγνῶναι ἢ εἰπεῖν. καὶ μεταξὺ ἀναγινώσκοντα ἐπιφθέγξασθαι, ὅτι τούτοις οὐ πολλοὶ δύνανται παρακολουθεῖν μὰ τὴν ὑμετέραν σωτηρίαν. φιλόσοφος δ' ἐπ' ἀκρόασιν παρακαλεῖ. οὐχὶ δ' ὡς ὁ ἥλιος ἄγει αὐτὸς ἐφ' ἑαυτόν, ἢ τροφή, οὕτω δὲ καὶ οὗτος ἄγει τοὺς ὠφεληθησομένους; ποῖος ἰατρὸς παρακαλεῖ, ἵνα τις ὑπ' αὐτοῦ θεραπευθῇ. καί τοι νῦν ἀκούω ὅτι καὶ οἱ ἰατροὶ παρακαλοῦσιν ἐν ῥώμῃ. πλὴν ἐπ' ἐμοῦ παρεκαλοῦντο. παρακαλῶ σε ἐλθόντα ἀκοῦσαι ὅτι σοι κακῶς ἐστι, καὶ πάντων μᾶλλον ἐπιμελῇ ἢ οὗ δεῖ σε ἐπιμελεῖσθαι. καὶ ὅτι ἀγνοεῖς τὰ ἀγαθὰ καὶ τὰ κακά. καὶ κακοδαίμων εἶ καὶ δυστυχής, κομψὴ παράκλησις. καὶ μὴν ἂν μὴ ταῦτα ἐμποιῇ, ὁ τοῦ φιλοσόφου λόγος νεκρός ἐστι καὶ αὐτός, καὶ ὁ λέγων. εἰώθει λέγειν ὁ ῥοῦφος εἰ σχολὴν ἄγετε ἐπαινέσαι με, ἐγὼ δ' οὐδὲν λέγω. τοιγαροῦν οὕτως ἔλεγεν, ὥσθ' ἕκαστον ἡμῶν καθήμενον οἴεσθαι, ὅτι τίς ποτε αὐτὸν διαβέβληκεν. οὕτως ἥπτετο τῶν

Socrates
11 Z 363
P
Rufus P



12 Z γινομένων. οὕτω πρὸ ὀφθαλμῶν ἐτίθει τὰ ἑκάστου κακά. ἰατρεῖόν ἐστιν ἄνδρες τὸ τοῦ φιλοσόφου σχολεῖον. οὐ δεῖ ἠθέντας [ἡσθέντας] ἐξελθεῖν, ἀλλ' ἀλγήσαντας. ἔρχεσθε γὰρ οὐχ ὑγιεῖς, ἀλλ' ὁ μὲν ὦμον ἐκβεβληκώς, ὁ δ' ἀπόστημα ἔχων, ὁ δὲ σύριγγα ἔχων, ὁ δὲ κεφαλαλγῶν. εἶτ' ἐγὼ καθίσας ὑμῖν λέγω νοημάτια καὶ ἐπιφωνημάτια, ἵν' ὑμεῖς ἐπαινέσαντές με ἐξέλθητε. ὁ μὲν τὸν ὦμον ἐκφέρων οἷον εἰσήνεγκεν. ὁ δὲ τὴν κεφαλὴν ὡσαύτως ἔχουσαν. ὁ δὲ τὴν σύριγγα. ὁ δὲ τὸ ἀπόστημα. εἶτα τούτου ἕνεκα ἀποδημήσωσιν ἄνθρωποι νεώτεροι, καὶ τοὺς γονεῖς τοὺς αὐτῶν ἀπολείπωσι, καὶ τοὺς φίλους, καὶ τοὺς συγγενεῖς, καὶ τὸ κτησίδιον, ἵνα σοι οὐὰ φασιν ἐπιφωνημάτια λέγοντι; ΣΖ τοῦτο σωκράτης ἐποίει; τοῦτο ζήνων; τοῦτο κλεάνθης; K τί οὖν οὐκ ἔστιν ὁ προτρεπτικὸς χαρακτήρ; τίς γὰρ οὐ λέγει. ὡς ὁ ἐλεγκτικός. ὡς ὁ διδασκαλικός. τίς οὖν πώποτε τέταρτον εἶπε μετὰ τούτων τὸν ἐπιδεικτικόν. τίς γάρ ἐστιν ὁ προτρεπτικός. δύνασθαι καὶ ἑνὶ καὶ πολλοῖς δεῖξαι τὴν μάχην ἐν ᾗ κυλίονται. καὶ ὅτι μᾶλλον πάντων φροντίζουσιν, ἢ ὧν θέλουσι. θέλουσι μὲν γὰρ τὰ πρὸς εὐδαιμονίαν φέροντα, ἀλλαχοῦ δ' αὐτὰ ζητοῦσι. τοῦτο ἵνα γένηται, δεῖ τεθῶσι χίλια βάθρα, καὶ παρακληθῶσι τοὺς ἀκουσομένους, καὶ σὲ ἐν κομψῷ στολίῳ ἢ φιβωνίῳ ἀναβάντα ἐπὶ πούλβινον,

ἡσθέντας
Syrinx
ζα̃
Socrates
Zeno
Cleanthes



ζα̃

Achilles διαγράφειν πῶς Ἀχιλλεὺς ἀπέθανε. παύσασθε τοὺς Λ θεοὺς ὑμῶν καλὰ ὀνόματα καὶ πράγματα καταισχύνοντες ὅσον ἐφ' ἑαυτοῖς. οὐδὲν ἂν προτρεπτικώτερον ἢ ὅταν ὁ λέγων ἐμφαίνῃ τοῖς ἀκούουσιν, ὅτι χρείαν αὐτῶν ἔχει. ἢ εἰπέ μοι τίς ἀκούων ἀναγιγνώσκοντός σου ἢ διαλεγομένου, περὶ αὑτοῦ ἠγωνίασεν, ἢ ἐπεστράφη εἰς αὑτὸν, ἢ ἐξελθὼν εἶπεν, ὅτι καλῶς μου ἥψατο ὁ φιλόσοφος. οὐκέτι δεῖ ταῦτα ποιεῖν. οὐχὶ δ' ἂν λίαν εὐδοκιμῇς, λέγει πρός τινα, κομψῶς ἔφρασε τὰ περὶ τὸν Ξέρξην. Ξ

Xerxes ἄλλος. οὔ. ἀλλὰ τὴν ἐπὶ Πύλαις μάχην. τοῦτό ἐστιν ἀκρόασις φιλοσόφου.

Περὶ τοῦ μὴ δεῖν προσπάσχειν τοῖς οὐκ ἐφ' ἡμῖν. κγ'.

Τὸ ἄλλου παρὰ φύσιν, σοὶ κακὸν μὴ γινέσθω. οὐ γὰρ συνταπεινοῦσθαι πέφυκας, οὐδὲ συνατυχεῖν, ἀλλὰ συνευτυχεῖν. ἂν δέ τις ἀτυχῇ,

366 14 Z μέμνησο ὅτι παρ' αὑτὸν ἀτυχεῖ. ὁ γὰρ θεὸς πάντας ἀνθρώπους ἐπὶ τὸ εὐδαιμονεῖν, ἐπὶ τὸ εὐσταθεῖν ἐποίησε. πρὸς τοῦτο ἀφορμὰς ἔδωκε, τὰ μὲν ἴδια δοὺς ἑκάστῳ, τὰ δ' ἀλλότρια. τὰ μὲν κωλυτὰ καὶ ἀναγκαστὰ καὶ ἀφαιρετὰ, οὐκ ἴδια. τὰ δὲ ἀκώλυτα, ἴδια. τὴν δ' οὐσίαν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, ὥσπερ ἄξιον τὸν κηδόμενον ἡμῶν, καὶ πατρικῶς προϊστάμενον ἐν τοῖς ἰδίοις. ἀλλ' ἀποκεχώρη-



κα τοῦ δεῖνος, καὶ ὀδυνᾶται. διατί γὰρ τὰ ἀλλότρια ἴδια ἡγήσατο. διατί ὅτε σε βλέπων ἔχαιρεν, οὐκ ἐπελογίζετο ὅτι θνητὸς εἶ, ἀποδημητικὸς εἶ. τοιγαροῦν τίνει δίκας τῆς αὑτοῦ μωρίας. σὺ δ' ἀντὶ τίνος, ἐπὶ τί κλαίεις σεαυτόν. ἢ οὐδὲ σὺ ταῦτα ἐμελέτησας. ἀλλ' ὡς τὰ γύναια τὰ οὐδενὸς ἄξια, πᾶσιν οἷς ἔχαιρες, ὡς ἀεὶ συνεσόμενος συνῆς. τοῖς τόποις, τοῖς ἀνθρώποις, ταῖς διατριβαῖς. καὶ νῦν κλαίων κάθησαι, ὅτι μὴ τοὺς αὐτοὺς βλέπεις, καὶ ἐν τοῖς αὐτοῖς τόποις διατρίβεις. τούτου γὰρ ἄξιος εἶ, ἵνα καὶ τῶν κοράκων καὶ κορωνῶν ἀθλιώτερος ᾖς, οἷς ἔξεστιν ἵπτασθαι ὅπου θέλουσι, καὶ μετοικοδομεῖν τὰς νεοσσιὰς, καὶ τὰ ~~πελάγη~~ διαπερᾶν. πελάγη

367 μὴ στένουσι μηδὲ ποθοῦσι τὰ πρῶτα. ναί. ἀλλ' ὑπὸ τοῦ ἄλογα εἶναι πάσχει αὐτά. ἡμῖν οὖν λόγος ἐπὶ

6 Z ἀτυχίᾳ καὶ κακοδαιμονίᾳ δέδοται ὑπὸ τῶν θεῶν, ἵν' ἄθλιοι, ἵνα πενθοῦντες διατελῶμεν; ἢ πάντες ἔστωσαν ἀθάνατοι καὶ μηδεὶς ἀποδημείτω, μηδ' ἡμεῖς που ἀποδημῶμεν. ἀλλὰ μένωμεν ὡς τὰ φυτὰ προσερριζωμένοι. ἂν δέ τις ἀποδημήσῃ τῶν συνήθων, καθήμενοι κλαίωμεν. καὶ πάλιν ἂν ἔλθῃ, ὀρχώμεθα, καὶ κροτῶμεν ὡς τὰ παιδία. οὐκ ἀπογαλακτίσομεν ἤδη ποθ' ἑαυτοὺς, καὶ μεμνησόμεθα ὧν ἠκούσαμεν παρὰ τῶν φιλοσόφων. εἴ γε μὴ ὡς ἐπῳδῶν αὐτῶν ἠκούομεν, ὅτι ὁ κόσμος οὗτος μία πόλις ἐστὶ, καὶ ἡ οὐσία ἐξ ἧς δεδημιούργηται, μία,

καὶ ἀνάγκη περίοδόν τινα εἶναι καὶ παραχώρησιν ἄλλων ἄλλοις· καὶ τὰ μὲν διαλύεσθαι, τὰ δ' ἐπιγίνεσθαι· τὰ μὲν μένειν ἐν τῷ αὐτῷ, τὰ δὲ κινεῖσθαι· πάντα δὲ φίλων μεστά· πρῶτα μὲν θεῶν, εἶτα καὶ [ἀνθρώπων] φύσει πρὸς ἀλλήλους ᾠκειωμένων· καὶ δεῖ τοὺς μὲν παρεῖναι ἀλλήλοις, τοὺς δ' ἀπαλλάττεσθαι· τοῖς μὲν συνοῦσι χαίροντας, τοῖς δ' ἀπαλλαττομένοις μὴ ἀχθομένους. ὁ δ' [ἄνθρωπος] πρὸς τῷ φύσει μεγαλόφρων εἶναι καὶ πάντων τῶν ἀπροαιρέτων καταφρονητικὸς, ἔτι κἀκεῖνο ἔσχηκε, τὸ μὴ ἐρριζῶσθαι μηδὲ προσπεφυκέναι τῇ γῇ· ἀλλ' ἄλλοτ' ἐπ' ἄλλοις ἴεσθαι τόποις, ποτὲ μὲν χρειῶν τινων ἐπειγουσῶν, ποτὲ δὲ καὶ αὐτῆς τῆς θέας ἕνεκα· καὶ τῷ Ὀδυσσεῖ τὸ συμβὰν τοιοῦτόν τι ἦν· πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω. καὶ ἔτι πρόσθεν τῷ Ἡρακλεῖ περιελθεῖν τὴν οἰκουμένην ὅλην, ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντα· καὶ τὴν μὲν ἐκβάλλοντα καὶ καθαίροντα, τὴν δ' ἀντεισάγοντα. καίτοι πόσους οἴει φίλους ἔσχεν ἐν Θήβαις, πόσους ἐν Ἄργει, πόσους ἐν Ἀθήναις, πόσους δὲ περιερχόμενος ἐκτήσατο. ὅς γε καὶ ἐγάμει ὅπου καιρὸς ἐφάνη αὐτῷ, καὶ ἐπαιδοποιεῖτο, καὶ τοὺς παῖδας ἀπέλειπεν, οὐ στένων οὐδὲ ποθῶν, οὐδ' ὡς ὀρφανοὺς ἀφιείς. ᾔδει γὰρ ὅτι οὐδείς ἐστιν ἄνθρωπος ὀρφανός· ἀλλὰ πάντων ἀεὶ καὶ διηνεκῶς ὁ πατήρ ἐστιν ὁ κηδόμενος. οὐ γὰρ μέχρι λόγου ἠκηκόει ὅτι πατήρ ἐστιν ὁ Ζεὺς τῶν ἀνθρώπων, ὅς γε καὶ αὑτοῦ πατέρα ᾤετο αὐτὸν καὶ ἐκάλει· καὶ πρὸς ἐκεῖνον ἀφορῶν, ἔπραττεν ἃ ἔπραττε. τοιγάρτοι πανταχοῦ ἐξῆν αὐτῷ διάγειν εὐδαιμόνως. οὐδέποτε δ' ἔστιν οἷόν τ' εἰς τὸ αὐτὸ ἐλθεῖν εὐδαιμονίαν καὶ πόθον τῶν οὐ παρόντων. τὸ γὰρ εὐδαιμονοῦν ἀπέχειν δεῖ πάντα ἃ θέλει, πεπληρωμένῳ τινὶ ἐοικέναι· οὐ δίψος δεῖ προσεῖναι αὐτῷ, οὐ λιμόν. ἀλλ' ὁ Ὀδυσσεὺς ἐπεπόνθει πρὸς τὴν γυναῖκα, καὶ ἔκλαιεν ἐπὶ πέτρας καθεζόμενος. σὺ δ' Ὁμήρῳ πάντα προσέχεις καὶ τοῖς μύθοις αὐτοῦ; ἢ εἰ ταῖς ἀληθείαις ἔκλαιε, τί ἄλλο ἢ ἐδυστύχει; τίς δὲ καλός τε καὶ ἀγαθὸς δυστυχεῖ; τῷ ὄντι κακῶς διοικεῖται τὰ ὅλα, εἰ μὴ ἐπιμελεῖται ὁ Ζεὺς τῶν ἑαυτοῦ πολιτῶν, ἵν' ὦσιν ὅμοιοι αὐτῷ εὐδαίμονες. ἀλλὰ ταῦτα οὐ θεμιτὰ, οὐδ' ὅσια ἐνθυμηθῆναι· ἀλλ' ὁ Ὀδυσσεὺς εἰ μὲν ἔκλαε καὶ ὠδύρετο, οὐκ ἦν ἀγαθός. τίς γὰρ ἀγαθός ἐστιν, ὁ οὐκ εἰδὼς ὅς ἐστι; τίς δ' οἶδε τοῦτο ἐπιλελησμένος ὅτι φθαρτὰ τὰ γενόμενα, καὶ [ἄνθρωπον ἀνθρώπῳ] συνεῖναι οὐ δυνατὸν ἀεί; τί οὖν; τῶν μὴ δυνατῶν ἐφίεσθαι, ἀνδραποδῶδες καὶ ἠλίθιον· ξένου θεομαχοῦντος ὡς μόνον οἷόν τε τοῖς δόγμασι τοῖς ἑαυτοῦ. ἀλλ' ἡ μήτηρ μου στένει μὴ ὁρῶσά με. διὰ τί γὰρ οὐκ ἔμαθε τούτους τοὺς λόγους; καὶ οὐ τοῦτό φημι, ὅτι οὐκ ἐπιμελητέον τοῦ μὴ οἰμώζειν αὐτήν· ἀλλ' ὅτι οὐ δεῖ θέ-



Margin notes: ἀνθρώπων; ἄνθρωπος; 368; 16 Z; Vlysses; Homer; Hercules; Ἀ Ἀ; Z; 1 Aa 369; Vlyxes; Homer; Z; Vlyxes; ἄνθρωπον ἀνθρώπῳ

370 2 Aa

λαν τὰ ἀλλότρια ἐξ ἅπαντος. λύπη δ' ἡ ἄλλου, ἀλλότριόν ἐστιν. ἡ δ' ἐμή, ἐμόν. ἐγὼ οὖν τὸ μὲν ἐμὸν παύσω ἐξ ἅπαντος. ἐπ' ἐμοὶ γάρ ἐστι. τὸ δ' ἀλλότριον πειράσομαι κατὰ δύναμιν, ἐξ ἅπαντος δ' οὐ πειράσομαι. εἰ δὲ μή, θεομαχήσω. ἀντιθήσω πρὸς τὸν Δία, ἀντιδιατάξομαι αὐτῷ πρὸς τὰ ὅλα. καὶ τἀπίχειρα τῆς θεομαχίας ταύτης καὶ ἀπειθείας οὐ μόνον παῖδες παίδων ἐκτίσουσιν, ἀλλ' αὐτὸς ἐγὼ μεθ' ἡμέραν νυκτὸς διὰ τῶν ἐνυπνίων ἐκπηδῶν, ταρασσόμενος πρὸς πᾶσαν ἀπαγγελίαν, τρέμων, ἐξ ἀλλοτρίων ἐπιστολῶν ἠρτημένην ἔχων τὴν ἐμαυτοῦ εὐπάθειαν. ἀπὸ Ῥώμης τις ἥκει. μόνον μή τι κακόν. τί δὲ κακὸν ἐκεῖ συμβῆναι δύναται, ὅπου μὴ εἶ. ἀπὸ τῆς Ἑλλάδος. μόνον μή τι κακόν. οὕτω σοι πᾶς τόπος δύναται δυστυχίας εἶναι αἴτιος. οὐχ ἱκανὸν ἐκεῖ σε ἀτυχεῖν ὅπου αὐτὸς εἶ. ἀλλὰ καὶ πέραν θαλάσσης, καὶ διὰ γραμμάτων. οὕτως ἀσφαλῶς σοι τὰ πράγματα ἔχει. τί οὖν ἂν ἀποθάνωσιν οἱ ἐκεῖ φίλοι. τί γὰρ ἂν ἄλλο, ἢ οἱ θνητοὶ ἀπέθανον. ἢ πῶς ἅμα μὲν γηράσαι θέλεις, ἅμα μηδενὸς τῶν στεργομένων μὴ ἰδεῖν θάνατον. οὐκ οἶδας ὅτι ἐν τῷ μακρῷ χρόνῳ πολλὰ καὶ ποικίλα ἀποβαίνειν ἀνάγκη; τοῦ μὲν πυρετὸν γενέσθαι κρείττονα, τοῦ δὲ λῃστήν, τοῦ δὲ τύραννον. τοιοῦτο γὰρ τὸ περιέχον. τοιοῦτοι οἱ συνόντες. ψύχη καὶ καύματα, καὶ τροφαὶ ἀσύμμετροι, καὶ ὁδοιπο-



3 Aa

ρίαι, καὶ πλοῦς, καὶ ἄνεμοι, καὶ περιστάσεις ποικίλαι, τὸν μὲν ἀπώλεσαν, τὸν δ' ἐξώρισαν, τὸν δ' εἰς πρεσβείαν, ἄλλον δ' εἰς στρατείαν ἐνέβαλον. κάθησο τοίνυν πρὸς πάντα ταῦτα ἐπτοημένος, πενθῶν, ἀτυχῶν, δυστυχῶν, ἐξ ἄλλου ἠρτημένος, καὶ τούτου οὐχ ἑνός, οὐ δυεῖν, ἀλλὰ μυρίων ἐπὶ μυρίοις. ταῦτα ἤκουες παρὰ τοῖς φιλοσόφοις; ταῦτ' ἐμάνθανες; οὐκ οἶδας ὅτι στρατεία τὸ χρῆμά ἐστι; τὸν μὲν δεῖ φυλάττειν, τὸν δὲ κατασκοπήσοντα ἐξιέναι, τὸν δὲ καὶ πολεμήσοντα. οὐχ οἷόν τ' εἶναι πάντας ἐν τῷ αὐτῷ, οὐδ' ἄμεινον. σὺ δ' ἀφεὶς ἐκτελεῖν τὰ προστάγματα τοῦ στρατηγοῦ, ἐγκαλεῖς ὅταν τί σοι προσταχθῇ τραχύτερον, καὶ οὐ παρακολουθεῖς, οἷον ἀποφαίνεις, ὅσον ἐπὶ σοί, τὸ στράτευμα. ὅτι ἄν σε πάντες μιμήσωνται, οὐ τάφρον σκάψει τις, οὐ χάρακα περιβαλεῖ, οὐκ ἀγρυπνήσει, οὐ κινδυνεύσει, ἀλλὰ ἄχρηστος δόξει στρατεύεσθαι. πάλιν ἐν πλοίῳ ναύτης ἂν πλέῃς, μίαν χώραν κάτεχε, καὶ ταύτην προσλιπάρει. ἂν δ' ἐπὶ τὸν ἱστὸν ἀναβῆναι δέῃ, μὴ θέλε. ἂν εἰς τὴν πρῷραν διαδραμεῖν, μὴ θέλε. καὶ τίς ἀνέξεταί σου κυβερνήτης; οὐχὶ δ' ὡς σκεῦος ἄχρηστον ἐκβαλεῖ; οὐδὲν ἄλλο ἢ ἐμπόδιον καὶ κακὸν παράδειγμα τῶν ἄλλων ναυτῶν. οὕτω δὲ καὶ ἐνθάδε. στρατεία τίς ἐστιν ὁ βίος ἑκάστου, καὶ αὕτη μακρὰ καὶ ποικίλη. τηρεῖν σε δεῖ τὸ τοῦ στρατιώτου πρόσωπον,

προσλιπάρει

Militia vita hominis

καὶ τοῦ στρατηγοῦ πράσσειν ἕκαστα. ἢ οἷόν τε μαντευόμενος ἃ θέλει. οὐδὲ γὰρ ὅμοιος ἐκεῖνος ὁ στρατηγὸς καὶ οὗτος. οὔτε κατὰ τὴν ἰσχὺν, οὔτε κατὰ τὴν ἤθους ὑπεροχήν. τέταξαι ἐν πόλει ἡγεμονίᾳ, καὶ οὐκ ἐν ταπεινῇ τινι χώρᾳ, ἀλλ' ἀεὶ βουλευτής. οὐκ οἶδας ὅτι τὸν τοιοῦτον, ὀλίγα μὲν δεῖ οἰκονομεῖν, τὰ πολλὰ δ' ἀποδημεῖν ἄρχοντα ἢ ἀρχόμενον, ἢ ὑπηρετοῦντά τινι ἀρχῇ, ἢ στρατευόμενον, ἢ δικάζοντα; εἶτά μοι θέλεις ὡς φυτὸν προσηρτῆσθαι τοῖς αὐτοῖς τόποις, καὶ προσερριζῶσθαι. ἡδὺ γάρ ἐστι. τίς οὔ φησιν. ἀλλὰ καὶ ζωμὸς ἡδύς ἐστι, καὶ γυνὴ καλὴ ἡδύ ἐστι. τί ἄλλο λέγουσιν οἱ τέλος ποιούμενοι τὴν ἡδονήν. οὐκ αἰσθάνῃ τίνων ἀνθρώπων φωνὴν ἀφῆκας, ὅτι Ἐπικουρείων καὶ κιναίδων. εἶτα τὰ ἐκείνων ἔργα πράσσων, καὶ τὰ δόγματα ἔχων, τοὺς λόγους ἡμῖν λέγεις τοὺς Ζήνωνος καὶ Σωκράτους; οὐκ ἀπορρίψεις ὡς μακροτάτω τ' ἀλλότρια, οἷς κοσμῇ, μηδέν σοι προσήκουσιν; ἢ τί ἄλλο θέλουσιν ἐκεῖνοι, ἢ καθεύδειν ἀπαραποδίστως καὶ ἀναγκάστως, καὶ ἀναστάντες ἐφ' ἡσυχίας χασμήσασθαι, καὶ τὸ πρόσωπον ἀποπλῦναι, εἶτα γράψαι καὶ ἀναγνῶναι ἃ θέλουσιν, εἶτα φλυαρῆσαι τί ποτ' ἐπαινούμενοι ὑπὸ τῶν φίλων, ὅ,τι ἂν λέγωσιν. εἶτα εἰς περίπατον προελθόντες, καὶ ὀλίγα περιπατήσαντες, λούσασθαι. εἶτα φαγεῖν. εἶτα κοιμηθῆναι, οἵαν δὴ κοίτην καθεύδειν τοὺς

Zeno
Socrates

Epicure
or uita



τοιούτοις ἄξιος. τί αὐτὸς λέγει, ἔξεστι γὰρ τεκμαίρεσθαι. ἄγε φέρε μοι καὶ σὺ τὴν σαυτοῦ διατριβὴν, ἣν ποθεῖς, ζηλωτὰ τῆς ἀληθείας, καὶ Σωκράτους καὶ Διογένους. τί θέλεις σὺ ἐν Ἀθήναις ποιεῖν. ταῦτα αὐτά. μή τι ἕτερα; τί οὖν στωϊκὸν σαυτὸν εἶναι λέγεις. εἶτα οἱ μὲν τῆς Ῥωμαίων πολιτείας καταψευδόμενοι κολάζονται πικρῶς, τοὺς δ' οὕτως μεγάλου καὶ σεμνοῦ καταψευδομένους πράγματος καὶ ὀνόματος, ἀθώους ἀπαλλάττεσθαι δεῖ; ἢ τοῦτό γε οὐ δυνατόν. ἀλλὰ νόμος θεῖος καὶ ἰσχυρὸς καὶ ἀναπόδραστος οὗτός ἐστιν, ὁ τὰς μεγίστας εἰσπρασσόμενος κολάσεις παρὰ τῶν τὰ μέγιστα ἁμαρτανόντων. τί γὰρ λέγει ὁ προσποιούμενος τὰ μηδὲν πρὸς αὐτόν. ἔστω ἀλαζὼν, ἔστω κενόδοξος ὁ ἀπειθῶν τῇ θείᾳ διοικήσει. ἔστω ταπεινὸς, ἔστω δοῦλος, λυπείσθω, φθονείτω, ἐλεείτω, τὸ κεφάλαιον πάντων, δυστυχείτω, θρηνείτω. τί οὖν, θέλεις με τὸν δεῖνα θεραπεύειν; ἐπὶ θύρας αὐτοῦ πορεύεσθαι; εἰ τοῦτο αἱρεῖ λόγος, ὑπὲρ τῆς πατρίδος, ὑπὲρ τῶν συγγενῶν, ὑπὲρ ἀνθρώπων, διατί μὴ ἀπέλθῃς. ἀλλ' ἐπὶ μὲν τὰς τοῦ σκυτέως οὐκ αἰσχύνῃ πορευόμενος, ὅταν δέῃ ὑποδημάτων, οὐδ' ἐπὶ τὰς τοῦ κηπουροῦ ὅταν θριδάκων, ἐπὶ δὲ τὰς τῶν πλουσίων ὅταν τινὸς ὁμοίου δέῃ. ναί. τὸν σκυτέα γὰρ οὐ θαυμάζω, μὴ δὲ τὸν πλούσιον, οὐδὲ τὸν κηπουρὸν κολακεύσω. μὴ δὲ

Socrates
Diogenes

374

6 Aa

τὸν πλούσιον. πῶς οὖν τυχεῖν δέομαι; ἐγὼ δέ σοι λέγω ὅτι ὡς τευξόμενος ἀπέρχου, οὐχὶ δὲ μόνον ἵνα πράξῃς τὸ σαυτῷ πρέπον; τί οὖν ἔτι πορεύομαι; ἵν᾽ ἀπέλθῃς, ἵνα ἀποδεδημηκὼς ᾖς τὰ τοῦ πολίτου ἔργα, τὰ ἀδελφοῦ, τὰ φίλου. καὶ λοιπὸν μέμνησο ὅτι πρὸς σκυτέα ἀφῖξαι, πρὸς λαχανοπώλην, οὐδενὸς μεγάλου ἢ σεμνοῦ ἔχοντα τὴν ἐξουσίαν. κἂν αὐτὸ πολλοῦ πωλῇ, ὡς ἤδη τὰς θρίδακας ἀπέρχῃ. ὀβολοῦ γάρ ἐστι, ταλάντου δ᾽ οὐκ ἔστιν. οὕτω κἀνταῦθα ταῖς ἤδη θύραις ἐλθεῖν, ἄξιον τὸ πρᾶγμα ἔσω. ἀφίξομαι τοῦ διαλεχθῆναι. οὕτως ἔσω, διαλεχθήσομαι. ἀλλὰ καὶ τὴν χεῖρα δεῖ καταφιλῆσαι, καὶ θωπεῦσαι δι᾽ ἐπαίνου. ἄπαγε. ταλάντου ἐστίν. οὐ λυσιτελεῖ μοι, οὐδὲ τῇ πόλει, οὐδὲ τοῖς φίλοις ἀπολέσαι καὶ πολίτην ἀγαθὸν καὶ φίλον. ἀλλὰ δόξεις μὴ προτεθυμῆσθαι, μὴ ἀνύσας. πάλιν ἐπελάθου τίνος ἕνεκα ἐλήλυθας. οὐκ οἶσθ᾽ ὅτι ἀνὴρ καλὸς καὶ ἀγαθὸς, οὐδὲν ποιεῖ τοῦ δόξαι ἕνεκα, ἀλλὰ τοῦ πεπρᾶχθαι καλῶς; τί οὖν ὄφελος αὐτῷ τοῦ πρᾶξαι καλῶς. τί δ᾽ ὄφελος τῷ γράφοντι τὸ Δίωνος ὄνομα, ὡς χρὴ γράφειν αὐτό. τὸ γράψαι. ἔπαθλον οὖν οὐδέν. σὺ δὲ ζητεῖς ἔπαθλον ἀνδρὶ ἀγαθῷ μεῖζον τοῦ καλὰ καὶ δίκαια πράττειν; ἐν ὀλυμπίᾳ δ᾽ οὐ θέλεις ἄλλο οὐδέν, ἀλλ᾽ ἀρκεῖν σοι δοκεῖ τὸ ἐστεφανῶσθαι ὀλύμπια. οὕτω σοι μ[illegible] καὶ οὐδενὸς ἄξιον εἶναι φαίνεται

ἐστεφανῶσθαι ὀλύμπια



φαίνεται, τὸ εἶναι καλὸν καὶ ἀγαθὸν καὶ εὐδαίμονα. πρὸς ταῦτα ὑπὸ θεῶν εἰς τὴν πόλιν ταύτην εἰσηγμένος, καὶ ἤδη τῶν ἀνδροέργων ὀφείλων ἅπτεσθαι, τίτθας ἤδη ποθεῖς καὶ μάμμην. καὶ κάμπτει σε καὶ ἀποθηλύνει κλαίοντα γύναια μωρά. οὕτως οὐδέποτε παύσῃ παιδίον ὢν νήπιον. οὐκ οἶσθ᾽ ὅτι ὁ τὰ παιδίου ποιῶν, ὅσῳ πρεσβύτερος, τοσούτῳ γελοιότερος; σὺ Ἀθήνησι δ᾽ οὐδένα ἑώρας εἰς οἶκον αὐτοῦ φοιτῶν; ὃν ἐβουλόμην, καὶ ἐνθάδε τοῦτον θέλε ὁρᾶν, καὶ ὃν βούλει, ὄψει. μόνον μὴ ταπεινῶς, μὴ μετ᾽ ὀρέξεως ἢ ἐκκλίσεως. καὶ ἔσται τὰ σὰ καλῶς. τοῦτο δ᾽ οὐκ ἐν τῷ ἐλθεῖν ἐστιν, οὐδ᾽ ἐν τῷ ἤδη θύραις στῆναι, ἀλλ᾽ ἔνδον ἐν τοῖς δόγμασιν. ὅταν τὰ ἐκτὸς καὶ ἀπροαίρετα ἠτιμακὼς ᾖς, καὶ μηδὲν αὐτῶν σὸν ἡγημένος. μόνα δ᾽ ἐκεῖνα σά, τὸ κρῖναι καλῶς. τὸ ὑπολαβεῖν. τὸ ὁρμῆσαι. τὸ ὀρεχθῆναι. τὸ ἐκκλῖναι. ποῦ ἔτι κολακείας τόπος. ποῦ ταπεινοφροσύνης. τί ἔτι ποθεῖς τὴν ἡσυχίαν τὴν ἐκεῖ. τί τοὺς συνήθεις τόπους. ἔκδεξαι βραχὺ καὶ τούτους πάλιν ἕξεις συνήθεις. εἶτα ἂν οὕτως ἀγεννῶς ἔχῃς, πάλιν καὶ τούτων ἀπαλλαττόμενος, κλαῖε καὶ στένε. πῶς οὖν γένωμαι φιλόστοργος. ὡς γενναῖος, ὡς εὐτυχής. οὐδέποτε γὰρ ἐρεῖ ὁ λόγος ταπεινὸν εἶναι. οὐδὲ κατακλᾶσθαι. οὐδ᾽ ἐξ ἄλλου κρέμασθαι. οὐδὲ μέμψασθαί ποτε θεὸν ἢ ἄνθρωπον. οὕτω μοι γένου φιλόστοργος, ὡς ταῦ-

τα τηρήσων. εἰ δὲ διὰ τὴν φιλοσοφίαν ταῦτα, τὴν τίνα ποτὲ καὶ καλεῖς φιλοστοργίαν, δοῦλος μέλλεις εἶναι καὶ ἄθλιος, οὐ λυσιτελεῖ φιλόστοργον εἶναι. καὶ τί κωλύει φιλεῖν τινὰ ὡς θνητὸν, ὡς ἀποδημητικόν. ἢ σωκράτης οὐκ ἐφίλει τοὺς παῖδας τοὺς ἑαυτοῦ. ἀλλ' ὡς ἐλεύθερος, ὡς μεμνημένος ὅτι πρῶτον δεῖ θεοῖς εἶναι φίλον. διὰ τοῦτο οὐδὲν παρέβη τῶν πρεπόντων ἀνδρὶ ἀγαθῷ. οὔτ' ἀπολογούμενος, οὔθ' ὑποτιμώμενος, οὔτ' ἔτι πρόσθεν βουλεύων ἢ στρατευόμενος. ἡμεῖς δὲ πάσης προφάσεως πρὸς τὸ ἀγεννεῖς εἶναι ἀποροῦμεν. οἱ μὲν διὰ παιδία, οἱ δὲ διὰ μητέρα, ἄλλοι δὲ δι' ἀδελφούς. δι' οὐδένα δὲ προσήκει δυστυχεῖν, ἀλλ' εὐτυχεῖν διὰ πάντας. μάλιστα δὲ διὰ τὸν θεὸν τὸν ἐπὶ τοῦτο ἡμᾶς κατασκευάσαντα. ἄγε. διογένης δ' οὐκ ἐφίλει οὐδένα, ὃς οὕτως ἥμερος ἦν καὶ φιλάνθρωπος, ὥστε ὑπὲρ τοῦ κοινοῦ τῶν ἀνθρώπων τοσούτοις πόνοις καὶ ταλαιπωρίαις τοῦ σώματος ἄσμενος ἀναδέχεσθαι. ἀλλ' ἐφίλει. πῶς. ὡς τοῦ διὸς διάκονον ἔδει. ἅμα μὲν κηδόμενος, ἅμα δ' ὡς τῷ θεῷ ὑποτεταγμένος. διὰ τοῦτο πᾶσα γῆ πατρὶς ἦν ἐκείνῳ μόνῳ, ἐξαίρετος δ' οὐδεμία. καὶ ἁλοὺς, οὐκ ἐπόθει τὰς ἀθήνας, οὐδὲ τοὺς ἐκεῖ συνήθεις καὶ φίλους. ἀλλ' αὐτοῖς τοῖς πειραταῖς συνήθης ἐγίνετο, καὶ ἐπανορθοῦν ἐπειρᾶτο. καὶ πραθεὶς ὕστερον ἐν κορίνθῳ, διῆγεν οὕτως ὡς πρόσθεν ἐν ἀθήναις. καὶ εἰς περραιβοὺς δ'

Socrates

Diogenes

De Diogene aduerte

Rexebi

10 Aa

378



ἂν ἀπελθὼν, ὡσαύτως εἶχεν. οὕτως ἐλευθερία γίνεται. διὰ τοῦτο ἔλεγεν, ὅτι ἐξ οὗ με ἀντισθένης ἠλευθέρωσεν, οὐκέτι ἐδούλευσα. πῶς ἠλευθέρωσεν. ἄκουε τί λέγει. ἐδίδαξέ με τὰ ἐμὰ καὶ οὐκ ἐμά. κτῆσις, οὐκ ἐμή. συγγενεῖς, οἰκεῖοι, φίλοι, φήμη, συνήθεις τόποι, διατριβή. πάντα ταῦτα ὅτι ἀλλότρια. σὸν οὖν τί. χρῆσις φαντασιῶν. ταύτην ἔδειξέ μοι, ὅτι ἀκώλυτον ἔχω, ἀνανάγκαστον. οὐδεὶς ἐμποδίσαι δύναται. οὐδεὶς βιάσασθαι ἄλλως χρήσασθαι, ἢ ὡς θέλω. τίς οὖν ἔτι ἔχει μου ἐξουσίαν. φίλιππος, ἢ ἀλέξανδρος, ἢ περδίκκας, ἢ ὁ μέγας βασιλεύς. πόθεν αὐτοῖς. τὸν γὰρ ὑπ' ἀνθρώπου μέλλοντα ἡττᾶσθαι, πολὺ πρότερον ὑπὸ τῶν πραγμάτων δεῖ ἡττᾶσθαι. οὗτινος οὖν οὐχ ἡδονὴ κρατεῖ, οὐ πόνος, οὐ δόξα, οὐ πλοῦτος, δύναται δ' ὅταν αὐτῷ δόξῃ, τὸ σωμάτιον ὅλον προσπτύσας τινὶ ἀπελθεῖν, τίνος ἔτι οὗτος δοῦλός ἐστι. τίνι ὑποτέτακται. εἰ δ' ἡδέως ἐν ἀθήναις διῆγε, καὶ ἥττητο ταύτης τῆς διατριβῆς, ἐπὶ παντὶ ἂν ἦν τὰ ἐκείνου πράγματα. ὁ ἰσχυρότερος κύριος ἂν ἦν λυπῆσαι αὐτόν. πῶς ἂν δοκεῖς τοὺς πειρατὰς ἐκολάκευεν, ἵν' αὐτὸν ἀθηναίων τινὶ πωλήσωσιν. ἵν' ἴδῃ ποτὲ τὸν πειραιᾶ τὸν καλὸν, καὶ τὰ μακρὰ τείχη, καὶ τὴν ἀκρόπολιν. τίς ὢν ἴδῃς ἀνδράποδον, δοῦλος καὶ ταπεινὸς, καὶ τί σοι ὄφελος. οὔ. ἀλλ' ἐλεύθερος. δεῖξον πῶς ἐλεύθερος. ἰδοὺ ἐπείλη-

Antisthen

Philipp

Alexander

Perdiccas

379

Aa

ποῦ σου τίς ποτε οὗτος, ὁ ἐξάγων σε ἀπὸ τῆς συνήθους σοι διατριβῆς, καὶ λέγει· δοῦλος ἐμὸς εἶ· ἐπ' ἐμοὶ γάρ ἐστι κωλῦσαί σε διάγειν ὡς θέλεις· ἐπ' ἐμοὶ τὸ ἀνεῖναί σε, τὸ ταπεινῶσαι ὅταν θέλω· λ πάλιν εὐφραίνῃ καὶ μετέωρος πορεύῃ εἰς ἀθήνας· τί λέγεις πρὸς τοῦτον τὸν δουλαγωγοῦντά σε· ποῖον αὐτῷ καρπιστὴν δίδως· ἢ οὐδ' ὅλως ἀντιβλέπεις. ἀλλ' ἀφεὶς τοὺς πολλοὺς λόγοις ἱκετεύεις, ἵνα ἀφεθῇς· ἄνθρωπε, εἰς φυλακήν σε δεῖ χαίροντα ἀπιέναι, σπεύδοντα, φθάνοντα τοὺς ἀπάγοντας. εἶτά μοι σὺ μὲν ἐν ῥώμῃ διάγειν ὀκνεῖς, τὴν ἑλλάδα ποθεῖς· ὅταν δ' ἀποθνήσκειν δέῃ, καὶ τότε μέλλεις ἡμῶν κατακλαίειν, ὅτι τὰς ἀθήνας οὐ μέλλεις βλέπειν; καὶ ἐν λυκείῳ οὐ περιπατήσεις; ἐπὶ τοῦτο ἀπεδήμησας; τούτου ἕνεκα ἐζήτησας τινὶ συμβαλεῖν, ἵν' ὠφεληθῇς ὑπ' αὐτοῦ; ποίαν ὠφέλειαν, συλλογισμοὺς ἵν' ἀναλύσῃς ἑκτικώτερον, ἢ ἐφοδεύσῃς ὑποθετικούς· καὶ διὰ ταύτην τὴν αἰτίαν ἀδελφὸν ἀπέλιπες, πατρίδα, φίλους, οἰκείους, ἵνα ταῦτα μαθὼν ἐπανέλθῃς· ὥστ' οὐχ ὑπὲρ εὐσταθείας ἀπεδήμεις· οὐχ ὑπὲρ ἀταραξίας· οὐχ ἵν' ἀβλαβὴς γενόμενος, μηκέτι μηδένα μέμφῃ, μηδενὶ ἐγκαλῇς, μηδείς σε ἀδικῇ· καὶ οὕτω τὰς σχέσεις ἀποσῴζῃς ἀπαραποδίστως· καλὴν ἐστείλω ταύτην τὴν ἐμπορίαν, συλλογισμούς, καὶ μεταπίπτοντας καὶ ὑποθετικούς· κἂν σοι φανῇ, ἐν τῇ ἀγορᾷ καθίσας, πρόγραψον ὡς οἱ φαρμακοπῶλαι. οὐκ ἀρνήσῃ καὶ ὅσα ἔμαθες εἰδέναι, ἵνα μὴ διαβάλῃς τὰ θεωρήματα ὡς ἄχρηστα; τί σοι κακὸν ἐποίησε φιλοσοφία, τί σε ἠδίκησε χρύσιππος, ἵν' αὐτοῦ τοὺς πόνους ἔργῳ αὐτὸς ἀχρήστους ἐξελέγχῃς· οὐκ ἤρκει σοι τὰ ἐκεῖ κακά, ὅσα εἶχες αἴτια τοῦ λυπεῖσθαι, καὶ πενθεῖν· εἰ καὶ μὴ ἀπεδήμησας, ἀλλὰ πλείω προσέλαβες· κἂν ἄλλους πάλιν ἔχῃς συνήθεις καὶ φίλους, ἕξεις πλείονα τοῦ οἰμώζειν αἴτια. κἂν πρὸς ἄλλην χώραν προσπαθῇς. τί οὖν ζῇς, ἵνα λύπας ἄλλας ἐπ' ἄλλαις περιβάλλῃ, δι' ἃς ἀτυχεῖς. εἶτά μοι καλεῖς τοῦτο φιλοστοργίαν. ποίαν ἄνθρωπε φιλοστοργίαν. εἰ ἀγαθόν ἐστιν, οὐδενὸς κακοῦ αἴτιον γίνεται. εἰ κακόν ἐστιν, οὐδέν μοι καὶ αὐτῇ. ἐγὼ πρὸς τὰ ἀγαθὰ τὰ ἐμαυτοῦ πέφυκα, πρὸς κακὰ οὐ πέφυκα. τίς οὖν ἡ πρὸς τοῦτο ἄσκησις. πρῶτον μὲν ἡ ἀνωτάτω καὶ κυριωτάτη. καὶ εὐθὺς ὥσπερ ἐν πύλαις ὅταν τινὶ προσπάσχῃς ὡς οὐδενὶ τῶν ἀναφαιρέτων. ἀλλά τινι τοιούτῳ γένει, οἷόν ἐστι χύτρα. οἷον ὑάλινον ποτήριον. ἵν' ὅταν κατεαγῇ μεμνημένος μὴ, μὴ ταραχθῇς. οὕτω καὶ ἐνθάδε. ἐὰν παιδίον σαυτοῦ καταφιλῇς, ἐὰν ἀδελφόν, ἐὰν φίλον, μηδέποτε ἀνῇς τὴν φαντασίαν εἰς ἅπαν, μηδὲ τὴν διάχυσιν ἐάσῃς προελθεῖν ἐφ' ὅσον αὐτῇ θέλει, ἀλλ' ἀντίσπασον. κώλυσον. οἷον οἱ τοῖς θριαμβεύουσιν ἐφεστῶτες ὄπισθεν καὶ ὑπομι-





ἀποθνήσκειν

381
12 Aa

Chrysipp

De triumphatib' Nota

αὐτὴ

μεταπίπτοντας σχέσεις
συλλογισμους

μιμνήσκοντες ὅτι ἄνθρωποι εἰσί. τοιοῦτόν τι καὶ σὺ ὑπομίμνησκε σεαυτόν, ὅτι θνητὸν φιλεῖς. οὐδὲν τῶν σεαυτοῦ φιλεῖς. ἐπὶ τοῦ παρόντος σοι δέδοται οὐκ ἀναφαίρετον, οὐδ' εἰσάπαν. ἀλλ' ὡς σῦκον, ὡς σταφυλή, τῇ τεταγμένῃ ὥρᾳ τοῦ ἔτους. ἂν δὲ χειμῶνος ἐπιποθῇς, μωρὸς εἶ. οὕτω κἂν τὸν υἱὸν ἢ τὸν φίλον τότε ποθῇς ὅτε οὐ δέδοταί σοι, ἴσθι ὅτι χειμῶνος σῦκον ἐπιποθεῖς. οἷον γάρ ἐστι χειμὼν πρὸς σῦκον, τοιοῦτόν ἐστι πᾶσα ἡ ἀπὸ τῶν ὅλων περίστασις πρὸς τὰ κατ' αὐτὴν ἀναιρούμενα. καὶ λοιπὸν ἐν αὐτοῖς οἷς χαίρεις τινὶ, τὰς ἐναντίας φαντασίας σαυτῷ πρόσβαλε, τί κακόν ἐστι μεταξὺ καταφιλοῦντα τὸ παιδίον, ἐπιψελλίζοντα λέγειν, αὔριον ἀποθανῇ. τῷ φίλῳ ὡσαύτως, αὔριον ἀποδημήσεις, ἢ σὺ, ἢ ἐγώ. καὶ οὐκέτι ὀψόμεθα ἀλλήλους. ἀλλὰ δύσφημά ἐστι ταῦτα. καὶ γὰρ τῶν ἐπαοιδῶν ἔνια. ἀλλ' ὅτι ὠφελοῦσιν, οὐκ ἐπιστρέφομαι. μόνον ὠφελείτω. σὺ δὲ δύσφημα καλεῖς ἄλλα, ἢ τὰ κακοῦ τινὸς σημαντικά; δύσφημόν ἐστι δειλία, δύσφημον ἀγέννεια, πένθος, λύπη, ἀναισχυντία. ταῦτα τὰ ὀνόματα δύσφημά ἐστι. καίτοι γε οὐδὲ ταῦτα ὀκνεῖν δεῖ φθέγγεσθαι ὑπὲρ φυλακῆς τῶν πραγμάτων. δύσφημον δέ μοι λέγεις ὄνομα, φυσικοῦ τινος πράγματος σημαντικόν; λέγε δύσφημον εἶναι καὶ τὸ θερισθῆναι τοὺς στάχυας. ἀπώλειαν γὰρ σημαίνει τῶν σταχύων, ἀλλ' οὐ τοῦ κόσμου. λέγε δύσφημον καὶ τὸ φυλλορροεῖν, καὶ τὸ ἰσχάδα γίνεσθαι ἀντὶ σύκου, καὶ ἀσταφίδας ἐκ τῆς σταφυλῆς. πάντα γὰρ ταῦτα τῶν προτέρων εἰς ἕτερα ~~μεταβολαί~~. οὐκ ἀπώλεια, ἀλλὰ τεταγμένη τις οἰκονομία καὶ διοίκησις, τοῦτ' ἐστιν ἀποδημία καὶ μεταβολὴ μικρά. τοῦτο θάνατος, μεταβολὴ μείζων. οὐκ ἐκ τοῦ νῦν ὄντος εἰς τὸ μὴ ὄν, ἀλλ' εἰς τὸ νῦν μὴ ὄν. οὐκέτι οὖν ἔσομαι; οὐκ ἔσῃ. ἀλλ' ἄλλό τι, οὗ νῦν ὁ κόσμος χρείαν ἔχει. καὶ γὰρ σὺ ἐγένου, οὐχ ὅτε σὺ ἠθέλησας, ἀλλ' ὅτε ὁ κόσμος χρείαν ἔσχε. διὰ τοῦτο ὁ καλὸς καὶ ἀγαθὸς μεμνημένος τίς τ' ἐστὶ, καὶ πόθεν ἐλήλυθε, καὶ ὑπὸ τίνος γέγονε, πρὸς μόνῳ τούτῳ ἐστὶ, πῶς τὴν αὐτοῦ χώραν ἐκπληρώσῃ εὐτάκτως καὶ εὐπειθῶς τῷ θεῷ. ἔτι με εἶναι θέλεις; ὡς ἐλεύθερος, ὡς γενναῖος, ὡς σὺ ἠθέλησας. σὺ γάρ με ἀκώλυτον ἐποίησας ἐν τοῖς ἐμοῖς. ἀλλ' οὐκέτι μου χρείαν ἔχεις; καλῶς σοι γένοιτο. καὶ μέχρι νῦν διὰ σὲ ἔμενον, δι' ἄλλον οὐδένα. καὶ νῦν σοι πειθόμενος ἀπέρχομαι. πῶς ἀπέρχῃ; πάλιν ὡς σὺ ἠθέλησας. ὡς ἐλεύθερος, ὡς ὑπηρέτης σὸς, ὡς ᾐσθημένος σου τῶν προσταγμάτων καὶ ἀπαγορευμάτων. μέχρι δ' ἂν οὗ διατρίβω ἐν τοῖς σοῖς, τίνα με θέλεις εἶναι; ἄρχοντα, ἢ ἰδιώτην. βουλευτὴν, ἢ δημότην. στρατιώτην, στρατηγόν. παιδευτὴν, ἢ οἰκοδεσπότην. ἣν ἂν χώραν καὶ τάξιν ἐγχειρίσῃς, ὡς λέγει ὁ σωκράτης, μυριάκις ἀποθανοῦ-

νοῦμαι πρότερον, ἢ ταύτην ἐγκαταλείψω. ποῦ δὲ μεῖναι θέλεις; ἐν Ῥώμῃ, ἢ ἐν Ἀθήναις, ἢ ἐν Θήβαις, ἢ ἐν Γυάροις. μόνον ἐκεῖ μου μέμνησο. ἂν μ' ἐκεῖ πέμπῃς ὅπου κατὰ φύσιν διεξαγωγὴ οὐκ ἔστιν ἀνθρώπων, οὐ σοὶ ἀπειθῶν ἔξειμι. ἀλλ' ὡς σοῦ μοι σημαίνοντος τὸ ἀνακλητικόν, οὐκ ἀπολείπω σε. μὴ γένοιτο. ἀλλ' αἰσθάνομαι ὅτι μου χρείαν οὐκ ἔχεις. ἂν δὲ διδῶται κατὰ φύσιν διεξαγωγὴ, οὐ ζητήσω ἄλλον, ἢ ἐν ᾧ εἰμι. ἢ ἄλλοις ἀνθρώποις, ἢ μεθ' ὧν εἰμι. ταῦτα νυκτὸς, ταῦτα ἡμέρας πρόχειρα ἔστω. ταῦτα γράφειν, ταῦτα ἀναγινώσκειν. περὶ τούτων τοὺς λόγους ποιεῖσθαι, αὐτὸν πρὸς αὐτὸν, πρὸς ἕτερον. μή τι ἔχεις μοι πρὸς τοῦτο βοηθῆσαι; καὶ πάλιν ἄλλῳ ἐλθεῖν καὶ ἄλλῳ. εἶτα ἄν τι γίνηται τῶν λεγομένων ἀβουλήτων, εὐθὺς ἐκεῖνο πρῶτον ἐπικουφίσει σε, ὅτι οὐκ ἀπροσδόκητον. μέγα γὰρ ἐπὶ πάντων τὸ ᾔδειν θνητὸν γεγεννηκώς. οὕτω γὰρ ἐρεῖς καὶ σύ. ὅτι ᾔδειν θνητὸς ὤν. ᾔδειν ἀποδημητικὸς ὤν. ᾔδειν ἔκβλητος ὤν. ᾔδειν ἐς φυλακὴν ἀπότακτος ὤν. εἶτ' ἂν ἐπιστρέψῃ κατὰ σαυτὸν, καὶ ζητήσῃς τὴν χώραν ἐξ ἧς ἐστι τὸ συμβεβηκὸς, εὐθὺς ἀναμνησθήσῃ, ὅτι ἐκ τῆς τῶν ἀπροαιρέτων·

385 / 1 Bb

τῶν οὐκ ἐμῶν. τί οὖν πρὸς ἐμέ. εἶτα τὸ κυριώτατον. τίς δ' αὐτὸ καὶ ἐπιπέπομφεν. ὁ ἡγεμὼν, ἢ ὁ στρατηγὸς. ἡ πόλις. ὁ τῆς πόλεως νόμος. δὸς οὖν αὐτό. δεῖ γάρ με ἀεὶ τῷ νόμῳ πείθεσθαι ἐν παν-



τί. εἶθ' ὅταν σε ἡ φαντασία δάκνῃ, τοῦτο γὰρ οὐκ ἐπὶ σοί, ἀντιμάχου τῷ λόγῳ. καταγωνίζου αὐτήν. μὴ ἐάσῃς ἐνισχύειν, μηδὲ προάγειν ἐπὶ τὰ ἑξῆς, ἀναπλάσσουσαν ὅσα θέλει καὶ ὡς θέλει. ἂν ἐν Γυάροις ᾖς, μὴ ἀνάπλαττε τὴν ἐν Ῥώμῃ διατριβὴν, καὶ ὅσαι διαχύσεις ἦσαν ἐκεῖ διάγοντι, ὅσαι γένοιντ' ἂν ἐπανελθόντι. ἀλλ' ἐκεῖ τέτασο ὅπως δεῖ τὸν ἐν Γυάροις διάγοντα, ἐν Γυάροις ἐρρωμένως διάγειν. κἂν ἐν Ῥώμῃ ᾖς, μὴ ἀνάπλαττε τὴν ἐν Ἀθήναις διατριβὴν. ἀλλὰ περὶ μόνης τῆς ἐκεῖ μελέτα. εἶτ' ἀντὶ τῶν ἄλλων ἁπασῶν διαχύσεων, ἐκείνην ἀντίταξαι, τὴν ἀπὸ τοῦ παρακολουθεῖν ὅτι πείθῃ τῷ θεῷ. ὅτι οὐ λόγῳ, ἀλλ' ἔργῳ τὰ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐκτελεῖς. οἷον γάρ ἐστιν αὐτὸν αὑτῷ δύνασθαι εἰπεῖν. νῦν ἃ οἱ ἄλλοι ἐν ταῖς σχολαῖς σεμνολογοῦσι καὶ παραδοξολογεῖν δοκοῦσι, ταῦτα ἐγὼ ἐπιτελῶ. κἀκεῖνοι καθήμενοι τὰς ἐμὰς ἀρετὰς ἐξηγοῦνται, καὶ περὶ ἐμοῦ ζητοῦσι, καὶ ἐμὲ ὑμνοῦσι. καὶ τούτου με ὁ Ζεὺς αὐτὸν παρ' ἐμαυτοῦ

386 / 2 Bb

λαβεῖν ἀπόδειξιν ἠθέλησε. καὶ αὐτὸς δὲ γνῶναι εἰ ἔχει στρατιώτην οἷον δεῖ, πολίτην οἷον δεῖ, καὶ τοῖς ἄλλοις ἀνθρώποις προάγειν με μάρτυρα τῶν ἀπροαιρέτων. ἴδετε ὅτι εἰκῇ φοβεῖσθε. μάτην ἐπιθυμεῖτε ὧν ἐπιθυμεῖτε. τὰ ἀγαθὰ ἔξω μὴ ζητεῖτε. ἐν ἑαυτοῖς ζητεῖτε. εἰ δὲ μή, οὐχ εὑρήσετε. ἐπὶ τούτοις με νῦν μὲν ἐνταῦθα ἄγει, νῦν δ' ἐκεῖ πέμπει.

πένητα δείκνυσι τοῖς ἀνθρώποις, δίχα ἀρχῆς, νοσοῦντα· εἰς γύαρα πέμπει, εἰς δεσμωτήριον ἀπάγει. οὐ μισῶν· μὴ γένοιτο· τίς δὲ μισεῖ τὸν ἄριστον τῶν ὑπηρετῶν ἑαυτοῦ, οὐδ᾽ ἀμελῶν· ὅς γε οὐδὲ τῶν μικροτάτων τινὸς ἀμελεῖ· ἀλλὰ γυμνάζων, καὶ μάρτυρι πρὸς τοὺς ἄλλους χρώμενος. εἰς τοιαύτην ὑπηρεσίαν κατατεταγμένος, ἔτι φροντίζω ποῦ εἰμι, ἢ μετὰ τίνων, ἢ τί περὶ ἐμοῦ λέγουσιν, οὐχὶ δ᾽ ὅλος πρὸς τὸν θεὸν τέταμαι, καὶ τὰς ἐκείνου ἐντολὰς καὶ τὰ προστάγματα; ταῦτα ἔχων ἀεὶ ἐν χερσὶ, καὶ τρίβων αὐτὸς παρὰ σαυτῷ καὶ πρόχειρα ποιῶν, οὐδέποτε δεήσῃ τοῦ παραμυθουμένου, τοῦ ἐπιρρωννύντος. καὶ γὰρ αἰσχρὸν, οὐ τὸ φαγεῖν μὴ ἔχειν, ἀλλὰ τὸ λόγον μὴ ἔχειν ἀρκοῦντα πρὸς ἀφοβίαν. ἂν δ᾽ ἅπαξ περιποιήσῃ τὸ ἄλυπον καὶ ἄφοβον, ἔτι σοι τύραννος ἔσται τις, ἢ δορυφόρος, ἢ καισαρειανοί, ἢ ὀρδινατίων δήξεταί σε, ἢ οἱ ἐπιθύοντες ἐν τῷ καπιτωλίῳ ἐπὶ τοῖς ὀπτικέοις, τὸν τηλικαύτην ἀρχὴν παρὰ τοῦ διὸς εἰληφότα; μόνον μὴ πόμπευε αὐτὴν, μὴ δ᾽ ἀλαζονεύου ἐπ᾽ αὐτῇ· ἀλλ᾽ ἔργῳ δείκνυε, κἂν μηδεὶς αἰσθάνηται, ἀρκοῦ αὐτὸς ὑγιαίνων καὶ εὐδαιμονῶν.

ὀρδιναπίων

ὀπλικίοις



Πρὸς τοὺς ἀποπίπτοντας ὧν προέθεντο. κϛ.

Σκέψαι ὧν προέθου ἀρχόμενος, τίνων μὲν ἐκράτησας, τίνων δ᾽ οὔ, καὶ πῶς ἐφ᾽ οἷς μὲν εὐφραίνῃ ἀναμιμνησκόμενος, ἐφ᾽ οἷς δ᾽ ἄχθῃ, καὶ εἰ δυνατὸν, ἀνάλαβε κἀκεῖνα ὧν ἀπώλισθες. οὐ γὰρ ἀποκνητέον τὸν ἀγῶνα τὸν μέγιστον ἀγωνιζομένοις, ἀλλὰ καὶ πληγὰς ληπτέον. οὐ γὰρ ὑπὲρ πάλης καὶ παγκρατίου ὁ ἀγὼν πρόκειται, οὗ καὶ τυχόντι, καὶ μὴ τυχόντι, ἔξεστι μὲν πλείστου ἀξίῳ, ἔξεστι δὲ ὀλίγου εἶναι· καὶ νὴ δία ἔξεστι μὲν εὐτυχεστάτῳ, ἔξεστι δὲ κακοδαιμονεστάτῳ εἶναι. ἀλλ᾽ ὑπὲρ αὐτῆς εὐτυχίας καὶ εὐδαιμονίας. τί οὖν; οὐδ᾽ ἂν ἀπαυδήσωμεν ἐνταῦθα, κωλύει τις πάλιν ἀγωνίζεσθαι. οὐδὲ δεῖ περιμεῖναι τετραετίαν ἄλλην, ἵν᾽ ἔλθῃ ἄλλα ὀλύμπια· ἀλλ᾽ εὐθὺς ἀναλαβόντι καὶ ἀνακτησαμένῳ ἑαυτὸν, καὶ τὴν αὐτὴν εἰσφέροντι προθυμίαν, ἔξεστιν ἀγωνίζεσθαι. κἂν πάλιν ἀπείπῃς, πάλιν ἔξεστι. κἂν ἅπαξ νικήσῃς, ὅμοιος εἶ τῷ μηδέποτε ἀπειπόντι. μόνον μὴ ὑπὸ ἔθους τοῦ αὐτοῦ ἡδέως αὐτὸ ἄρξῃ ποιεῖν· καὶ λοιπὸν ὡς κακὸς ἀθλητὴς περιέρχῃ νικώμενος τὴν περίοδον. ὅμοιος τοῖς ἀποφυγοῦσιν ὄρτυξιν. ἡττᾶταί με φαντασία παιδισκαρίου καλοῦ. τί γὰρ πρώην οὐχ ἡττήθην; προθυμία μοι γίνεται ψέξαι τινά, πρώην γὰρ οὐκ ἔψεξα; οὕτως

ἢ μὲν λαλεῖς, ὡς ἀζήμιος ἐξεληλυθώς. οἷον εἴ τις τῷ ἰατρῷ κωλύοντι λούσασθαι, λέγοι· πρώην γὰρ οὐκ ἐλουσάμην; ἂν οὖν ὁ ἰατρὸς αὐτῷ ἔχῃ λέγειν, ἄγε λουσάμενος οὖν τί ἔπαθες, οὐκ ἐπύρεξας, οὐκ ἐκεφαλάλγησας; καὶ σὺ ψέξας πρώην τινά, οὐ κακοήθους ἔργον ἔπραξας; οὐ φλυάρου; οὐκ ἔθρεψάς σου τὴν ἕξιν ταύτην, παραβάλλων αὐτῇ τὰ οἰκεῖα ἔργα; ἡττηθεὶς δὲ τοῦ παιδισκαρίου ἀπῆλθες ἀζήμιος; τί οὖν τὰ πρώην λέγεις; ἔδει δ' οἶμαι μεμνημένον ὡς οἱ δοῦλοι τῶν πληγῶν, ἀπέχεσθαι τῶν αὐτῶν ἁμαρτημάτων. ἀλλ' οὐχ ὅμοιον. ἐνταῦθα μὲν γὰρ ὁ πόνος τὴν μνήμην ποιεῖ. ἐνθάδε δὲ τῶν ἁμαρτημάτων, ποῖος πόνος, ποία ζημία. πότε γὰρ ἠθίσθης φεύγειν, τὸ κακῶς ἐνεργῆσαι. οἱ πόνοι ἄρα οἱ τῶν πειρατηρίων, ἑκόντων ἢ ἀκόντων ἡμῶν, ὠφέλιμοι.

Πρὸς τοὺς τὴν ἀπορίαν δεδοικότας. κέ.

Οὐκ αἰσχύνῃ δειλότερος ὢν καὶ ἀγεννέστερος τῶν δραπετῶν; πῶς ἐκεῖνοι φεύγοντες ἀπολείπουσι τοὺς δεσπότας. ποίοις ἀγροῖς πεποιθότες. ποίοις οἰκέταις. οὐχὶ δ' ὀλίγον ὅσον πρὸς τὰς πρώτας ἡμέρας ὑφελόμενοι, εἶθ' ὕστερον διὰ γῆς ἢ καὶ θαλάττης φέρονται, ἄλλην ἐξ ἄλλης ἀφορμὴν πρὸς τὸ διατρέφεσθαι φιλοτεχνοῦντες; καὶ τίς πώποτε δραπέτης λιμῷ ἀπέθανε. σὺ δὲ τρέμεις μή σοι λίπῃ τὰ ἀναγκαῖα, καὶ τὰς νύκτας ἀγρυπνεῖς ταλαίπωρε. οὕτω τυφλὸς εἶ καὶ τὴν ὁδὸν οὐχ ὁρᾷς, ὅποι φέρει ἡ τῶν ἀναγκαίων ἔνδεια; ποῦ γὰρ φέρει. ὅπου καὶ ὁ πυρετός. ὅπου καὶ λίθος ἐπιπεσών. εἰς θάνατον. τοῦτον οὖν οὐ πολλάκις δ' αὐτὸς εἶπες πρὸς τοὺς ἑταίρους; πολλὰ δ' ἀνέγνως τοιαῦτα, πολλὰ δ' ἔγραψας. ποσάκις δ' ἠλαζονεύσω, ὅτι πρός γε τὸ ἀποθανεῖν μετρίως ἔχεις. ναί. ἀλλὰ καὶ οἱ ἐμοὶ πεινήσουσι. τί οὖν. μήτι καὶ ὁ ἐκείνων λιμὸς ἀλλαχοῦ που φέρει; οὐχὶ καὶ ἡ αὐτή που κάθοδος; τὰ κάτω τὰ αὐτά; οὐ θέλεις οὖν ἐκεῖ βλέπειν, θαρρῶν πρὸς πᾶσαν ἀπορίαν, καὶ ἔνδειαν, ὅπου καὶ τοὺς πλουσιωτάτους καὶ τὰς ἀρχὰς τὰς μεγίστας ἄρξαντας, καὶ αὐτοὺς τοὺς βασιλεῖς, καὶ τυράννους δεῖ κατελθεῖν; ἢ σὲ πεινῶντα ἂν οὕτω τύχῃ, ἐκείνους δὲ διαρραγέντας ὑπὸ ἀπεψιῶν καὶ μέθης; τίνα πώποτ' ἐπαίτην ῥᾳδίως εἶδες μὴ γέροντα, τίνα δ' οὐκ ἐσχατόγηρων. ἀλλὰ ῥιγῶντες τὰς νύκτας καὶ τὰς ἡμέρας, καὶ χαμαὶ ἐρριμμένοι, καὶ ὅσον αὐτὸ τὸ ἀναγκαῖον σιτούμενοι, ἐγγὺς ἥκουσι τῷ μὴ δ' ἀποθανεῖν δύνασθαι. οὐ γράφειν; οὐ παιδαγωγεῖν; οὐ θύραν ἀλλοτρίαν φυλάττειν; ἀλλὰ αἰσχρὸν εἰς ταύτην ἐλθεῖν τὴν ἀνάγκην. μάθε οὖν πρῶτον τίνα τὰ αἰσχρά ἐστι, καὶ οὕτως ἡμῖν λέγε σαυτὸν φιλόσοφον, τὸ νῦν δὲ μηδ' ἂν ἄλλος τις εἴπῃ σε ἀνέχου. αἰσχρόν ἐστι σοι τὸ μὴ σὺν

394
7 Bb

ἔργον, οὗ σὺ αἴτιος οὐκ εἶ; ὃ ἄλλως ἀπήντησέ σοι.
ὡς κεφαλαλγία, ὡς πυρετός. εἴ σου οἱ γονεῖς πένη-
τες ἦσαν, ἄλλοις δὲ κληρονόμους ἀπέλιπον, καὶ
ζῶντες οὐκ ἐπαρκοῦσιν, οὐδέν σοι ταῦτα αἰσχρά ἐστι.
ταῦτα ἐμάνθανες παρὰ τοῖς φιλοσόφοις; οὐδέπο-
τε ἤκουσας ὅτι τὸ αἰσχρὸν, ψεκτόν, τὸ δὲ ψεκτὸν ἄ-
ξιόν ἐστι τοῦ ψέγεσθαι; τίνα ἐπὶ τῷ μὴ αὐτοῦ ψέ-
γεις ἔργῳ, ὃ αὐτὸς οὐκ ἐποίησε. σὺ οὖν ἐποίησας
σοῦ τὸν πατέρα τοιοῦτον; ἢ ἔξεστί σοι ἐπανορθῶσαι
αὐτόν; δίδοταί σοι τοῦτο. τί οὖν δεῖ, σε θέλειν τὰ
μὴ διδόμενα, ἢ μὴ τυγχάνοντα αὐτῶν αἰσχύνε-
σθαι. οὕτω δὲ καὶ εἰθίζου φιλοσοφῶν, ἀφορᾶν εἰς ἄλ-
λους, καὶ μηδὲν αὐτὸς ἐλπίζειν ἐκ σεαυτοῦ; τοιγαρ-
οῦν οἴμωζε, καὶ στένε, καὶ ἔσθιε, δεδοικὼς μὴ οὐκ ἔχῃς
τροφὰς αὔριον. περὶ τῶν δουλαρίων τρέμε μὴ κλέ-
ψῃ, μὴ φύγῃ, μὴ ἀποθάνῃ. οὕτω σὺ ζῆθι, καὶ μὴ παύ-
σῃ μηδέποτε. ὅστις ὀνόματι μόνῳ πρὸς φιλοσο-
φίαν προσῆλθες. καὶ τὰ θεωρήματα αὐτῆς ὅσον
ἐπὶ σοὶ κατῄσχυνας, ἄχρηστα ἐπιδείξας καὶ ἀνω-
φελῆ τοῖς ἀναλαμβάνουσιν. οὐδέποτε δ' εὐσταθεί-
ας ὠρέχθης. ἀταραξίας. ἀπαθείας. οὐδένα τού-
του ἕνεκα ἐθεράπευσας. συλλογισμῶν δ' ἕνεκα,
πολλούς. οὐδέποτε τούτων τινὰ τῶν φαντασιῶν
5 διεβασάνισας αὐτὸς ἐπὶ σεαυτοῦ. δύναμαι φέρειν,
ἢ οὐ δύναμαι φέρειν; τί μοι τὸ λοιπόν ἐστιν. ἀλλ'
ὡς πάντων ἐχόντων σοι καλῶς καὶ ἀσφαλῶς, περὶ

392
8 Bb



τὸν τελευταῖον κατεγίνου τόπον τὸν τῆς ἀμεταπ-
τωσίας, ἵν' ἀμετάπτωτα ἔχῃς. τίνα; τὴν δειλίαν, τὴν
ἀγέννειαν, τὸν θαυμασμὸν τῶν πλουσίων, τὴν ἀτε-
λῆ ὄρεξιν, τὴν ἀποτευκτικὴν ἔκκλισιν, περὶ τῆς
τούτων ἀσφαλείας ἐφρόντιζες; οὐκ ἔδει προσκτή-
σασθαι πρῶτον ἐκ τοῦ λόγου, εἶτα τούτῳ περιποιεῖν
τὴν ἀσφάλειαν; καὶ τίνα πώποτ' εἶδες θριγκὸν
περιοικοδομοῦντα μηδενὶ τειχίῳ περιβαλλόμε-
νον αὐτόν. ποῖος θυρωρὸς καθίσταται ἐπὶ οὐδεμιᾷ
θύρᾳ. ἀλλὰ σὺ μελετᾷς ἀποδεικνύειν δύνασθαι·
τίνα, μελετᾷς μὴ ἀποσαλεύεσθαι διὰ σοφισμά-
των. ἀπὸ τίνων. δεῖξόν μοι πρῶτον τί τηρεῖς. τί
μετρεῖς. ἢ τί ἱστάνεις. εἶθ' οὕτως ἐπιδείκνυε τὸν ζυ-
γόν, ἢ τὸν μέδιμνον, ἢ μέχρι τίνος μετρήσεις τὴν
σποδόν. οὐ ταῦτά σε ἀποδεικνύειν δεῖ ἃ ποιεῖ τοὺς
ἀνθρώπους εὐδαίμονας; ἃ ποιεῖ προχωρεῖν αὐ-
τοῖς τὰ πράγματα ὡς θέλουσι; δι' ἃ οὐ δεῖ μέμ-
φεσθαι οὐδενί, ἐγκαλεῖν οὐδενί; πείθεσθαι τῇ δι-
οικήσει τῶν ὅλων; ταῦτά μοι δείκνυε. ἰδοὺ δεικ-
9 νύω φησίν. ἀναλύσω σοι συλλογισμούς. τοῦτο τὸ με-
τροῦν ἐστιν. ἀνδράποδον. τὸ μετρούμενον δ' οὐκ
ἔστι. διὰ ταῦτα νῦν τίνεις δίκας ὧν ἠμέλησας φι-
λοσοφίας. τρέμεις. ἀγρυπνεῖς. μετὰ πάντων βου-
λεύῃ. κἂν μὴ πᾶσιν ἀρέσκειν μέλλῃ τὰ βουλεύμα-
τα, κακῶς οἴει βεβουλεῦσθαι. εἶτα φοβῇ λιμόν ὡς
δοκεῖς. σὺ δ' οὐ λιμὸν φοβῇ, ἀλλὰ δέδοικας μὴ

ὀψωνητήν

χρῇς μάγειρον· μὴ οὐ χρῇς ἄλλον ὁ ψωνητιῶ· ἄλλον
τὸν ὑποδήσοντα· ἄλλον τὸν ἐνδύσοντα· ἄλλους τοὺς
τρίψοντας· ἄλλους τοὺς ἀκολουθήσοντας. ἵν᾽ ἐν τῷ
βαλανείῳ ἐκδυσάμενος καὶ ἐκτείνας σεαυτὸν ὡς
οἱ ἐσταυρωμένοι, τρίβῃ ἔνθεν καὶ ἔνθεν. εἶθ᾽ ὁ ἀλεί-
πτης ἐπιστὰς λέγῃ· μετάβηθι· δὸς πλευρόν. κεφα-
λὴν αὐτοῦ λάβε· παράθες τὸν ὦμον. εἶτ᾽ ἐλθὼν ἐκ
τοῦ βαλανείου εἰς οἶκον, κραυγάσῃς· οὐδεὶς φέρει
φαγεῖν, εἶτ᾽ ἆρον τὰς τραπέζας· σπόγγισον. τοῦτο
φοβῇ, μὴ οὐ δύνῃ ζῆν ἀρρώστου βίον. ἐπεί τοι τὸν
τῶν ὑγιαινόντων μάθε πῶς οἱ δοῦλοι ζῶσι. πῶς οἱ
ἐργάται. πῶς οἱ γνησίως φιλοσοφοῦντες. πῶς Σω- Σ
Socrates κράτης ἔζησεν. ἐκεῖνος μὲν καὶ μετὰ γυναικὸς καὶ
παιδίων. πῶς Διογένης. πῶς Κλεάνθης. ἅμα σχολά- ΔΚ
Diogenes ζων καὶ ἀντλῶν. ταῦτα ἂν θέλῃς ἔχειν, ἕξεις παν-
ταχοῦ καὶ ζήσεις θαρρῶν. τίνι· ᾧ μόνῳ θαρρεῖν ἐν- 394
Cleanthes δέχεται· τῷ πιστῷ· τῷ ἀκωλύτῳ· τῷ ἀναφαιρέτῳ· 10 Bb
τουτέστι τῇ προαιρέσει τῇ σεαυτοῦ. διατί δ᾽ οὕτως
ἄχρηστον καὶ ἀνωφελῆ σεαυτὸν παρεσκεύασας. ἵνα
μηδείς σε εἰς οἰκίαν θέλῃ δέξασθαι. μηδεὶς ἐπιμε-
ληθῆναι. ἀλλὰ σκεῦος μὲν ὁλόκληρον καὶ χρήσι-
μον ἔξω ἐρριμμένον πᾶς τις εὑρὼν, ἀναιρήσεται.
καὶ κέρδος ἡγήσεται. σὲ δ᾽ οὐδείς. ἀλλὰ πᾶς ζη-
μίαν. οὕτως οὐδὲ κυνὸς δύνασαι χρείαν παρα-
σχεῖν. οὐδ᾽ ἀλεκτρυόνος. τί οὖν ἔτι ζῆν θέλεις τοιοῦ-
τος ὤν. φοβεῖταί τις ἀνὴρ ἀγαθὸς μὴ λίπωσιν
αὐτῷ



τροφαί. τοῖς τυφλοῖς οὐ λείπουσι. τοῖς χωλοῖς
οὐ λείπουσι. λείψουσιν ἀνδρὶ ἀγαθῷ; καὶ στρατιώ-
τῃ μὲν ἀγαθῷ οὐ λείπει ὁ μισθοδοτῶν, οὐδ᾽ ἐρ-
γάτῃ, οὐδὲ σκυτεῖ. τῷ δ᾽ ἀγαθῷ λείψει; οὕτως ὁ
θεὸς ἀμελεῖ τῶν αὐτοῦ ἐπιτευγμάτων; τῶν δια-
κόνων; τῶν μαρτύρων; οἷς μόνοις χρῆται παρα-
δείγμασι πρὸς τοὺς ἀπαιδεύτους; ὅτι καὶ ἔστι, καὶ
καλῶς διοικεῖ τὰ ὅλα, καὶ οὐκ ἀμελεῖ τῶν ἀνθρω-
πίνων πραγμάτων. καὶ ὅτι ἀνδρὶ ἀγαθῷ οὐδέν
ἐστι κακὸν οὔτε ζῶντι, οὔτε ἀποθανόντι. τί οὖν
ὅταν μὴ παρέχῃ τροφάς. τί γὰρ ἄλλο, ἢ ὡς ἀγαθὸς 395
στρατηγὸς τὸ ἀνακλητικόν μοι σεσήμαγκε. πεί-
θομαι. ἀκολουθῶ ἐπευφημῶν τὸν ἡγεμόνα, ὑμ- 11 Bb
νῶν αὐτοῦ τὰ ἔργα. καὶ γὰρ ἦλθον ὅτ᾽ ἐκείνῳ ἔδοξε.
καὶ ἄπειμι πάλιν ἐκείνῳ δοκοῦν. καὶ ζῶντός μου,
τοῦτο τὸ ἔργον ἦν, ὑμνεῖν τὸν θεόν. καὶ αὐτὸν ἐπ᾽
ἐμαυτοῦ, καὶ πρὸς ἕνα καὶ πρὸς πολλούς. οὐ πα-
ρέχει μοι πολλά, οὐκ ἄφθονα, τρυφᾶν με οὐ θέλει.
Η οὐδὲ γὰρ τῷ Ἡρακλεῖ παρεῖχε τῷ υἱῷ τῷ ἑαυτοῦ. Hercules
Μ ἀλλ᾽ ἄλλος ἐβασίλευεν Ἄργους καὶ Μυκηνῶν. ὁ δ᾽
Εὐ ἐπετάσσετο καὶ ἐπόνει καὶ ἐγυμνάζετο. καὶ ἦν Εὐ- Eurysthe
Μ ρυσθεὺς μὲν ὃς ἦν, οὔτε Ἄργους οὔτε Μυκηνῶν βα-
Η σιλεύς. ὅς γ᾽ οὐδ᾽ αὐτὸς ἑαυτοῦ. ὁ δ᾽ Ἡρακλῆς ἁπά-
σης γῆς καὶ θαλάττης ἄρχων καὶ ἡγεμὼν ἦν, κα-
θαρτὴς ἀνομίας καὶ ἀδικίας. εἰσαγωγεὺς δὲ δι-
καιοσύνης καὶ ὁσιότητος. καὶ ταῦτα ἐποίει καὶ

φ

ἐπιτευγμάτων

Ulyxes

γυμνὸς καὶ μόνος. ὁ δ᾽ Ὀδυσσεὺς ὅτι ναυαγὸς ἐξερρίφη, μή τι ἐταπείνωσεν αὐτὸν ἡ ἀπορία; μή τι ἐπέκλασεν; ἀλλὰ πῶς ἀπῄει πρὸς τὰς παρθένους αἰτήσων τὰ ἀναγκαῖα. τί οὖν τοῦτο πρὸς τὸ δοῦλον εἶναι ἢ ἐλεύθερον. οὐδὲ ποῦ ὑπὸ τῆς ἐρωμένης ἐπιτάγης οὐδὲν, ὧν οὐκ ἤθελες; οὐδέποτέ σου τὸ δουλάριον ἐκολάκευσας; οὐδέποτ᾽ αὐτοῦ τοὺς πόδας κατεφίλησας; καί τοι τοῦ Καίσαρος εἴ σέ τις ἀναγκάσει, ὕβριν αὐτὸ ἡγῇ, καὶ ὑπερβολὴν τυραννίδος. τί οὖν ἄλλο ἐστὶ δουλεία. νυκτὸς οὐδέποτ᾽ ἀπῆλθες, ὅπου οὐκ ἤθελες; ἀνάλωσας ὅσα οὐκ ἤθελες; εἶπάς τινα οἰμώζων καὶ στένων; ἠνέσχου λοιδορούμενος; ἀποκλειόμενος; ἀλλ᾽ εἰ σὺ αἰσχύνῃ τὰ σαυτοῦ ὁμολογεῖν, ὅρα ἃ λέγει καὶ ποιεῖ ὁ Θρασωνίδης. ὃς τοσαῦτα στρατευσάμενος, ὅσα τάχα οὐδὲ σύ. πρῶτον μὲν ἐξελήλυθε νυκτὸς, ὅτε ὁ Γέτας οὐ τολμᾷ ἐξελθεῖν. ἀλλ᾽ εἰ προσηναγκάζετο ὑπ᾽ αὐτοῦ, πολλ᾽ ἂν αὐτῷ κραυγάσας, καὶ τὴν πικρὰν δουλείαν ἀπολοφυράμενος, ἐξῆλθεν. εἶτα τί λέγει. παιδισκάριόν με φησὶ καταδεδούλωκεν εὐτελὲς, ὃν οὐδεὶς τῶν πολεμίων πώποτε. τάλας. ὥστε καὶ παιδισκαρίου δοῦλος εἶ, καὶ παιδισκαρίου εὐτελοῦς. τί οὖν ἔτι σαυτὸν ἐλεύθερον λέγεις. τί δὲ προφέρεις σου τὰς στρατείας. εἶτα ξίφος αἰτεῖ. καὶ πρὸς τὸν ὑπ᾽ εὐνοίας μὴ διδόντα χαλεπαίνει. καὶ δῶρα τῇ μισούσῃ πέμπει, καὶ δεῖται, καὶ κλαίει. πάλιν δὲ μικρὰ εὐημε-

Thrasonides



ρήσας, ἐπαίρεται. πλὴν καὶ τότε πῶς; μὴ δ᾽ ἐπιθυμεῖν ἢ φοβεῖσθαι. σκέψαι δ᾽ ἐπὶ τῶν ζώων πῶς χρώμεθα τῇ ἐννοίᾳ τῆς ἐλευθερίας. λέοντας τρέφουσιν ἡμέροις ἐγκλείσαντες, καὶ σιτίζουσι, καὶ κομίζουσιν ἔνιοι μεθ᾽ αὑτῶν. καὶ τίς ἐρεῖ τοῦτον τὸν λέοντα ἐλεύθερον. οὐχὶ δ᾽ ὅσῳ μαλακώτερον διεξάγει, τοσούτῳ δουλικώτερον. τίς δ᾽ ἂν αἴσθησιν καὶ λογισμὸν λαβὼν, βούλοιτο τούτων τις εἶναι τῶν λεόντων. ἄγε. τὰ δὲ πτηνὰ ταῦτα ὅταν ληφθῇ καὶ ἐγκεκλεισμένα τρέφηται, οἷα πάσχει, ζητοῦντα ἐκφυγεῖν. καὶ ἔνιά γε αὐτῶν λιμῷ διαφθείρεται μᾶλλον, ἢ ὑπομένει τὴν τοιαύτην διεξαγωγήν. ὅσα δ᾽ οὖν διασώζεται μόγις καὶ χαλεπῶς, καὶ φθίνοντα. κἂν ὅλως εὕρῃ τι παρεῳγμένον, ἐξεπήδησεν. οὕτως ὀρέγεται τῆς φυσικῆς ἐλευθερίας, καὶ τοῦ αὐτόνομα καὶ ἀκώλυτα εἶναι. καὶ τί σοι κακόν ἐστιν ἐνταῦθα. οἷα λέγεις. πέπονθα πέφυκα ὅπου θέλω ὑπαίθρος διάγειν. ἄδειν ὅταν θέλω. σύ με πάντων τούτων ἀφαιρῇ. καὶ λέγεις τί σοι κακόν ἐστι; διὰ τοῦτο ἐκεῖνα μόνα ἐροῦμεν ἐλεύθερα, ὅσα τὴν ἅλωσιν οὐ φέρει. ἀλλ᾽ ἅμα τ᾽ ἑάλω, καὶ ἀποθανόντα διέφυγεν. οὕτω καὶ Διογένης που λέγει. μίαν εἶναι μηχανὴν πρὸς ἐλευθερίαν, τὸ εὐκόλως ἀποθνήσκειν. καὶ τῷ Περσῶν βασιλεῖ γράφει. ὅτι τὴν Ἀθηναίων πόλιν καταδουλώσασθαι οὐ δυνήσεται, οὐ μᾶλλον φησὶν, ἢ τοὺς ἰχθῦς. πῶς. οὐ γὰρ λήψομαι

Diogenes

ἂν λάβῃς

αὐτούς; ἂν λάβῃς φησὶν, εὐθὺς ἀπολιπόντες σε οἰχήσονται, καθάπερ οἱ ἰχθύες. καὶ γὰρ ἐκείνων ὃν ἂν λάβῃς, ἀπέθανε. καὶ οὗτοι ληφθέντες ἐὰν ἀποθνήσκωσι, τί σοι ἐστὶ τῆς παρασκευῆς ὄφελος. τουτέστιν ἐλευθέρου ἀνδρὸς φωνὴ σπουδῇ ἐξητακότος τὸ πρᾶγμα. καὶ ὥσπερ ἂν τις εὑρηκότος. ἂν δ' ἀλλαχοῦ ζητῇς, ἢ ὅπου ἐστὶ, τί θαυμαστὸν εἰ οὐδέποτε αὐτὸ εὑρίσκεις; ὁ δοῦλος εὐθὺς εὔχεται ἀφεθῆναι ἐλεύθερος. διατί; δοκεῖτε ὅτι τοῖς εἰκοσώναις ἐπιθυμεῖ δοῦναι ἀργύριον; οὔ. ἀλλ' ὅτι φαντάζεται μέχρι νῦν διὰ τὸ μὴ τετυχηκέναι τούτου, ἐμποδίζεσθαι καὶ δυσροεῖν. ἂν ἀφεθῶ φησὶν, εὐθὺς πᾶσα εὔροια, οὐδενὸς ἐπιστρέφομαι. πᾶσιν ὡς ἴσος καὶ ὅμοιος λαλῶ. πορεύομαι ὅπου θέλω. ἔρχομαι ὅθεν θέλω, καὶ ὅπου θέλω. εἶτα ἀπηλευθέρωται. καὶ εὐθὺς μὲν οὐκ ἔχων ποῦ φάγῃ, ζητεῖ τίνα κολακεύσει. παρὰ τίνι δειπνήσει. εἶτα ἢ ἐργάζεται τῷ σώματι, καὶ πάσχει τὰ δεινότατα. κἂν σχῇ τινα φάτνην, ἐμπέπτωκεν εἰς δουλείαν πολὺ τῆς

399 προτέρας χαλεπωτέραν, ἢ καὶ εὐπορήσας ἄνθρωπος ἀπειρόκαλος, πεφίληκε παιδισκάριον. καὶ

15 Bb δυστυχῶν, ἀνακλαίεται. καὶ τὴν δουλείαν ποθεῖ. τί γάρ μοι κακὸν ἦν, ἄλλος μ' ἐνέδυεν. ἄλλος μ' ὑπέδει. ἄλλος ἔτρεφεν. ἄλλος ἐνοσοκόμει. ὀλίγα αὐτῷ ὑπηρέτουν. νῦν δὲ τάλας οἷα πάσχω. πλείοσι δουλεύων ἀνθ' ἑνός. ὅμως δ' ἐὰν δακτυλίους

εἰκοσώναις



φησὶ λάβω, τότε γ' εὐρούστατα διάξω, καὶ εὐδαιμονέστατα. πρῶτον μὲν ἵνα λάβῃ, πάσχει ὧν ἐστὶν ἄξιος. εἶτα λαβὼν, πάλιν ταὐτά. εἶτα φησὶν ἂν μὲν στρατεύσωμαι, ἀπήλλαγμαι πάντων τῶν κακῶν. στρατεύεται, πάσχει ὅσα μαστιγίας. καὶ οὐδὲν ἧττον δευτέραν αἰτεῖ στρατείαν καὶ τρίτην. εἶθ' ὅταν αὐτὸν τὸν κολοφῶνα ἐπιθῇ, καὶ γένηται συγκλητικὸς, τότε γίνεται δοῦλος. εἰς σύλλογον ἐρχόμενος, τότε τὴν καλλίω καὶ λιπαρωτάτην δουλείαν δουλεύει, ἵνα μὴ μωρὸς ᾖ. ἀλλ' ἵνα μάθῃ ἃ ἔλεγεν ὁ Σωκράτης. τί ἐστι τῶν ὄντων ἕκαστον. καὶ μὴ εἰκῆ τὰς προλήψεις ἐφαρμόζῃ ταῖς ἐπὶ μέρους οὐσίαις. τοῦτο γάρ ἐστι τὸ αἴτιον τοῖς ἀνθρώποις πάντων τῶν κακῶν, τὸ τὰς προλήψεις τὰς κοινὰς μὴ δύνασθαι ἐφαρμόζειν τοῖς ἐπὶ μέρους. ἡμεῖς δ' ἄλλοι ἄλλα οἰόμεθα. ὁ μὲν ὅτι νοσεῖ, οὐδαμῶς. ἀλλ' ὅτι τὰς προλήψεις οὐκ ἐφαρμόζει. ὁ δ'

400 ὅτι πτωχός ἐστιν. ὁ δ' ὅτι πατέρα χαλεπὸν ἔχει ἢ

6 Bb μητέρα. τῷ δ' ὅτι ὁ καῖσαρ οὐχ ἵλεώς ἐστι. τοῦτο δ' ἐστὶν ἓν καὶ μόνον, τὸ τὰς προλήψεις ἐφαρμόζειν μὴ εἰδέναι. ἐπεὶ τίς οὐκ ἔχει κακοῦ πρόληψιν, ὅτι βλαβερόν ἐστιν, ὅτι φευκτόν ἐστιν, ὅτι παντὶ τρόπῳ ἀποικονόμητόν ἐστι. πρόληψις προλήψει οὐ μάχεται. ἀλλ' ὅταν ἔλθῃ ἐπὶ τὸ ἐφαρμόζειν, τί οὖν τὸ κακόν ἐστι τοῦτο καὶ βλαβερὸν καὶ φευκτόν. λέγει τὸ καίσαρος μὴ εἶναι φίλον. ἀπῆλθεν. ἀπέπεσε τῆς

κολοφῶνα .i. fine

Socrate

ἀρμονίας. βλέπεται. ζητεῖ τι μηδὲν πρὸς τὸ προκείμενον. ὅτι τυχὼν τοῦ φίλος εἶναι καίσαρος, οὐδὲν ἧττον τοῦ ζητουμένου ὃ τέτυχε. τί γάρ ἐστιν ὃ ζητεῖ πᾶς ἄνθρωπος; εὐσταθῆσαι. εὐδαιμονῆσαι. πάντα ὡς θέλει, ποιεῖν. μὴ κωλύεσθαι. μὴ ἀναγκάζεσθαι. ὅταν οὖν γένηται καίσαρος φίλος, πέπαυται κωλυόμενος. πέπαυται ἀναγκαζόμενος. εὐσταθεῖ. εὐροεῖ. τίνος πυθώμεθα, τίνα ἔχομεν ἀξιοπιστότερον, ἢ αὐτὸν τοῦτον τὸν γεγονότα φίλον. ἐλθὲ εἰς τὸ μέσον καὶ εἰπὲ ἡμῖν. πότε ἀταραχώτερον ἐκάθευδες, νῦν ἢ πρὶν γενέσθαι φίλος τοῦ καίσαρος. εὐθὺς ἀκούεις, ὅτι παῦσαι τοὺς θεούς σοι, ἐμπαίζων μου τῇ τύχῃ. οὐκ οἶδας οἷα πάσχω τάλας, οὐδ᾽ ὕπνος ἐπέρχεταί μοι, ἀλλ᾽ ἄλλος ἐλθὼν, λέγει. ὅτι ἤδη ἐγρήγορεν. ἤδη πρόεισιν. εἶτα ταραχαί. εἶτα φροντίδες. ἄγε. ἐδείπνεις δὲ πότε εὐαρεστότερον, νῦν, ἢ πρότερον. ἄκουσον αὐτοῦ, καὶ περὶ τούτων τί λέγει. ὅτι ἂν μὲν μὴ κληθῇ ὀδυνᾶται. ἂν δὲ κληθῇ, ὡς δοῦλος παρὰ κυρίῳ δειπνεῖ, μεταξὺ προσέχων μή τι μωρὸν εἴπῃ ἢ ποιήσῃ. καὶ τί δοκεῖς, φοβεῖται μὴ μαστιγωθῇ ὡς δοῦλος. πόθεν αὐτῷ οὕτω καλῶς. ἀλλ᾽ ὡς πρέπει τηλικοῦτον ἄνδρα καίσαρος φίλον, μὴ ἀπολέσῃ τὸν τράχηλον. ἐλούου δὲ πότ᾽ ἀταραχώτερον. ἐγυμνάζου δὲ πότε σχολαιότερον. τὸ σύνολον, ποῖον μᾶλλον ἤθελες βίον βιοῦν, τὸν νῦν, ἢ τὸν τότε. ὀμόσαι δύναμαι,



ὅτι οὐδεὶς οὕτως ἐστὶν ἀναίσθητος, ἢ ἀναληθὴς μὴ ἀποδύρεσθαι τὰς αὐτοῦ συμφορὰς, ὅσῳ ἂν ᾖ φίλτερος. ὅταν οὖν μήτε οἱ βασιλεῖς λεγόμενοι ζῶσιν ὡς θέλουσι, μήθ᾽ οἱ φίλοι τῶν βασιλέων, τίνες ἔτι εἰσὶν ἐλεύθεροι. ζήτει καὶ εὑρήσεις. ἔχεις γὰρ ἀφορμὰς παρὰ τῆς φύσεως πρὸς εὕρεσιν τῆς ἀληθείας. εἰ δ᾽ αὐτὸς οὐχ οἷός τε εἶ κατὰ ταύτας ψιλὰς πορευόμενος εὑρεῖν τὸ ἑξῆς, ἄκουσον παρὰ τῶν ἐζητηκότων. τί λέγουσιν. ἀγαθόν σοι δοκεῖ ἡ ἐλευθερία; τὸ μέγιστον. δύναται οὖν τις τοῦ μεγίστου ἀγαθοῦ τυγχάνων, κακοδαιμονεῖν, ἢ κακῶς πράσσειν; οὔ. ὅσους οὖν ἂν ἴδῃς κακοδαιμονοῦντας, δυσροοῦντας, πενθοῦντας, ἀποφαίνου θαρρῶν μὴ εἶναι ἐλευθέρους. ἀποφαίνομαι. οὐκοῦν ἀπὸ μὲν ὠνῆς καὶ πράσεως καὶ τῆς τοιαύτης ἐν κτήσει καταστάσεως, ἤδη ἀποκεχωρήκαμεν. εἰ γὰρ ὀρθῶς ὡμολόγησας ταῦτα, ἄν τε μέγας βασιλεὺς κακοδαιμονῇ, οὐκ ἂν ἐλεύθερος. ἄν τε μικρὸς, ἄν θ᾽ ὑπατικὸς, ἄν τε θυσύπατος. ἔστω. ἔτι οὖν ἀπόκριναί μοι κἀκεῖνο. δοκεῖ σοι μέγα τι εἶναι καὶ γενναῖον ἡ ἐλευθερία καὶ ἀξιόλογον; πῶς γὰρ οὔ. ἔστιν οὖν τυγχάνοντά τινος οὕτω μεγάλου καὶ ἀξιολόγου καὶ γενναίου, ταπεινὸν εἶναι; οὐκ ἔστιν. ὅταν οὖν ἴδῃς τινὰ ὑποπεπτωκότα ἑτέρῳ, ἢ κολακεύοντα παρὰ τὸ φαινόμενον αὐτῷ, λέγε καὶ τοῦτον θαρρῶν μὴ εἶναι ἐλεύθερον. καὶ μὴ μόνον ἂν

IIII

κατὰ ταύτας ψιλάς

./. ἀ. διούσπατος

403
3 Cc

δειπναρίου ἕνεκα αὐτὸ ποιῇ, ἀλλὰ κἂν ἐπαρχίας ἕνεκα, κἂν ὑπατείας. ἀλλ' ἐκείνους μὲν μικροδούλους λέγε, τοὺς μικρῶν τινων ἕνεκα ταῦτα ποιοῦντας. τούτους δ' ὡς εἰσὶν ἄξιοι, μεγαλοδούλους. ἔστω καὶ ταῦτα. δοκεῖ δέ σοι ἡ ἐλευθερία αὐτεξούσιόν τι καὶ αὐτόνομον; πῶς γὰρ οὔ. ὅντινα οὖν ἐπ' ἄλλῳ κωλῦσαι ἔστι καὶ ἀναγκάσαι, θαρρῶν λέγε μὴ εἶναι ἐλεύθερον. καὶ μή μοι πάππους αὐτοῦ καὶ προπάππους βλέπε, καὶ ὠνὴν ζήτει καὶ πρᾶσιν. ἀλλ' ἂν ἀκούσῃς λέγοντος ἔσωθεν καὶ ἐκ πάθους κύριε, κἂν δώδεκα ῥάβδοι προάγωσι, λέγε δοῦλον. κἂν ἀκούσῃς λέγοντος, τάλας ἐγώ, οἷα πάσχω, λέγε δοῦλον. ἂν ἁπλῶς ἀποκλαιόμενον ἴδῃς, μεμφόμενον, δυσροοῦντα, λέγε δοῦλον περιπόρφυρον ἔχοντα. ἂν οὖν μηδὲν τούτων μὴ ποιῇ, μήπω εἴπῃς ἐλεύθερον. ἀλλὰ τὰ δόγματα αὐτοῦ κατάμαθε, μή τι ἀναγκαστά; μή τι κωλυτικά; μή τι δυσροητικά; κἂν εὕρῃς τοιοῦτον, λέγε δοῦλον ἀνοχὰς ἔχοντα ἐν σατορναλίοις. λέγε ὅτι ὁ κύριος αὐτοῦ ἀποδημεῖ. εἶθ' ἥξει καὶ γνώσῃ, οἷα πάσχει. τίς ἥξει. πᾶς ὃς ἂν ἐξουσίαν ἔχῃ τῶν ὑπ' αὐτοῦ τινος θελομένων, πρὸς τὸ περιποιῆσαι ταῦτα, ἢ ἀφελέσθαι. οὕτως οὖν πολλοὺς κυρίους ἔχομεν *οὕτω. τὰ γὰρ πράγματα προτέρους τούτων κυρίους ἔχομεν. ἐκεῖνα δὲ πολλά ἐστι. διὰ ταῦτα ἀνάγκη καὶ τοὺς τούτων τινὸς ἔχοντας ἐξουσίαν

ἀνοχάς
κύριος



404
4 Cc

κυρίους εἶναι. ἐπεί τοι οὐδεὶς αὐτὸν τὸν καίσαρα φοβεῖται. ἀλλὰ τὸν θάνατον, φυγήν, ἀφαίρεσιν τῶν ὄντων, φυλακήν, ἀτιμίαν. οὐδὲ φιλεῖ τις τὸν καίσαρα, ἂν μή τι ᾖ πολλοῦ ἄξιος. ἀλλὰ πλοῦτον φιλοῦμεν, δημαρχίαν, στρατηγίαν, ὑπατείαν. ὅταν ταῦτα φιλῶμεν, καὶ μισῶμεν, καὶ φοβώμεθα, ἀνάγκη τοὺς ἐξουσίαν αὐτῶν ἔχοντας κυρίους ἡμῶν εἶναι. διὰ τοῦτο καὶ ὡς θεοὺς αὐτοὺς προσκυνοῦμεν. ἐννοοῦμεν γὰρ ὅτι τὸ ἔχον ἐξουσίαν τῆς μεγίστης ὠφελείας, θεῖόν ἐστιν. εἶθ' ὑποτάσσομεν κακῶς. οὗτος δ' ἔχει τῆς μεγίστης ὠφελείας ἐξουσίαν. θεῖόν ἐστιν. εἰ γὰρ ὑποτάσσομεν κακῶς, τὸ οὗτος δ' ἔχει τῆς μεγίστης ὠφελείας ἐξουσίαν, ἀνάγκη καὶ τὸ γενόμενον ἐξ αὐτῶν ἐπενεχθῆναι κακῶς. τί οὖν ἐστι τὸ ποιοῦν ἀκώλυτον τὸν ἄνθρωπον, καὶ αὐτεξούσιον. πλοῦτος γὰρ οὐ ποιεῖ, οὐδ' ὑπατεία, οὐδ' ἐπαρχία, οὐδὲ βασιλεία. ἀλλὰ δεῖ τι ἄλλο εὑρεθῆναι. τί οὖν ἐστι τὸ ἐν τῷ γράφειν ἀκώλυτον ποιοῦν καὶ ἀπαραπόδιστον, ἡ ἐπιστήμη τοῦ γράφειν. τί δ' ἐν τῷ κιθαρίζειν, ἡ ἐπιστήμη τοῦ κιθαρίζειν. οὐκοῦν καὶ ἐν τῷ βιοῦν, ἡ ἐπιστήμη τοῦ βιοῦν. ὡς μὲν οὖν ἁπλῶς ἀκήκοας, σκέψαι αὐτὸ καὶ ἐκ τῶν ἐπὶ μέρους. τὸν ἐφιέμενόν τινος τῶν ἐπ' ἄλλοις ὄντων ἐνδέχεται ἀκώλυτον εἶναι; οὔ. ἐνδέχεται ἀπαραπόδιστον; οὔ. οὐκοῦν οὐδ' ἐλεύθερον. ὅρα οὖν πότερον οὐδὲν ἔχομεν, ὃ ἐφ' ἡμῖν μόνοις ἐστίν, ἢ πάντα. ἢ τὰ

μὲν ἐφ' ἡμῖν ἐστι, τὰ δ' ἐπ' ἄλλοις. πῶς λέγεις; τὸ σῶμα ὅταν θέλῃς ὁλόκληρον εἶναι, ἐπὶ σοί ἐστιν, ἢ οὔ. οὐκ ἐπ' ἐμοί. ὅταν δ' ὑγιαίνειν, οὐδὲ τοῦτο. ὅταν δὲ καλὸν εἶναι, οὐδὲ τοῦτο. ζῆν δὲ ἢ ἀποθανεῖν, οὐδὲ τοῦτο. οὐκοῦν τὸ μὲν σῶμα ἀλλότριον, ὑπεύθυνον παντὸς τοῦ ἰσχυροτέρου. ἔστω. ἀγρὸν δ' ἐπὶ σοί ἐστιν ἔχειν ὅταν θέλῃς, καὶ ἐφ' ὅσον θέλεις; καὶ οἷον θέλεις; οὔ. τὰ δὲ δουλάρια; οὔ. τὰ δ' ἱμάτια; οὔ. τὸ δὲ οἰκίδιον; οὔ. τοὺς δ' ἵππους, τούτων μὲν οὐδέν. ἂν δὲ τὰ τέκνα σου ζῆν θέλῃς ἐξάπαντος, ἢ τὴν γυναῖκα, ἢ τὸν ἀδελφόν, ἢ τοὺς φίλους, οὐδὲ ταῦτα. πότερον οὖν, οὐδὲν ἔχεις αὐτεξούσιον, ὃ ἐπὶ μόνῳ ἐστί σοι καὶ ἀναφαίρετον; ὅρα οὖν οὕτω καὶ σκέψαι αὐτό. μή τις δύναταί σε ποιῆσαι συγκαταθέσθαι τῷ ψεύδει; οὐδείς. οὐκοῦν ἐν μὲν τῷ συγκαταθετικῷ τόπῳ, ἀκώλυτος εἶναι καὶ ἀνεμπόδιστος. ἔστω. ἄγε. ὁρμῆσαι δέ σε ἐφ' ὃ μὴ θέλῃς, τίς δύναται ἀναγκάσαι. δύναται. ὅταν γάρ μοι θάνατον ἢ δεσμὰ ἀπειλῇ, ἀναγκάζει μ' ὁρμῆσαι. ἂν οὖν καταφρονῇς τοῦ ἀποθανεῖν καὶ τοῦ δεδέσθαι, ἔτι αὐτοῦ ἐπιστρέφῃ; οὔ. σὸν οὖν ἐστιν ἔργον τὸ καταφρονεῖν θανάτου, ἢ οὐ σόν, ἐμόν. σὸν ἄρα ἐστὶ καὶ τὸ ὁρμῆσαι. ἢ οὔ. ἔστω τὸ ἐμόν. τὸ δ' ἀφορμῆσαί τινος. σὸν καὶ τοῦτο. τί οὖν ἂν ἐμοῦ ὁρμήσαντος περιπατῆσαι, ἐκεῖνός με κωλύσῃ. τί σου κωλύει, μή τι τὴν συγκατάθεσιν; οὔ. ἀλλὰ τὸ σωμάτιον; ναί. ὡς λίθον. ἔστω. ἀλλ' οὐκέτι ἐγὼ

406 6a

ἀφορμῆσαι

ἐξάπαντος



περιπατῶ. τίς δέ σοι εἶπε τὸ περιπατῆσαι σὸν ἔργον ἐστὶν ἀκώλυτον. ἐγὼ γὰρ ἐκεῖνο ἔλεγον ἀκώλυτον μόνον, τὸ ὁρμῆσαι. ὅπου δὲ σώματος χρεία, καὶ τῆς ἐκ τούτου συνεργείας, πάλαι ἀκήκοας, ὅτι οὐδέν ἐστι σόν. ἔστω καὶ ταῦτα. ὀρέγεσθαι δέ σε οὗ μὴ θέλεις, τίς ἀναγκάσαι δύναται. οὐδείς. προθέσθαι δ' ἢ ἀποβαλέσθαι τίς, ἢ ἁπλῶς χρῆσθαι ταῖς προσπιπτούσαις φαντασίαις. οὐδὲ τοῦτο. ἀλλὰ ὀρεγόμενόν με κωλύσει τυχεῖν, οὗ ὀρέγομαι. ἂν τῶν σῶν τινος ὀρέγῃ καὶ τῶν ἀκωλύτων, πῶς σε κωλύσει. οὐδαμῶς. τίς οὖν σοι λέγει, ὅτι ὁ τῶν ἀλλοτρίων ὀρεγόμενος ἀκώλυτός ἐστιν. ὑγείας οὖν μὴ ὀρέγωμαι. μηδαμῶς. μὴ δ' ἄλλου ἀλλοτρίου μηδενός. ὃ γὰρ οὐκ ἔστιν ἐπὶ σοὶ παρασκευάσαι, ἢ τηρῆσαι ὅτε θέλεις, τοῦτο ἀλλότριόν ἐστι. μακρὰν ἀπ' αὐτοῦ οὐ μόνον τὰς χεῖρας, ἀλλὰ πρότερον τὴν ὄρεξιν. εἰ δὲ μή, παρέδωκας σαυτὸν δοῦλον, ὑπέθηκας τὸν τράχηλον, ἂν θαυμάσῃς τῶν μὴ σῶν. ᾧ τινι ἂν τῶν ὑπευθύνων καὶ θνητῶν προσπαθῇς. ἡ χεὶρ οὐκ ἔστιν ἐμή, μέρος ἐστὶ σόν, φύσει δὲ πηλός, κωλυτόν, ἀναγκαστόν, δοῦλον παντὸς τοῦ ἰσχυροτέρου. καὶ τί σοι λέγω χεῖρα. ὅλον τὸ σῶμα οὕτως ἔχειν σε δεῖ, ὡς ὀνάριον ἐπισεσαγμένον, ἐφ' ὅσον ἂν οἷόν τε ᾖ, ἐφ' ὅσον ἂν διδῶται. ἂν δ' ἀγγαρεία ᾖ, καὶ στρατιώτης ἐπιλάβηται, ἄφες. μὴ ἀντίτεινε, μηδὲ γόγγυζε. εἰ δὲ μή, πληγὰς λαβών, οὐδὲν ἧττον ἀπολεῖς καὶ τὸ ὀνά-

407 7 Cs

ἀγγαρεία

ἐπισεσαγμένον

εἶον. ὅταν δὲ πρὸς τὸ σῶμα οὕτως ἔχειν σε δέῃ, ὅρα τί ἀπολείπεται περὶ τὰ ἄλλα, ὅσα τοῦ σώματος ἕνεκα παρασκευάζεται. ὅταν ἐκεῖνο ὀνάριον ᾖ, τὰ ἄλλα γίνεται χαλινάρια τοῦ ὀναρίου, σαγμάτια, ὑποδημάτια, κριθαί, χόρτος. ἄφες κἀκεῖνα, ἀπόλυε θᾶττον καὶ εὐκολώτερον, ἢ τὸ ὀνάριον. καὶ ταύτην τὴν παρασκευὴν παρασκευασάμενος, καὶ τὴν ἄσκησιν ἀσκήσας, τὰ ἀλλότρια ἀπὸ τῶν ἰδίων διακρίνειν, τὰ κωλυτὰ ἀπὸ τῶν ἀκωλύτων. ταῦτα πρὸς ἑαυτὸν ἡγεῖσθαι. ἐκεῖνα μὴ πρὸς ἑαυτόν. ἐνταῦθα ἐπιστρόφως ἔχειν ὀρέξεως, ἐνταῦθα τὴν ἔκκλισιν. μήτι ἔτι φοβῇ τινά; οὐδένα. περὶ τίνος γὰρ φοβήσῃ. περὶ τῶν σεαυτοῦ. ὅπου ἐστὶν ἡ οὐσία τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ; καὶ τίς τούτων ἐξουσίαν ἔχει. τίς ἀφελέσθαι αὐτὰ δύναται. τίς ἐμποδίσαι. οὐ μᾶλλον ἢ τὸν θεόν. ἀλλ᾽ ὑπὲρ τοῦ σώματος καὶ τῆς κτήσεως; ὑπὲρ τῶν ἀλλοτρίων. ὑπὲρ τῶν οὐδὲν πρὸς σέ. καὶ τί ἄλλο ἐξ ἀρχῆς ἐμελέτας, ἢ διακρίνειν τὰ σὰ καὶ οὐ σά. τὰ ἐπὶ σοὶ καὶ οὐκ ἐπὶ σοί. τὰ κωλυτὰ καὶ ἀκώλυτα. τίνος δὲ ἕνεκα προσῆλθες τοῖς φιλοσόφοις· ἵνα μηδὲν ἧττον ἀτυχῇς καὶ δυστυχῇς; οὐκοῦν ἄφοβος μὲν οὕτως ἔσῃ καὶ ἀτάραχος. λύπη δὲ τί πρὸς σέ. ὧν γὰρ προσδοκωμένων φόβος γίνεται, καὶ λύπη παρόντων. ἐπιθυμήσεις δὲ τίνος ἔτι. τῶν μὲν γὰρ προαιρετι-

408
8 C

ἐμελέτας.



κῶν ἅτε καλὸν ὄντων καὶ παρόντων, σύμμετρον ἔχεις καὶ καθισταμένην τὴν ὄρεξιν. τῶν δ᾽ ἀπροαιρέτων, οὐδενὸς ὀρέγῃ. ἵνα καὶ τόπον ἔχῃ τὸ ἄλογον ἐκεῖνο καὶ ὠστικόν, καὶ παρὰ τὰ μέτρα ἠπειγμένον. ὅταν οὖν πρὸς τὰ πράγματα οὕτως ἔχῃς, τίς ἔτι ἄνθρωπος δύναται φοβερὸς εἶναι. τί γὰρ ἔχει ἄνθρωπος ἀνθρώπῳ φοβερὸν ἢ ὀφθείς, ἢ λαλήσας, ἢ ὅλως συναναστραφείς. οὐ μᾶλλον ἢ ἵππος ἵππῳ, ἢ κύων κυνί, ἢ μέλισσα μελίσσῃ. ἀλλὰ τὰ πράγματα ἑκάστου φοβερά ἐστι. ταῦτα δ᾽ ὅταν περιποιεῖν τις δύνηταί τινι, ἢ ἀφελέσθαι, τότε καὶ αὐτὸς φοβερὸς γίνεται. πῶς οὖν ἀκρόπολις καταλύεται. οὐ σιδήρῳ, οὐδὲ πυρί, ἀλλὰ δόγμασιν. ἂν γὰρ τὴν οὖσαν ἐν τῇ πόλει καθέλωμεν, μήτι καὶ τὴν τοῦ πυρετοῦ, μήτι καὶ τὴν τῶν καλῶν γυναικείων; μήτι ἁπλῶς τὴν ἐν ἡμῖν ἀκρόπολιν, καὶ τοὺς ἐν ἡμῖν τυράννους ἀποβεβλήκαμεν; οὓς ἐφ᾽ ἑκάστοις καθημέραν ἔχομεν, ποτὲ μὲν τοὺς αὐτούς, ποτὲ δ᾽ ἄλλους; ἀλλ᾽ ἔνθεν ἄρξασθαι δεῖ, καὶ ἔνθεν καθελεῖν τὴν ἀκρόπολιν. ἐκβάλλειν τοὺς τυράννους. τὸ σωμάτιον ἀφεῖναι, τὰ μέρη αὐτοῦ, τὰς δυνάμεις, τὴν κτῆσιν, τὴν φήμην, ἀρχάς, τιμάς, τέκνα, ἀδελφούς, φίλους. ταῦτα πάντα ἡγήσασθαι ἀλλότρια. κἂν ἔνθεν ἐκβληθῶσιν οἱ τύραννοι, τί ἔτι ἀποτειχίζω τὴν ἀκρόπολιν, ἐμοῦ γε ἕνεκα.

* καλῶν

ὠστικόν, ἠπειγμένον

καθ᾽ ἡμέραν

ἐξῶσαι γὰρ τί μοι ποιεῖ. τί ἔτι ἐκβάλλω τοὺς δορυ-
φόρους. ποῦ γὰρ αὐτῶν αἰσθάνομαι. ἐπ' ἄλλους ἔ-
χουσι τὰς ῥάβδους καὶ τοὺς κοντοὺς καὶ τὰς μα-
χαίρας. ἐγὼ δὲ πώποτ' οὐ θέλων ἐκωλύθην, οὔτ'
ἠναγκάσθην μὴ θέλων. καὶ πῶς τοῦτο δυνατόν.
400 10 Cc προσκατατέταχά μου τὴν ὁρμὴν τῷ θεῷ. θέλει
μ' ἐκεῖνος πυρέσσειν; κἀγὼ θέλω. θέλει ὁρμᾶν ἐπί
τι; κἀγὼ θέλω. θέλει ὀρέγεσθαι; κἀγὼ θέλω. θέ-
λει με τυχεῖν τινός; κἀγὼ βούλομαι. οὐ θέλει; οὐ βού-
λομαι. ἀποθανεῖν οὖν θέλω. τίς ἔτι με κωλῦσαι
δύναται παρὰ τὸ ἐμοὶ φαινόμενον, ἢ ἀναγκά-
Δ σαι. οὐ μᾶλλον ἢ τὸν δία. οὕτω ποιοῦσι καὶ τῶν
ὁδοιπόρων οἱ ἀσφαλέστεροι. ἀκήκοεν ὅτι λῃστεύε-
ται ἡ ὁδός, μόνος οὐ τολμᾷ καθεῖναι. ἀλλὰ περιέ-
μεινε συνοδίαν ἢ πρεσβευτοῦ, ἢ ταμίου, ἢ ἀνθυπά-
του, καὶ προσκατατάξας ἑαυτὸν, παρέρχεται ἀσ-
φαλῶς. οὕτω καὶ ἐν τῷ κόσμῳ ποιεῖ ὁ φρόνιμος.
λῄστηρια πολλὰ λῃστήρια, τύραννοι, χειμῶνες, ἀπορίαι, ἀ-
ποβολαὶ τῶν φιλτάτων. ποῦ τις καταφύγῃ. πῶς
ἀλῄστευτος ἀλήστευτος παρέλθῃ. ποίαν συνοδίαν περιμείνας
ἀσφαλῶς διέλθῃ. τίνι προσκατατάξας ἑαυτὸν. τῷ
δεῖνι πλουσίῳ, τῷ ὑπατικῷ. καὶ τί μοι ὄφελος. αὐτὸς
ἐκδύεται. οἰμώζει. πενθεῖ. τί δ' ἂν ὁ συνοδοιπόρος
αὐτὸς ἐπ' ἐμὲ στραφεὶς, λῃστής μου γένηται. τί ποιή-
Κ σω. φίλος ἔσομαι καίσαρος. ἐκείνου με ὄντα ἑταῖ-
ρον οὐδεὶς ἀδικήσει. πρῶτον μὲν ἵνα γένωμαι



λαμπρὸς, ἃ με δεῖ τλῆναι καὶ παθεῖν. ποσάκις καὶ 411 11 Cc
ὑπὸ πόσων λῃστευθῆναι. εἶτα ἐὰν γένωμαι, καὶ οὗ-
τος θνητός ἐστιν. ἂν δ' αὐτὸς ἔκ τινος περιστάσεως
ἐχθρός μου γένηται, ἀναχωρῆσαι ποῦ ποτε κρεῖσ-
σον. εἰς ἐρημίαν. ἄγε. ἐκεῖ πυρετὸς οὐκ ἔρχεται;
τί οὖν γένηται. οὐκ ἔστιν εὑρεῖν ἀσφαλῆ σύνοδον,
πιστὸν, ἰσχυρὸν, ἀνεπιβούλευτον; οὕτως ἐφίστησι καὶ
ἐννοεῖ, ὅτι ἐὰν τῷ θεῷ προσκατατάξῃ ἑαυτὸν, διε-
λεύσεται ἀσφαλῶς. πῶς λέγεις προσκατατάξαι,
ἵν' ὃ ἂν ἐκεῖνος θέλῃ, καὶ αὐτὸς θέλῃ. καὶ ὃ ἂν ἐ-
κεῖνος μὴ θέλῃ, τοῦτο μηδ' αὐτὸς θέλῃ. πῶς οὖν τοῦ-
το γένηται. πῶς γὰρ ἄλλως, ἢ ἐπισκεψαμένῳ τὰς
ὁρμὰς τοῦ θεοῦ καὶ τὴν διοίκησιν. τί μοι δέδωκεν,
ἐμὸν καὶ αὐτεξούσιον. τί αὑτῷ κατέλιπε, τὰ προ-
αιρετικά μοι δέδωκεν. ἐπ' ἐμοὶ πεποίηκεν ἀνεμ-
πόδιστα, ἀκώλυτα. τὸ σῶμα τὸ πήλινον, πῶς ἐδύ-
νατο ἀκώλυτον ποιῆσαι. ὑπέταξεν οὖν τῇ τῶν ὅ-
λων περιόδῳ τὴν κτῆσιν, τὰ σκεύη, τὴν οἰκίαν, τὰ
τέκνα, τὴν γυναῖκα. τί οὖν θεομαχῶ. τί θέλω τὰ
μὴ θελητά. τὰ μὴ δεδομένα μοι δι' ἅπαντος ἔχειν.
ἀλλὰ πῶς. ὡς δέδοται, καὶ ἐφ' ὅσον δύναται. ἀλ-
λ' ὁ δοὺς ἀφαιρεῖται. τί οὖν ἀντιτείνω. οὐ λέγω
ὅτι ἠλίθιος ἔσομαι τὸν ἰσχυρότερον βιαζόμενος, ἀλ-
412 12 Cc λ' ἔτι πρότερον ἄδικος. πόθεν γὰρ ἔχων αὐτὰ ἦλθον.
ὁ πατήρ μου αὐτὰ ἔδωκεν; ἐκείνῳ δὲ τίς. τὸν ἥλιον
δὲ τίς πεποίηκε, τοὺς καρποὺς δὲ τίς. τὰς δ' ὥρας τίς.

τὴν δὲ πρὸς ἀλλήλους συμπλοκὴν καὶ κοινω-
νίαν τίς. εἶτα σύμπαντα εἰληφὼς παρ' ἄλλου καὶ
αὐτὸς σεαυτὸν, ἀγανακτεῖς καὶ μέμφῃ τὸν δόντα,
ἄν σού τι ἀφέληται; τίς ὢν, καὶ ἐπὶ τί ἐληλυθώς.
οὐχὶ ἐκεῖνός σε εἰσήγαγεν; οὐχὶ τὸ φῶς ἐκεῖνός σοι
ἔδειξεν; οὐ συνεργοὺς ἔδωκεν; οὐκ αἰσθήσεις; οὐ
λόγον; ὡς τίνα δὲ εἰσήγαγεν. οὐχ ὡς θνητόν; οὐχ ὡς
μετὰ ὀλίγου σαρκιδίου ζήσοντα ἐπὶ τῆς γῆς, καὶ
θελησόμενον τὴν διοίκησιν αὐτοῦ, καὶ συμπομ-
πεύσοντα αὐτῷ, καὶ συνεορτάσοντα πρὸς ὀλίγον;
οὐ θέλεις οὖν ἕως δέδοταί σοι, θεασάμενος τὴν
πομπὴν καὶ τὴν πανήγυριν, εἶτα ὅταν σε ἐξάγῃ,
πορεύεσθαι, προσκυνήσας καὶ εὐχαριστήσας ὑπὲρ
ὧν ἤκουσας καὶ εἶδες; οὔ. ἀλλ' ἔτι ἑορτάζειν ἤθε-
λον. καὶ γὰρ οἱ μύσοι μυεῖσθαι, τάχα δὲ καὶ οἱ ἐν
ὀλυμπίᾳ ἄλλους ἀθλητὰς βλέπειν. ἀλλ' ἡ πα-
νήγυρις πέρας ἔχει. ἔξελθε. ἀπαλλάγηθι ὡς εὐχά-
ριστος. ὡς αἰδήμων. δὸς ἄλλοις τόπον. δεῖ γενέσθαι
καὶ ἄλλους, καθάπερ καὶ σὺ ἐγένου. καὶ γενομέ-
νους ἔχειν χώραν. καὶ οἰκήσεις. καὶ τὰ ἐπιτήδεια.
ἂν δ' οἱ πρῶτοι μὴ ὑπεξάγωσι, τί ὑπολείπεται. τί
ἄπληστος εἶ. τί ἀντίκανος. τί στενοχωρεῖς τὸν κόσμον.
ναί. ἀλλὰ τὰ τεκνία μετ' ἐμαυτοῦ εἶναι θέλω καὶ
τὴν γυναῖκα. σὰ γάρ ἐστιν; οὐχὶ τοῦ δόντος; οὐχὶ
καὶ τοῦ σε πεποιηκότος; εἶτα οὐκ ἐκστήσῃ τῶν ἀλ-
λοτρίων; οὐ παραχωρήσεις τῷ κρείσσονι; τί οὖν

μ' εἰσῆγεν

θεασόμενον

Nota Nota

κ

κ

κ

με

ἀνίκανος

μύσοι



μ' εἰσῆγεν ἐπὶ τούτοις. κἂν μὴ ποιεῖ σοι, ἔξελθε. οὐκ
ἔχει χρείαν θεατοῦ μεμψιμοίρου. τῶν συνεορταζόν-
των δεῖται. τῶν συγχορευόντων, ἵν' ἐπικροτῶσι
μᾶλλον. ἐπιθειάζωσιν. ὑμνῶσι δὲ τὴν πανήγυριν.
τοὺς ταλαιπώρους δὲ καὶ δειλοὺς, οὐκ ἀηδῶς ὄψε-
ται ἀπολελειμμένους τῆς πανηγύρεως. οὐδὲ γὰρ
παρόντες ὡς ἐν ἑορτῇ διῆγον, οὐδ' ἐξεπλήρουν τὴν
χώραν τὴν πρέπουσαν. ἀλλ' ὠδυνῶντο, ἐμέμφον-
το τὸν δαίμονα, τὴν τύχην, τοὺς συνόντας. ἀναίσθητοι
καὶ ὧν ἔτυχον, καὶ τῶν ἑαυτῶν δυνάμεων, ἃς εἰ-
λήφασι πρὸς τὰ ἐναντία. μεγαλοψυχίας, γενναιό-
τητος, ἀνδρείας, αὐτῆς τῆς νῦν ζητουμένης ἐλευθε-
ρίας. ἐπὶ τί οὖν εἴληφα ταῦτα. χρησόμενος. μέχρι
τίνος. μέχρις ἂν ὁ χρήσας θέλῃ. ἂν οὖν ἀναγκαῖα
μοι ᾖ, μὴ πρόσπασχε αὐτοῖς, καὶ οὐκ ἔσται. σὺ αὐτὰ αὑ-
τῷ μὴ εἴπῃς ἀναγκαῖα, καὶ οὐκ ἔστι. ταύτην τὴν
μελέτην ἕωθεν εἰς ἑσπέραν μελετᾶν ἔδει. ἀπὸ τῶν
μικροτάτων, ἀπὸ τῶν δυσεπηρεαστοτάτων ἀρξάμενος.
ἀπὸ χύτρας, ἀπὸ ποτηρίου. εἶθ' οὕτως ἐπὶ χιτωνά-
ριον πρόσελθε, ἐπὶ κυνάριον, ἐπὶ ἱππάριον, ἐπὶ
ἀγρίδιον. ἔνθεν ἐπὶ σαυτὸν, τὸ σῶμα, τὰ μέρη τοῦ σώ-
ματος, τὰ τέκνα, τὴν γυναῖκα, τοὺς ἀδελφούς. πανταχοῦ
περιβλέψας ἀπόρριψον ἀπὸ σαυτοῦ. κάθα-
ρον τὰ δόγματα. μή τι προσήρτηταί σοι τῶν οὐ σῶν.
μή τι συμπέφυκε, μή τι ὀδυνήσῃ ἀποσπώμενον. καὶ
λέγε γυμναζόμενος καθημέραν ὡς ἐκεῖ, μὴ ὅτι φιλο

με

414

14 C

καθ' ἡμέραν

εὐεπηρεαστάτων

σοφοῖς, ἔξω φορτικὸν τὸ ὄνομα, ἀλλ' ὅτι καρπιστὴν
δίδωσι. τοῦτο γάρ ἐστιν ἡ ταῖς ἀληθείαις ἐλευθερία.
ταύτην ἠλευθερώθη Διογένης παρ' Ἀντισθένους. καὶ
οὐκέτι ἔφη καταδουλωθῆναι δύνασθαι ἐπ' οὐ-
δενός. διὰ τοῦτο πῶς ἑάλω, πῶς τοῖς πειραταῖς
ἐχρῆτο. μή τι κύριον εἶπέ τινα αὐτῶν; καὶ οὐ λέγω
τὸ ὄνομα, οὐ γὰρ τὴν φωνὴν φοβοῦμαι, ἀλλὰ τὸ
πάθος ἀφ' οὗ ἡ φωνὴ ἐκπέμπεται. ἢ ὡς αὐτοῖς ἐπιτιμᾷ
αὐτοῖς, ὅτι κακῶς ἔτρεφον τοὺς ἑαλωκότας. πῶς ἐ-
πράθη. μή τι κύριον ἐζήτει; ἀλλὰ δοῦλον. πῶς δὲ πρα-
θεὶς ἀνεστρέφετο πρὸς τὸν δεσπότην. εὐθὺς διελέ-
γετο πρὸς αὐτὸν, ὅτι οὕτως ἐστολίσθαι δεῖ αὐτόν. οὐχ
οὕτω κεκάρθαι. περὶ τῶν υἱῶν πῶς δεῖ αὐτοὺς διά-
γειν. καὶ τί θαυμαστόν. εἰ γὰρ παιδοτρίβην ἐώνητο ἐν
τοῖς παλαιστρικοῖς, ὑπηρέτῃ ἂν ἐχρῆτο αὐτῷ, ἢ κυρίῳ.
ἀδιάφορον, ὡσαύτως. εἰ δ' ἀρχιτέκτονα, καὶ οὕτως ἐφ'
ἑκάστης ὕλης, τὸν ἔμπειρον τοῦ ἀπείρου κρατεῖν πᾶ-
σα ἀνάγκη. ὅστις οὖν καθόλου τὴν περὶ βίον ἐπιστή-
μην κέκτηται, τί ἄλλο, ἢ τοῦτον εἶναι δεῖ τὸν δεσπό-
την. τίς γάρ ἐστιν ἐν νηὶ κύριος. ὁ κυβερνήτης. διὰ τί. ὅτι
ὁ ἀπειθῶν αὐτῷ, ζημιοῦται. ἀλλὰ δεῖραί με δύνα-
ται. μή τι οὖν ἀζημίως; οὕτω μὲν κἀγὼ ἐκεῖνον. ἀλλ'
ὅτι οὐκ ἀζημίως, διὰ τοῦτο οὐκ ἔξεστιν. οὐδενὶ δ' ἀ-
ζήμιόν ἐστι τὸ ποιεῖν τὰ ἄδικα. καὶ τίς ἡ ζημία τῷ
δήσαντι τὸν αὐτοῦ δοῦλον. ἣν δοκεῖς. τὸ δῆσαι τοῦ-
το, ὃ καὶ σὺ ὁμολογήσεις, ἂν θέλῃς σώζειν. ὅτι ἀν-

θρωπος οὐκ ἔστι θηρίον, ἀλλ' ἥμερον ζῷον. ἐπεὶ πότ'
ἀμπελος πράσσει κακῶς. ὅταν παρὰ τὴν ἑαυτῆς
φύσιν πράσσῃ. πότ' ἀλεκτρυών. ὡσαύτως. οὐκοῦν
καὶ ἄνθρωπος. τίς οὖν αὐτοῦ ἡ φύσις. δάκνειν καὶ
λακτίζειν, καὶ εἰς φυλακὴν βάλλειν, καὶ ἀποκεφα-
λίζειν; οὔ. ἀλλ' εὖ ποιεῖν, συνεργεῖν, ἐπεύχεσθαι. τό-
τ' οὖν κακῶς πράσσει, ἄν τε θέλῃς ἄν τε μή, ὅταν
ἀγνωμονῇ. ὡς τί. Σωκράτης οὐκ ἔπραξε κακῶς;
οὔ. ἀλλ' οἱ δικασταὶ καὶ οἱ κατήγοροι. οὐδ' ἐν Ῥώμῃ
Ἑλουΐδιος; οὔ. ἀλλ' ὁ ἀποκτείνας αὐτόν. πῶς λέ-
γεις. ὡς καὶ σὺ ἀλεκτρυόνα, οὐ λέγεις κακῶς πρᾶξαι
τὸν νικήσαντα καὶ κατακοπέντα, ἀλλὰ τὸν ἀπλήγα
ἡττηθέντα. οὐδὲ κύνα εὐδαιμονίζεις τὸν μήτε διώκον-
τα μήτε πονοῦντα, ἀλλ' ὅταν ἱδροῦντα ἴδῃς, ὅταν ὀ-
δυνώμενον, ὅταν ῥηγνύμενον ὑπὸ τοῦ δρόμου. τί παράδο-
ξον λέγομεν. εἰ λέγομεν παντὸς κακὸν εἶναι τὸ πα-
ρὰ τὴν ἐκείνου φύσιν, τοῦτο παράδοξόν ἐστι; σὺ αὐτὸ ἐ-
πὶ πάντων τῶν ἄλλων οὐ λέγεις; διὰ τί οὖν μόνου τοῦ
ἀνθρώπου ἄλλως φέρῃ. ἀλλ' ὅτι λέγομεν ἥμερον εἶναι
τὴν τοῦ ἀνθρώπου φύσιν καὶ φιλάλληλον καὶ πιστήν; τοῦτο παρά-
δοξον οὐκ ἔστιν; οὐδὲ τοῦτο. πῶς οὖν; ὅτι οὐ δαιρό-
μενος βλάπτεται, ἢ δεσμευόμενος, ἢ ἀποκεφα-
λιζόμενος. οὐχὶ οὕτως μὲν γενναίως πάσχει. καὶ προσ-
κερδαίνων, καὶ προσωφελούμενος ἀπέρχεται;
ἐκεῖνος δὲ βλαπτόμενός ἐστιν, ὁ τὰ οἰκτρότατα πά-
σχων καὶ αἴσχιστα. ὁ ἀντὶ ἀνθρώπου λύκος γινό-

μενος, ἢ ἔχις, ἢ σφήξ. ἄγε οὖν ἐπέλθωμεν τὰ ὡμολογημένα. ὁ ἀκώλυτος ἄνθρωπος ἐλεύθερος, ᾧ πρόχειρα τὰ πράγματα ὡς βούλεται. ὃν δ' ἔστιν ἢ κωλῦσαι, ἢ ἀναγκάσαι, ἢ ἐμποδίσαι, ἢ ἄκοντα εἴς τι ἐμβαλεῖν, δοῦλός ἐστι. τίς δ' ἀκώλυτος. ὁ μηδενὸς τῶν ἀλλοτρίων ἐφιέμενος. τίνα δ' ἀλλότρια. ἃ οὐκ ἔστιν ἐφ' ἡμῖν, οὔτ' ἔχειν, οὔτε μὴ ἔχειν, οὔτε ποιὰ ἔχειν, ἢ πῶς ἔχοντα. οὐκοῦν τὸ σῶμα ἀλλότριον, τὰ μέρη αὐτοῦ ἀλλότρια. ἄν τινι τούτων ὡς ἰδίῳ προσπαθῇς, δώσεις δίκας, ἃς ἄξιον τὸν τῶν ἀλλοτρίων ἐφιέμενον. αὕτη ἡ ὁδὸς ἐπ' ἐλευθερίαν ἄγει. αὕτη μόνη ἀπαλλαγὴ δουλείας. μόνη τὸ δυνηθῆναί ποτ' εἰπεῖν ἐξ ὅλης ψυχῆς, τὸ

„ ἄγου δέ μ' ὦ ζεῦ

„ καὶ σύ γ' ἡ πεπρωμένη, ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος. ἀλλὰ τί λέγεις φιλόσοφε. καλεῖ σε ὁ τύραννος ἐροῦντά τι ὧν οὐ πρέπει σοι. λέγεις, ἢ οὐ λέγεις. εἰπέ μοι. ἄφες με σκέψωμαι. νῦν σκέψῃ; ὅτε δ' ἐν τῇ σχολῇ ἦς, τί ἐσκέπτου. οὐκ ἐμελέτας τίνα ἐστὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ, καὶ τίνα οὐδέτερα; ἐσκεπτόμην. τίνα οὖν ἤρεσκεν ὑμῖν. τὰ δίκαια καὶ καλὰ ἀγαθὰ εἶναι, τὰ ἄδικα καὶ αἰσχρὰ, κακά. μή τι τὸ ζῆν ἀγαθόν; οὔ. μή τι τὸ ἀποθανεῖν κακόν; οὔ. μή τι φυλακή; οὔ. λόγος δ' ἀγεννὴς καὶ ἄπιστος, καὶ φίλου προδοσία, καὶ κολακεία τυράννου, τί ὑμῖν ἐφαίνετο. κακά. τί οὖν. οὐχὶ σκέπτῃ; οὐδ' ἔσκεψαι καὶ βεβούλευσαι; ποία

ἄνθρωπος

1 Dd 417

ἀκώλυτος qs?

ἀλλότρια quae?

ἐλευθερίαν

418

2 Dd



γὰρ σκέψις, εἰ καθήκει μοι δυναμένῳ τὰ μέγιστα ἀγαθὰ ἐμαυτῷ περιποιῆσαι. τὰ μέγιστα κακὰ μὴ περιποιῆσαι. καλὴ σκέψις καὶ ἀναγκαία, πολλῆς βουλῆς δεομένη. τί ἡμῖν ἐμπαίζεις ἄνθρωπε. οὐδέποτε τοιαύτη σκέψις γίνεται. οὐδ' εἰ τοῖς ἀληθείαις καλὰ μὲν ἐφαντάζου τὰ αἰσχρὰ, τὰ δ' ἄλλα οὐδέτερα, ἦλθες ἂν ἐπὶ ταύτην τὴν ἐπίστασιν. οὐδ' ἐγγύς. ἀλλ' αὐτόθεν διακρίνειν εἶχες ὥσπερ ὄψει τῇ διανοίᾳ. πότε γὰρ σκέπτῃ εἰ τὰ μέλανα λευκά ἐστιν, εἰ τὰ βαρέα κοῦφα. οὐχὶ δὲ τοῖς ἐναργῶς φαινομένοις παρακολουθεῖς. πῶς οὖν νῦν σκέπτεσθαι λέγεις τὰ οὐδέτερα τῶν κακῶν φευκτότερα. ἀλλ' οὐκ ἔχεις τὰ δόγματα ταῦτα. ἀλλὰ φαίνεταί σοι οὔτε ταῦτα οὐδέτερα, ἀλλὰ τὰ μέγιστα κακὰ, οὔτ' ἐκεῖνα. ἀλλ' οὐδὲν πρὸς ἡμᾶς. οὕτω γὰρ ἐξ ἀρχῆς εἴθισας σεαυτόν. ποῦ εἰμι. ἐν σχολῇ. καὶ ἀκούουσί μου τινές. λέγω μετὰ τῶν φιλοσόφων. ἀλλ' ἐξελήλυθα τῆς σχολῆς. ἆρον ἐκεῖνα τὰ τῶν σχολαστικῶν καὶ τῶν μωρῶν. οὕτως καταμαρτυρεῖται φίλος ὑπὸ φιλοσόφου. οὕτως παρασιτεῖ φιλόσοφος. οὕτως ἐπ' ἀργυρίῳ ἐκμισθοῖ ἑαυτόν. οὕτως ἐν συγκλήτῳ τις οὐ λέγει τὰ φαινόμενα. ἔνδοθεν τὰ δόγματα αὐτοῦ βοᾷ. οὐ ψυχρὸν καὶ ταλαίπωρον ὑποληψείδιον ἐκ λόγων εἰκαίων ὡς ἐκ τριχὸς ἠρτημένον. ἀλλ' ἰσχυρὸν καὶ χρηστικὸν, καὶ ὑπὸ τοῦ διὰ τῶν ἔργων γεγυμνάσθαι μεμυη-

ἐπίστασις

419

3 Dd

μένον. παραφύλαξον σεαυτόν. πῶς ἀκούεις. οὐ λέγω ὅτι τὸ παιδίον σου ἀπέθανεν. πόθεν σοι. ἀλλ' ὅτι σου τὸ ἔλαιον ἐξεχέθη. ὁ οἶνος ἐξεπόθη. ἵνα τις ἐπιστὰς διατεινομένῳ σοι, τοῦτ' αὐτὸ μόνον εἴπῃ. φιλόσοφε. ἄλλα λέγεις ἐν τῇ σχολῇ. τί ἡμᾶς ἐξαπατᾷς. τί σκώληξ ὤν, λέγεις ὅτι ἄνθρωπος εἶ. ἤθελον ἐπιστῆναί τινι αὐτῶν συνουσιάζοντι, ἵνα ἴδω πῶς τείνεται, καὶ ποίας φωνὰς ἀφίησιν. εἰ μέμνηται τοῦ ὀνόματος αὐτοῦ. τῶν λόγων, οὓς ἀκούει, ἢ λέγει, ἢ ἀναγινώσκει. καὶ τί ταῦτα πρὸς ἐλευθερίαν. οὐκ ἄλλα μὲν οὖν ἢ ταῦτ', ἄν τε θέλητε ὑμεῖς οἱ πλούσιοι, ἄν τε μή. καὶ τίς σοι μαρτυρεῖ ταῦτα. τί γὰρ ἄλλο, ἢ αὐτοὶ ὑμεῖς οἱ τὸν κύριον τὸν μέγαν ἔχοντες. καὶ πρὸς τὸ ἐκείνου νεῦμα καὶ κίνημα ζῶντες. κἂν τινα ὑμῶν ἴδῃ μόνον συνεστραμμένῳ βλέμματι, ἀποψυχόμενοι, τὰς γραίας θεραπεύοντες, καὶ τοὺς γέροντας. καὶ λέγοντες ὅτι οὐ δύναμαι τοῦτο ποιῆσαι, οὐκ ἔξεστί μοι. διατί οὐκ ἔξεστί σοι. οὐκ ἄρτι ἐμάχου μοι λέγων ἐλεύθερος εἶναι; ἀλλὰ Ἄπρυλλά με κεκώλυκε. λέγε οὖν τὰς ἀληθείας Α δοῦλε, καὶ μὴ δραπέτευε σου τοὺς κυρίους, μηδ' ἀπαρνοῦ, μηδὲ τόλμα καρπιστὴν διδόναι, τοσούτους ἔχων τῆς δουλείας ἐλέγχους. καίτοι τὸν μὲν ὑπ' ἔρωτος ἀναγκαζόμενόν τι ποιεῖν παρὰ τὸ φαινόμενον, καὶ ἅμα μὲν ὁρῶντα τὸ ἄμεινον, ἅμα δ' οὐκ ἐξευτονοῦντα ἀκολουθῆσαι αὐτῷ, ἔτι μᾶλλον ἄν

ἄλλα σκώληξ

420 | 4 Dd

Aprylla

καρπιστὴν

δραπέτευε σου τοὺς κυρίους



τις συγγνώμης ἄξιον ὑπολάβοι, ἅτε ὑπό τινος βιαίου καὶ τρόπον τινὰ θείου κατεσχημένον. σοῦ δὲ τίς ἀνάσχοιτο τῶν γραῶν ἐρῶντος καὶ τῶν γερόντων. καὶ ἐκείνας ἀπομύσσοντος, καὶ ἀποπλύνοντος, καὶ δωροδοκοῦντος. καὶ ἅμα μὲν νοσούσας θεραπεύοντος ὡς δούλου, ἅμα δ' ἀποθανεῖν εὐχομένου. καὶ τοὺς ἰατροὺς διακρίνοντος, εἰ ἤδη θανασίμως ἔχουσιν. ἢ πάλιν ὅταν ὑπὲρ τῶν μεγάλων τούτων καὶ σεμνῶν ἀρχῶν καὶ τιμῶν, τὰς χεῖρας τῶν ἀλλοτρίων δούλων καταφιλῇς, ἵνα μηδ' ἐλευθέρων δοῦλος ᾖς. εἶτά μοι σεμνὸς περιπατεῖς. στρατηγῶν. ὑπατεύων. οὐκ οἶδα πῶς ἐστρατήγησας. πόθεν τὴν ὑπατείαν ἔλαβες. τίς σοι αὐτὴν ἔδωκεν. ἐγὼ μὲν οὐδὲ ζῆν ἤθελον, εἰ διὰ Φηλικίωνα ἔδει ζῆσαι, τῆς ὀφρύος αὐτοῦ καὶ τοῦ δουλικοῦ φρυάγματος ἀνασχόμενον. οἶδα γὰρ τί ἐστι δοῦλος εὐτυχῶν ὡς δοκεῖ, καὶ τετυφωμένος. σὺ οὖν φησὶν ἐλεύθερος εἶ; θέλω νὴ τοὺς θεοὺς καὶ εὔχομαι. ἀλλ' οὔπω δύναμαι ἀντιβλέψαι τοῖς κυρίοις. ἔτι τιμῶ τὸ σωμάτιον, ὁλόκληρον αὐτὸ ἔχειν ἀντὶ πολλοῦ ποιοῦμαι. καίτοι μηδ' ὁλόκληρον ἔχων. ἀλλὰ δύναμαί σοι δεῖξαι ἐλεύθερον. ἵνα μηκέτι ζητῇς τὸ παράδειγμα. Διογένης ἦν ἐλεύθερος. πόθεν τοῦτο. οὐχ ὅτι ἐξ ἐλευθέρων ἦν, οὐ γὰρ ἦν, ἀλλ' ὅτι αὐτὸς ἦν. ὅτι ἀποβεβλήκει πάσας τὰς τῆς δουλείας λαβάς. οὐδ' ἦν ὅπως τις προσέλθῃ πρὸς αὐτὸν,

x: iiii

Philecio

Diogenes

διακρίνοντος interrogante

οὐδ' ὅθεν λάβηται πρὸς τὸ καταδουλώσασθαι. πάντα εὔλυτα εἶχε. πάντα μόνον προσηρτημένα. εἰ τῆς κτήσεως ἐπελάβου, αὐτὴν ἀφῆκεν ἄν σοι μᾶλλον, ἢ ἠκολούθησε δι' αὐτήν. εἰ τοῦ σκέλους ὡς ὅλου τοῦ σωματίου, ὅλον τὸ σωμάτιον. οἰκείους. φίλους. πατρίδα. ὡσαύτως ᾔδει πόθεν ἔχει καὶ παρὰ τίνος, καὶ ἐπὶ τίσι λαβών. τοὺς μέν γ' ἀληθινοὺς προγόνους τοὺς θεούς, καὶ τὴν τῷ ὄντι πατρίδα, οὐδέποτ' ἂν ἐγκατέλιπεν. οὐδὲ παρεχώρησεν ἄλλῳ μᾶλλον πείθεσθαι αὐτοῖς καὶ ὑπακούειν. οὐδ' ὑπεραπέθανεν ἂν εὐκολώτερον τῆς πατρίδος ἄλλος. οὐ γὰρ ἐζήτει, ποτὲ δόξαι τι ποιεῖν ὑπὲρ τῶν ὅλων. ἀλλ' ἐμέμνητο ὅτι πᾶν τὸ γενόμενον ἐκεῖθέν ἐστι, καὶ ὑπ' ἐκείνης πράττεται. καὶ ὑπὸ τοῦ διοικοῦντος αὐτὴν παρεγγυᾶται. τοιγαροῦν ὅρα τί λέγει αὐτός, καὶ γράφει. διὰ τοῦτό σοι φησὶν ἔξεστιν ὦ Διόγενες, καὶ τῷ Περσῶν βασιλεῖ, Ἀρχιδάμῳ τῷ Λακεδαιμονίων, ὡς βούλει, διαλέγεσθαι. ἆρά γ' ὅτι ἐξ ἐλευθέρων ἦν; πάντες γὰρ Ἀθηναῖοι, καὶ πάντες Λακεδαιμόνιοι, καὶ Κορίνθιοι, καὶ τὸ ἐκ δούλων εἶναι, οὐκ ἠδύναντο αὐτοῖς ὡς ἐβούλοντο διαλέγεσθαι. ἀλλ' ἐδεδοίκεσαν καὶ ἐθεράπευον. διὰ τί οὖν φησιν ἔξεστιν. ὅτι τὸ σωμάτιον ἐμὸν οὐχ ἡγοῦμαι. ὅτι οὐδενὸς δέομαι. ὅτι ὁ νόμος μοι πάντα ἐστί, καὶ ἄλλο οὐδέν. ταῦτα ἦν τὰ ἐλεύθερον ἐκεῖνον ἐάσαντα. καὶ ἵνα μὴ δόξῃς,



ὅτι παράδειγμα δείκνυμι ἀνδρὸς ἀπεριστάτου, μήτε γυναῖκα ἔχοντος, μήτε τέκνα, μήτε πατρίδα, ἢ φίλους, ἢ συγγενεῖς, ὑφ' ὧν κάμπτεσθαι καὶ περισπᾶσθαι ἠδύνατο, λάβε Σωκράτην. καὶ θέασαι γυναῖκα καὶ παιδία ἔχοντα. ἀλλ' ὡς ἀλλότρια. πατρίδα, ἐφ' ὅσον ἔδει, καὶ ὡς ἔδει, φίλους, συγγενεῖς, πάντα ταῦτα ὑποτεταχότα τῷ νόμῳ, καὶ τῇ πρὸς ἐκεῖνον εὐπειθείᾳ. διὰ τοῦτο στρατεύεσθαι μὲν ὁπότ' ἔδει, πρῶτος ἀπῄει. κἀκεῖ ἐκινδύνευεν ἀφειδέστατα. ἐπὶ λέοντα δ' ὑπὸ τῶν τυράννων πεμφθεὶς ὅτι αἰσχρὸν ἡγεῖτο, οὐδ' ἐπεβουλεύσατο. εἰδὼς ὅτι ἀποθανεῖν δεήσει, ἂν οὕτω τύχῃ. καὶ τί αὐτῷ διέφερεν. ἄλλο γάρ τι σώζειν ἤθελεν, οὐ τὸ σαρκίδιον. ἀλλὰ τὸν πιστόν. τὸν αἰδήμονα. ταῦτα ἀπαρεγχείρητα. ἀνυπότακτα. εἶθ' ὅτ' ἀπολογεῖσθαι ἔδει ὑπὲρ τοῦ ζῆν, μήτι ὡς τέκνα ἔχων ἀναστρέφεται; μήτι ὡς γυναῖκα; τί δ' ὅτε πιεῖν ἔδει τὸ φάρμακον, πῶς ἀναστρέφεται δυνάμενος διασωθῆναι. καὶ τοῦ Κρίτωνος αὐτῷ λέγοντος, ὅτι ἔξελθε διὰ τὰ παιδία, ἀναγκαῖα, ὧν ἕκαστον εἶναι δοκεῖ δεῖσθαι παρ' ἄλλου. ὥστε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς. τίνι πεποιθώς. οὐ δόξῃ, οὐδὲ χρήμασιν. οὐδ' ἀρχαῖς. ἀλλ' ἀλκῇ τῇ ἑαυτοῦ. τουτέστι δόγμασι τῶν ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν. ταῦτα γάρ ἐστι μόνα τὰ τοὺς ἐλευθέρους ποιοῦντα. τὰ τοὺς ἀκωλύτους. τὰ τὸν τράχηλον ἐπαίροντα τῶν τεταπ-

ἀπαρεγχείρητα

.i. αἴσχιστα

πεινωμένων· τὰ ἀντιβλέπειν ποιοῦντα ὀρθοῖς τοῖς ὀφθαλμοῖς πρὸς τοὺς πλουσίους, πρὸς τοὺς τυράννους· καὶ τὸ τοῦ φιλοσόφου δῶρον τοῦτο ἴσως. σὺ δ' οὐκ ἐξελεύσῃ θαρρῶν· ἀλλὰ περὶ τρέμων τοῖς ἱματιδίοις, καὶ τοῖς ἀργυρωματίοις. δύστηνε· οὕτως ἀπώλεσας τὸν μέχρι νῦν χρόνον; τί οὖν, ἂν νοσήσω· νοσήσεις καλῶς. τίς με θεραπεύσει· ὁ θεός· οἱ φίλοι. σκληρῶς κατακείσομαι. ἀλλ' ὡς ἀνήρ. οἴκημα ἐπιτήδειον οὐχ ἕξω· ἐν ἐπιτηδείῳ νοσήσεις. τίς μοι ποιήσει τὰ τροφεῖα· οἱ καὶ τοῖς ἄλλοις ποιοῦντες. ὡς Μάνης νοσήσεις. τί δὲ καὶ τὸ πέρας τῆς νόσου· ἄλλο τι, ἢ θάνατος. ἆρ' οὖν ἐνθυμῇ, ὅτι κεφάλαιον τοῦτο πάντων τῶν κακῶν τῷ ἀνθρώπῳ, καὶ ἀγεννείας, καὶ δειλίας, οὐ θάνατός ἐστι, μᾶλλον δ' ὁ τοῦ θανάτου φόβος; ἐπὶ τοῦτον μοι γυμνάζου. ἐνταῦθα νευέτωσαν οἱ λόγοι πάντες. τὰ ἀσκήματα. τὰ ἀναγνώσματα. καὶ εἴσῃ ὅτι οὕτω μόνως ἐλευθεροῦνται ἄνθρωποι.

ἀργυρωματι
Note
Manes



Κεφάλαια τοῦ τετάρτου βιβλίου.

α' Περὶ ἐλευθερίας.
β' Περὶ ~~συμφορᾶς~~ συμπεριφορᾶς
γ' Τίνα τίνων ἀντικαταλλακτέον.
δ' Πρὸς τοὺς περὶ τὸ ἐν τῇ ἡσυχίᾳ διάγειν ἐσπουδακότας.
ε' Πρὸς τοὺς μαχίμους καὶ θηριώδεις.
ς' Πρὸς τοὺς ἐπὶ τῷ ἐλεεῖσθαι ὀδυνωμένους.
ζ' Περὶ ἀφοβίας.
η' Πρὸς τοὺς ταχέως ἐπὶ τὸ σχῆμα τῶν φιλοσόφων ἐπιπηδῶντας.
θ' Πρὸς τὸν εἰς ἀναισχυντίαν μεταβληθέντα.
ι' Τίνων δεῖ καταφρονεῖν καὶ πρὸς τίνα διαφέρεσθαι.
ια' Περὶ καθαρότητος.
ιβ' Περὶ προσοχῆς.
ιγ' Πρὸς τοὺς εὐκόλως ἐκφέροντας τὰ αὑτῶν.

## Περὶ ἐλευθερίας.

Ἐλεύθερός ἐστιν, ὁ ζῶν ὡς βούλεται· ὃν οὔτ' ἀναγκάσαι ἔστιν οὔτε κωλῦσαι, οὔτε βιάσασθαι· οὗ αἱ ὁρμαὶ ἀνεμπόδιστοι, αἱ ὀρέξεις ἐπιτευκτικαὶ, αἱ ἐκκλίσεις ἀπερίπτωτοι. τίς οὖν θέλει ζῆν ἁμαρτάνων· οὐδείς. τίς θέλει ζῆν ἐξαπατώμενος, προπίπτων, ἄδικος ὤν, ἀκόλαστος, μεμψίμοιρος, ταπεινός· οὐδείς· οὐδεὶς ἄρα τῶν φαύλων ζῇ ὡς βούλεται· οὐ τοίνυν οὐδ' ἐλεύθερός ἐστι. τίς δὲ θέλει λυπούμενος ζῆν, φοβούμενος, φθονῶν, ἐλεῶν, ὀρεγόμενος καὶ ἀποτυγχάνων, ἐκκλίνων καὶ περιπίπτων· οὐδείς· ἔχομεν οὖν τινα τῶν φαύλων ἄλυπον, ἄφοβον, ἀπερίπτωτον, ἀναπότευκτον; οὐδένα· οὐκ ἄρα οὐδὲ ἐλεύθερον. ταῦτα ἄν τις ἀκούσῃ δισύπατος, ἂν μὲν προσθῇς ὅτι σύ γε σοφὸς εἶ, οὐδὲν πρὸς σὲ ταῦτα, συγγνώσεταί σοι. ἂν δ' αὐτῷ τὰς ἀληθείας εἴπῃς, ὅτι τῶν τρὶς πεπραμένων οὐδὲν διαφέρεις, πρὸς τὸ μὴ καὶ αὐτὸς δοῦλος εἶναι, τί ἄλλο ἢ πληγάς σε δεῖ προσδοκᾶν. πῶς γάρ φησιν ἐγὼ δοῦλός εἰμι· ὁ πατὴρ ἐλεύθερος· ἡ μήτηρ



ἐλευθέρα· οὗ ὠνὴν οὐδεὶς ἔχει· ἀλλὰ καὶ συγκλητικός εἰμι, καὶ καίσαρος φίλος, καὶ ὑπάτευκα, καὶ δούλους πολλοὺς ἔχω. πρῶτον μὲν ὦ βέλτιστε συγκλητικὲ, τάχα σου καὶ ὁ πατὴρ τὴν αὐτὴν δουλείαν δοῦλος ἦν· καὶ ἡ μήτηρ, καὶ ὁ πάππος, καὶ ἐφεξῆς πάντες οἱ πρόγονοι. εἰ δὲ δὴ καὶ μάλιστα ἦσαν ἐλεύθεροι, τί τοῦτο πρὸς σέ. τί γὰρ εἰ ἐκεῖνοι μὲν γενναῖοι ἦσαν, σὺ δ' ἀγεννής. ἐκεῖνοι μὲν ἄφοβοι, σὺ δὲ δειλός· ἐκεῖνοι μὲν ἐγκρατεῖς, σὺ δ' ἀκόλαστος· καὶ τί φησι τοῦτο πρὸς τὸ δοῦλον εἶναι. οὐδέν σοι φαίνεται τὸ ἄκοντά τι ποιεῖν, τὸ ἀναγκαζόμενον, τὸ στένοντα πρὸς τὸ δοῦλον εἶναι; τοῦτο μὲν ἔστω φησίν. ἀλλὰ τίς με δύναται ἀναγκάσαι, εἰ μὴ ὁ πάντων κύριος καῖσαρ. οὐκοῦν ἕνα μὲν δεσπότην σαυτοῦ καὶ σαυτὸν ὡμολόγησας. ὅτι δὲ πάντων ὡς λέγεις κοινός ἐστι, μηδέν σε τοῦτο παραμυθείσθω. ἀλλὰ γίνωσκε ὅτι ἐκ μεγάλης οἰκίας δοῦλος εἶ. οὕτω καὶ νικοπολῖται ἐπιβοᾶν εἰώθασι· νὴ τὴν καίσαρος τύχην, ἐλεύθεροί ἐσμεν. ὅμως δ' ἄν σοι δοκῇ, τὸν μὲν καίσαρα πρὸς τὸ παρὸν ἀφῶμεν. ἐκεῖνο δέ μοι εἰπέ. οὐδέποτ' ἠράσθης τινός; οὐ παιδισκαρίου; οὐ δουλαρίου; οὐκ ἐλευθέρου; τί λέγ… ἑρμαιον ἡγεῖτο αὐτό; πόθεν. ἀλλὰ τὸ ὄγκημα μὲν σκοπεῖ, τἄλλα δ' οὐχ ὁρᾷ, οὐδ' ἐπιλογίζεται. οὐ γὰρ ἤθελεν φησὶ σῶσαι τὸ σωμάτιον, ἀλλ' ἐκεῖνο, ὃ τῷ δικαίῳ μὲν αὔξεται καὶ σώζεται, τῷ

Σ, Α δ' ἀδίκως μειοῦται καὶ ἀπόλλυται. Σωκράτης δ' αἰσχρῶς οὐ σώζεται, ὁ μὴ ἐπιψηφίσας Ἀθηναίων κελευόντων, ὁ τοὺς τυράννους ὑπεριδών, ὁ τοιαῦτα περὶ ἀρετῆς καὶ καλοκαγαθίας διαλεγόμενος. τοῦτον οὐκ ἔστι σῶσαι αἰσχρῶς, ἀλλ' ἀποθνήσκων σώζεται, οὐ φεύγων. καὶ γὰρ ὁ ἀγαθὸς ὑποκριτὴς παυόμενος ὅτε δεῖ σώζεται μᾶλλον, ἢ ὑποκρινόμενος παρὰ καιρόν. τί οὖν ποιήσει τὰ παιδία. εἰ μὲν εἰς

Θ Θετταλίαν ἀπῄειν, ἐπεμελήθητε αὐτῶν. εἰς ᾅδου ✗ δέ μου ἀποδημήσαντος, οὐδεὶς ἔσται ὁ ἐπιμελησόμενος; ὅρα πῶς ὑποκορίζεται καὶ σκώπτει τὸν θάνατον. εἰ δ' ἐγὼ καὶ σὺ ἦμεν, εὐθὺς ἂν κατεφιλοσοφήσαμεν, ὅτι τοὺς ἀδικοῦντας δεῖ τοῖς ἴσοις ἀμύνεσθαι. καὶ προσθέντες ὅτι ὄφελος ἔσομαι πολλοῖς ἀνθρώποις σωθείς, ἀποθανὼν δ' οὐδενί. εἰ γὰρ ἔδει διὰ τρώγλης ἐκδύντας, ἐξήλθομεν ἄν. καὶ πῶς ἂν ὠφελήσαμέν τινα. ποῦ γὰρ ἂν ἔτι ἔμενον ἐκεῖνοι, εἰ οἱ ὄντες ἦμεν ὠφέλιμοι, οὐχὶ πολὺ μᾶλλον ἀποθανόντες ἄν, ὅτε ἔδει καὶ ὡς ἔδει, ὠφελήσαμεν ἀνθρώποις; καὶ νῦν Σωκράτους ἀποθανόντος, οὐθὲν ἧττον ἢ καὶ πλεῖον ὠφέλιμός ἐστιν ἀνθρώποις, ἡ μνήμη ὧν ἔτι ζῶν ἔπραξεν ἢ εἶπε. ταῦτα μελέτα, ταῦτα τὰ δόγματα, τούτους τοὺς λόγους, εἰς ταῦτα ἀφόρα τὰ παραδείγματα, εἰ θέλεις ἐλεύθερος εἶναι. εἰ ἐπιθυμεῖς κατ' ἀξίαν τοῦ πράγματος. καὶ τί θαυμαστόν, εἰ τηλικοῦτον πρᾶγμα τοσού-

ἀνθρώποις 429 13 Da Σ



των καὶ τηλικούτων ὠνῇ; ὑπὲρ τῆς νομιζομένης ἐλευθερίας ταύτης οἱ μὲν ἀπάγχονται, οἱ δὲ κατακρημνίζουσιν ἑαυτούς. ἔστι δ' ὅτε καὶ πόλεις ὅλαι ἀπώλοντο ὑπὲρ τῆς ἀληθινῆς, καὶ ἀνεπιβουλεύτου, καὶ ἀσφαλοῦς ἐλευθερίας ἀπαιτοῦντι τῷ θεῷ ἃ δέδωκεν, οὐκ αἰσθήσῃ; οὐχ ὡς Πλάτων λέγει μελετήσας; οὐχὶ ἀποθνήσκειν μόνον, ἀλλὰ καὶ στρεβλοῦσθαι, καὶ φεύγειν, καὶ δέρεσθαι, καὶ πάνθ' ἁπλῶς ἀποδιδόναι τὰ ἀλλότρια; ἔσῃ τοίνυν δοῦλος ἐν δούλοις, κἂν μυριάκις ὑπατεύσῃς, κἂν εἰς τὸ παλάτιον ἀναβῇς, οὐδὲν ἧττον. καὶ αἰσθήσῃ, ὅτι παράδοξα μὲν ἴσως φασὶν οἱ φιλόσοφοι, καθάπερ καὶ ὁ ἀρχίδης ἔλεγεν, οὐ μὴν παράλογα. ἔργῳ γὰρ εἴσῃ ὅτι ἀληθῆ ἐστί. καὶ τούτων τῶν θαυμαζομένων καὶ σπουδαζομένων ὄφελος οὐδέν ἐστι τοῖς τυχοῦσι. τοῖς δὲ μηδέπω τετυχόσι φαντασία γίνεται, ὅτι παραγενομένων αὐτῶν, ἅπαντα παρέσται αὐτοῖς τὰ ἀγαθά. εἶθ' ὅταν παραγένηται, τὸ καῦμα ἴσον, ὁ ῥιπτασμὸς ὁ αὐτός, ἡ ἄση, τῶν οὐ παρόντων ἐπιθυμία. οὐ γὰρ ἐκπληρώσει τῶν ἐπιθυμουμένων ἐλευθερία παρασκευάζεται, ἀλλὰ ἀνασκευῇ τῆς ἐπιθυμίας. καὶ ἵν' εἰδῇς ὅτι ἀληθῆ ταῦτά ἐστιν, ὡς ἐκείνων ἕνεκα πεπόνηκας, οὕτω καὶ ἐπὶ ταῦτα μετάθες τὸν πόνον. ἀγρύπνησον ἕνεκα τοῦ δόγμα περιποιήσασθαι

Π Plato Cleanthes 14 Da 430

∴ κλεάνθης. forte

Nil tentare nocebit

ἐλευθεροποιόν. θεράπευσον ἀντὶ γέροντος πλουσίου φιλόσοφον· περὶ θύρας ὄφθητι τὰς τούτου. οὐκ ἀσχημονήσεις ὀφθείς, οὐκ ἀπελεύσῃ κενός, οὐδ' ἀκερδής, ἂν ὡς δεῖ προσέλθῃς. εἰ δὲ μή, πείρασόν γ', οὐκ ἔστιν αἰσχρὰ ἡ πεῖρα.

## Περὶ συμφορᾶς. β.

Τούτῳ τῷ τόπῳ πρὸ πάντων σε δεῖ προσέχειν, μήποτ' ἄρα τῶν προτέρων συνήθων ἢ φίλων ἀνακελθῇς τινι οὕτως, ὥστ' εἰς τὰ αὐτὰ συγκαταβιῶσαι αὐτῷ. εἰ δὲ μή, ἀπολεῖς σεαυτόν. ἂν δέ σου παρέχῃ, ὅτι ἀδέξιος αὐτῷ φανοῦμαι, καὶ οὐχ ὁμοίως ἕξει ὡς πρότερον, μέμνησο ὅτι προῖκα οὐδὲν γίνεται. οὐδ' ἔστι δυνατὸν μὴ τὰ αὐτὰ ποιοῦντα, μὴ τὸν αὐτὸν εἶναι τῷ ποτέ. ἑλοῦ οὖν πότερον θέλεις, ὁμοίως φιλεῖσθαι ἐφ' ὧν πρότερον, ὅμοιος ὢν τῷ πρότερον σεαυτῷ, ἢ κρείσσων ὢν μὴ τυγχάνειν τῶν ἴσων. εἰ γὰρ τοῦτο κρεῖσσον, ἀπόνευσον αὐτόθεν ἐπὶ τοῦτο. μηδέ σε περισπάτωσαν αἱ ἕτεροι διαλογισμοί. οὐδεὶς γὰρ ἐπαμφοτερίζων δύναται προκόψαι. ἀλλ' εἰ τοῦτο πάντων προκέκρικας, εἰ πρὸς τούτῳ μόνῳ θέλεις εἶναι, εἰ τοῦτο ἐκπονῆσαι, ἄφες ἅπαντα τἆλλα. εἰ δὲ μή, οὗτος ὁ ἐπαμφοτερισμὸς ἑκάτερόν σοι ποιήσει· οὔτε προκόψεις κατ' ἀξίαν, οὔτ' ἐκείνων τεύξῃ ὧν πρότερον ἐτύγχανες. πρότερον γὰρ εἰλικρινῶς

ἐφιέμενος



ἐφιέμενος τῶν οὐδενὸς ἀξίων, ἡδὺς ἦς τοῖς συνοῦσιν. οὐ δύνασαι δ' ἐν ἀμφοτέρῳ τῷ εἴδει διενεγκεῖν. ἀλλ' ἀνάγκη καθόσον ἂν τοῦ ἑτέρου κοινωνῇς, ἀπολείπεσθαί σε ἐν θατέρῳ. οὐ δύνασαι μὴ πίνων μεθ' ὧν ἔπινες, ὁμοίως ἡδὺς αὐτοῖς φαίνεσθαι. [illegible] πότερον μεθυστὴς εἶναι θέλεις καὶ ἡ[illegible]ις, ἢ νήφων ἀηδής. οὐ δύνασαι μὴ ᾄ[illegible]ων ᾖδες, ὁμοίως φιλεῖσθαι ὑπ' αὐτῶν· ἑλοῦ οὖν καὶ ἐνταῦθα πότερον θέλεις. εἰ γὰρ κρεῖσσον τὸ αἰδήμονα [illegible] καὶ κόσμιον, τοῦ εἰπεῖν τινα ἡδὺς ἄνθρωπος, ἄφες τὰ ἕτερα, ἀπόγνωθι, ἀποστράφηθι. μηδὲν σοὶ καὶ αὐτοῖς. εἰ δὲ μὴ ἀρέσει ταῦτα, ὅλος ἀπόκλινον ἐπὶ τἀναντία. γενοῦ εἷς τῶν κιναίδων, εἷς τῶν μοιχῶν, καὶ ποίει τὰ ἑξῆς, καὶ τεύξῃ ὧν θέλεις. καὶ ἀναπηδῶν ἐπικραύγαζε τῷ ὀρχηστῇ. διάφορα δ' οὕτω πρόσωπα οὐ μίγνυται. οὐ δύνασαι καὶ Θερσίτην ὑποκρίνασθαι, καὶ Ἀγαμέμνονα. ἂν Θερσίτης εἶναι θέλῃς, κυρτόν σε εἶναι δεῖ, φαλακρόν. ἂν Ἀγαμέμνων, μέγαν καὶ καλόν, καὶ τοὺς ὑποτεταγμένους φιλοῦντα.

## Τίνα τίνων ἀντικαταλλακτέον. γ.

Ἐκεῖνο πρόχειρον ἔχε, ὅτ' ἄν τινος ἀπολείπῃ τῶν ἐκτός, τί ἀντ' αὐτοῦ περιποιῇ. κἂν ᾖ πλείονος ἄξιον, μηδέποτ' εἴπῃς ὅτι ἐζημίωμαι. οὐδ' ἀντὶ κέρματος πρᾶξιν καλήν. οὐδ' ἀντὶ ψυ-

χρολογίας ἡσυχίαν οἵαν δεῖ. οὐ δ' ἀντὶ αἰσχρολογίας αἰδῶ. τούτων μεμνημένος πανταχοῦ, διασώσεις τὸ σαυτοῦ πρόσωπον, οἷον ἔχειν σε δεῖ. εἰ δὲ μή, σκόπει ὅτι ἀπόλλυνται οἱ χρόνοι εἰκῆ. καὶ ὅσα νῦν προσέχεις σεαυτῷ, μέλλεις ἐκχεῖν ἅπαντα ταῦτα καὶ ἀνατρέπειν. ὀλίγου δὲ χρεία ἐστὶ πρὸς τὴν ἀπώλειαν τῶν πάντων καὶ ἀναστροφήν, μικρᾶς ἀποστροφῆς τοῦ λόγου. ἵν' ὁ κυβερνήτης ἀνατρέψῃ τὸ πλοῖον, οὐ χρείαν ἔχει τῆς αὐτῆς παρασκευῆς, ὅσης εἰς τὸ σῶσαι. ἀλλὰ μικρὸν πρὸς τὸν ἄνεμον ἂν ἐπιστρέψῃ, ἀπώλετο. κἂν μὴ αὐτὸς ἑκών, ὑποπαρενθυμηθῇ δ', ἀπώλετο. τοιοῦτόν ἐστί τι καὶ ἐνθάδε. μικρὸν ἂν ἀπονυστάξῃς, ἀπῆλθε πάντα τὰ μέχρι νῦν συνειλεγμένα. πρόσεχε οὖν ταῖς φαντασίαις. ἐπαγρύπνει. οὐ γὰρ μικρὸν τὸ τηρούμενον. ἀλλ' αἰδὼς καὶ πίστις καὶ εὐστάθεια, εὐπείθεια, ἀλυπία, ἀφοβία, ἀταραξία, ἁπλῶς ἐλευθερία. τίνων μέλλεις ταῦτα πωλεῖν. βλέπε πόσου ἀξίων. ἀλλ' οὐ τεύξομαι τοιούτου τινὸς ἀντ' αὐτοῦ. βλέπε καὶ τυγχάνων πάλιν ἐκείνου, τί ἀντ' αὐτοῦ λαμβάνεις; ἐγὼ εὐκοσμίαν, ἐκεῖνος δημαρχίαν. ἐκεῖνος στρατηγίαν, ἐγὼ αἰδῶ. ἀλλ' οὐ κραυγάζω ὅπου ἀπρεπές. ἀλλ' οὐκ ἀναστήσομαι ὅπου μὴ δεῖ. ἐλεύθερος γάρ εἰμι καὶ φίλος τοῦ θεοῦ, ἵν' ἑκὼν πείθωμαι αὐτῷ. τῶν δ' ἄλλων οὐδενὸς ἀντιποιεῖσθαί με δεῖ. οὐ σώματος, οὐ κτήσεως, οὐκ ἀρχῆς, οὐ φήμης,





ἁπλῶς οὐδενός. οὐδὲ γὰρ ἐκεῖνος βούλεταί μ' ἀντιποιεῖσθαι αὐτῶν. εἰ γὰρ ἤθελεν, ἀγαθὰ πεποιήκει αὐτὰ ἂν ἐμοί. νῦν δ' οὐ πεποίηκε. διὰ τοῦτο οὐδὲν δύναμαι παραβῆναι τῶν ἐντολῶν. τήρει δὲ ἀγαθὸν τὸ ἑαυτοῦ ἐν παντί. τῶν δ' ἄλλων τὸ κατὰ τὸ διδόμενον μέχρι τοῦ εὐλογιστεῖν ἐν αὐτοῖς, τούτῳ μόνῳ ἀρκούμενος. εἰ δὲ μή, δυστυχήσεις, ἀτυχήσεις, κωλυθήσῃ, ἐμποδισθήσῃ. οὗτοί εἰσιν οἱ ἐκεῖθεν ἀπεσταλμένοι νόμοι. ταῦτα τὰ διατάγματα. τούτων ἐξηγητὰ δεῖ γενέσθαι. τούτοις ὑποτεταγμένον. οὐ τοῖς μασουρίου καὶ κασσίου.

## Πρὸς τοὺς περὶ τὸ ἐν ἡσυχίᾳ διάγειν ἐσπουδακότας. δ'.

Μέμνησο ὅτι οὐ μόνον ἐπιθυμία ἀρχῆς καὶ πλούτου ταπεινοὺς ποιεῖ, καὶ ἄλλοις ὑποτεταγμένους, ἀλλὰ καὶ ἡσυχίας, καὶ σχολῆς, καὶ ἀποδημίας, καὶ φιλολογίας. ἁπλῶς γὰρ οἷον ἐὰν ᾖ τὸ ἐκτός, ἡ τιμὴ αὐτοῦ ὑποτάσσει ἄλλῳ. τί οὖν διαφέρει συγκλήτου ἐπιθυμεῖν, ἢ τοῦ μὴ εἶναι συγκλητικόν. τί διαφέρει ἀρχῆς ἐπιθυμεῖν, ἢ ἀναρχίας. τί διαφέρει λέγειν ὅτι κακῶς μοί ἐστιν, οὐδὲν ἔχω τί πράξω, ἀλλὰ τοῖς βιβλίοις προσδέδεμαι ὡς νεκρός, ἢ λέγειν κακῶς μοί ἐστιν, οὐκ εὐσχολῶ ἀναγνῶναι. ὡς γὰρ ἀσπασμοὶ καὶ ἀρχὴ τῶν ἐκτὸς

ἔξω καὶ ἀπροαιρέτων, οὕτω καὶ βιβλίον. ἢ τίνος
ἕνεκα θέλεις ἀναγνῶναι, εἰπέ μοι. εἰ μὲν γὰρ ἐπ'
αὐτὸ καταστρέφεις ἐπ' αὐτὸ τὸ ψυχαγωγηθῆναι,
ἢ μαθεῖν τι, ψυχρὸς εἶ καὶ ταλαίπωρος. εἰ δ' ἐφ' ὃ
δεῖ ἀναφέρεις, τί τοῦτ' ἔστιν ἄλλο, ἢ εὔροια. εἰ δέ σοι
τὸ ἀναγινώσκειν εὔροιαν μὴ περιποιεῖ, τί ὄφελος
αὐτοῦ. ἀλλὰ περιποιεῖ φησι, καὶ διὰ τοῦτ[illegible]ακ-
τῶ ὡς ἀπολειπόμενος αὐτοῦ. καὶ τίς αὕτη εὔ-
ροια ἣν ὁ τυχὼν ἐμποδίσαι δύναται, οὐ λέγω
καῖσαρ, ἢ καίσαρος φίλος, ἀλλὰ κόραξ, αὐλητής,
πυρετός, ἄλλα τρισμύρια. ἡ δ' εὔροια οὐδὲν οὕτως
ἔχει, ὡς τὸ διηνεκὲς καὶ ἀνεμπόδιστον. νῦν καλοῦ-
μαι πράξων τι. ἄπειμι νῦν προσέξων τοῖς μέ-
τροις, ἃ δεῖ τηρεῖν. ὅτι αἰδημόνως, ὅτι ἀσφαλῶς, ὅτι
δίχα ὀρέξεως καὶ ἐκκλίσεως τῆς πρὸς τὰ ἐκτός.
καὶ λοιπὸν προσέχω τοῖς ἀνθρώποις, τίνα φασί.
πῶς κινοῦνται. καὶ τοῦτο οὐ κακοήθως, οὐδ' ἵνα ἔ-
χω ψέγειν, ἢ καταγελᾶν. ἀλλ' ἐπ' αὐτὸν ἐπιστρέ-
φω, εἰ ταὐτὰ κἀγὼ ἁμαρτάνω. πῶς οὖν παύσομαι.
τότε καὶ ἐγὼ ἡμάρτανον. νῦν δ' οὐκέτι χάρις τῷ
θεῷ. ἄγε ταῦτα ποιήσας καὶ πρὸς τούτοις γενόμε-
νος, χεῖρον ἔργον πεποίηκας, ἢ χιλίους στίχους ἀνα-
γνοὺς, ἢ γράψας ἄλλους τοσούτους; ὅταν γὰρ ἐσθί-
ῃς ἄχθῃ ὅτι μὴ ἀναγινώσκεις, οὐκ ἀρκῇ τῷ, καθ' ἃ
ἀνέγνωκας, ἐσθίειν. ὅταν λούῃ, ὅταν γυμνάζῃ. διατί
οὖν ἐπὶ πάντων οὐχ ὁμαλίζεις, καὶ ὅταν καίσαρι



προσίῃς, καὶ ὅταν τῷ δεῖνι. εἰ τὸ ἀπαθὲς τηρεῖς, εἰ τὸ
ἀκατάπληκτον, εἰ τὸ κατεσταλμένον, εἰ βλέπεις
μᾶλλον τὰ γινόμενα, ἢ βλέπῃ, εἰ μὴ φθονεῖς τοῖς
προτιμωμένοις, εἰ μὴ ἐκπλήσσουσί σε αἱ ὗλαι. τί σοι
λείπει. βιβλία. πῶς ἢ ἐπὶ τί. οὐχὶ γὰρ ἐπὶ τὸ βιοῦν
παρασκευή τίς ἐστιν αὕτη; τὸ βιοῦν δ' ἐξ ἄλλων τι-
νῶν ἢ τούτων συμπληροῦται. οἷον ἂν εἰ ὁ ἀθλητὴς
κλαίει εἰς τὸ στάδιον εἰσιὼν, ὅτι μὴ ἔξω γυμνάζεται.
τούτου ἕνεκα ἐγυμνάζου. ἐπὶ τοῦτο οἱ ἁλτῆρες, ἡ
ἀφὴ, οἱ νεανίσκοι. καὶ νῦν ἐκεῖνα ζητεῖς ὅτε τοῦ ἔρ-
γου καιρός ἐστιν; οἷον ἐπὶ τοῦ συγκαταθετικοῦ τόπου
παρισταμένων φαντασιῶν, τῶν μὲν καταληπτῶν,
τῶν δ' ἀκαταλήπτων, μὴ ταύτας διακρίνειν ἔχοι-
μεν. ἀλλ' ἀναγινώσκειν τὰ περὶ καταλήψεως. τί οὖν
τὸ αἴτιον. ὅτι οὐδέποτε τούτου ἕνεκα ἀνέγνωμεν.
οὐδέποτε τούτου ἕνεκα ἐγράψαμεν, ἵν' ἐπὶ τῶν
ἔργων κατὰ φύσιν χρώμεθα ταῖς προσπιπτού-
σαις φαντασίαις. ἀλλ' αὐτοῦ καταλήγομεν μαθεῖν
τί λέγεται. καὶ ἄλλῳ δύνασθαι ἐξηγήσασθαι.
τὸν συλλογισμὸν ἀναλῦσαι. καὶ τὸν ὑποθετικὸν
ἐφοδεῦσαι. διατοῦτο ὅπου ἡ σπουδὴ, ἐκεῖ καὶ ὁ
ἐμποδισμός. θέλεις τοὺς μὴ ἐπὶ σοὶ ἐξάπαντος.
κωλύου τοίνυν. ἐμποδίζου. ἀποτύγχανε. εἰ δὲ τὰ
περὶ ὁρμῆς τούτου ἕνεκα ἀναγινώσκοιμεν, οὐχ
ἵνα ἴδωμεν τί λέγεται περὶ ὁρμῆς, ἀλλ' ἵνα εὖ
ὁρμῶμεν τὰ περὶ ὀρέξεως, καὶ ἐκκλίσεως, ἵνα

μή ποτ' ὀρεγόμενοι ἀποτυγχάνωμεν, μήτ' ἐκκλίνοντες περιπίπτωμεν, τὰ περὶ καθήκοντος δ' ἵνα μεμνημένοι τῶν σχέσεων, μηδὲν ἀλογίστως μηδὲ παρ' αὐτὰ ποιῶμεν, οὐκ ἂν ἠγανακτοῦμεν πρὸς τὰ ἀναγνώσματα ἐμποδιζόμενοι. ἀλλὰ τῷ τὰ ἔργα ἀποδιδόναι τὰ κατάλληλα ἠρκούμεθα. καὶ ἠριθμοῦμεν ἂν οὐ ταῦτα, ἃ μέχρι νῦν ἀριθμεῖν [illegible]θίσμεθα. σήμερον ἀνέγνων στίχους τοσούσδε. ἔγραψα τοσούσδε. ἀλλὰ σήμερον ὁρμῇ ἐχρησάμην, ὡς παραγγέλλεται ὑπὸ τῶν φιλοσόφων. ὀρέξει οὐκ ἐχρησάμην. ἐκκλίσει πρὸς μόνα τὰ προαιρετικά. οὐ κατεπλάγην τὸν δεῖνα. οὐκ ἐδυσωπήθην ὑπὸ τοῦ δεῖνος. τὸ ἀνεκτικὸν ἐγύμνασα, τὸ ἀφετικόν, τὸ συνεργητικόν. καὶ οὕτως ἂν ηὐχαριστοῦμεν τῷ θεῷ, ἐφ' οἷς δεῖ εὐχαριστεῖν. νῦν δ' ἡμεῖς οὐκ ἴσμεν ὅτι καὶ ἄλλον τρόπον ὅμοιοι τοῖς πολλοῖς γινόμεθα. ἄλλος φοβεῖται μὴ οὐκ ἄρξῃ. μὴ συνάρξῃς μηδαμῶς ἄνθρωπε. ἀλλ' ὡς καταγελᾷς τοῦ φοβουμένου μὴ ἄρξαι, οὕτω καὶ σαυτοῦ καταγέλα. οὐδὲν γὰρ διαφέρει ἢ διψῆν πυρέσσοντα, ἢ ὡς λυσσώδη ὑδροφοβεῖν εἶναι. ἢ πῶς ἔτι δυνήσῃ εἰπεῖν τὸ τοῦ σωκράτους, εἰ ταύτῃ φίλον τῷ θεῷ, ταύτῃ γινέσθω. δοκεῖς σωκράτης εἰ ἐπεθύμει ἐν λυκείῳ ἢ ἐν ἀκαδημείᾳ σχολάζειν, καὶ διαλέγεσθαι καθ' ἡμέραν τοῖς νέοις, εὐκόλως ἂν ἐστρατεύσατο, ὁσάκις ἐστρατεύσατο, οὐχὶ δ' ὠδύρετ' ἄν, καὶ ἔστενε· τάλας



ἐγὼ. νῦν δ' ἐνθάδε δ' ἀτυχῶ ἄθλιος, δυνάμενος ἐν λυκείῳ ἡλιάζεσθαι. τοῦτο γάρ σου τὸ ἔργον ἦν ἡλιάζεσθαι, οὐχὶ δὲ τὸ εὐροεῖν; τὸ ἀκώλυτον εἶναι, τὸ ἀπαραπόδιστον; καὶ πῶς ἂν ἔτι ἦν σωκράτης, εἰ ταῦτα ὠδύρετο. πῶς ἂν ἔτι ἐν τῇ φυλακῇ παιᾶνας ἔγραφεν. ἁπλῶς οὖν ἐκεῖνου μέμνησο, ὅτι πᾶν ὃ ἔξω τῆς προαιρέσεως τῆς σαυτοῦ τιμήσεις, ἀπώλεσας τὴν προαίρεσιν. ἔξω δ' ἐστὶν οὐ μόνον ἀρχή, ἀλλὰ καὶ ἀναρχία. οὐ μόνον ἀσχολία, ἀλλὰ καὶ σχολή. νῦν οὖν ἐμὲ ἐν τῷ θορύβῳ τούτῳ διεξάγειν; τί λέγεις θορύβῳ. ἐν πολλοῖς ἀνθρώποις. καὶ τί χαλεπόν. δόξον ὀλυμπίασιν εἶναι. πανήγυριν αὐτὸν ἡγῆσαι. κἀκεῖ ἄλλος ἄλλο τι πράσσει. ἄλλος τῷ ἄλλῳ ἐνσείεται. ἐν τοῖς βαλανείοις ὄχλος. καὶ τίς ἡμῶν οὐ χαίρει τῇ πανηγύρει ταύτῃ. καὶ ὀδυνώμενος αὐτῆς ἀπαλλάσσεται; μὴ γίνου δυσάρεστος, μηδὲ κακοστόμαχος πρὸς τὰ γινόμενα. τὸ ὄξος σαπρόν. δριμὺ γάρ, τὸ μέλι σαπρόν. ἀνατρέπει γάρ μου τὴν ἕξιν. λάχανα οὐ θέλω. οὕτω καὶ σχολὴν οὐ θέλω. ἐρημία ἐστίν. ὄχλον οὐ θέλω. θόρυβός ἐστιν. ἀλλ' ἂν μὲν οὕτω φέρῃ τὰ πράγματα ὥστε μόνον, ἢ μετ' ὀλίγων διεξαγαγεῖν, ἡσυχίαν αὐτὸ κάλει, καὶ χρῶ τῷ πράγματι εἰς ὃ δεῖ. λάλει σεαυτῷ. γύμναζε τὰς φαντασίας. ἐξεργάζου τὰς προλήψεις. ἂν δ' εἰς ὄχλον ἐμπέσῃς, ἀγῶνα αὐτὸ λέγε, πανήγυριν, ἑορτήν. συνεορτάζειν πειρῶ τοῖς ἀνθρώποις. τί γάρ ἐστιν ἥδιον θεάματος

τῷ φιλανθρώπῳ, ἢ ἄνθρωποι πολλοί. ἵππων ἀγέλας ἢ βοῶν, ἡδέως ὁρῶμεν. πλοῖα πολλὰ ὅταν ἴδωμεν, διαχεόμεθα. ἀνθρώπους πολλοὺς βλέπων τις ἀνιᾶται; ἀλλὰ καταβοῶσί μου. οὐκοῦν ἡ ἀκρόασις ἐμποδίζεται. τί οὖν πρὸς σέ. μή τι καὶ δύναμις ἡ ταῖς φαντασίαις χρηστική; καὶ τίς σε κωλύσει ὀρέξει καὶ ἐκκλίσει χρῆσθαι κατὰ φύσιν. ὁρμῇ καὶ ἀφορμῇ. ποῖος θόρυβος πρὸς τοῦτο ἱκανός. σὺ μόνον μέμνησο τῶν καθολικῶν. τί ἐμόν. τί οὐκ ἐμόν. τί μοι δίδοται. τί θέλει με ποιεῖν ὁ θεὸς νῦν. τί οὐ θέλει. πρὸ ὀλίγου χρόνου ἤθελέ σε σχολάζειν. σαυτῷ λαλεῖν. γράφειν περὶ τούτων. ἀναγινώσκειν. παρασκευάζεσθαι. ἔσχες εἰς τοῦτο ἱκανὸν χρόνον. νῦν σοι λέγει ἐλθὲ ἤδη ἐπὶ τὸν ἀγῶνα. δεῖξον ἡμῖν τί ἔμαθες. πῶς ἤθλησας. μέχρι τίνος γυμνασθήσῃ μόνος. ἤδη καιρὸς γνῶναί σε πότερον τῶν ἀξιονίκων εἶ τις ἀθλητῶν, ἢ ἐκείνων, οἳ τὴν οἰκουμένην περιέρχονται νικώμενοι. τί οὖν ἀγανακτεῖς. οὐδεὶς ἀγὼν δίχα θορύβου γίνεται. πολλοὺς δεῖ προγυμναστὰς εἶναι, πολλοὺς τοὺς ἐπικραυγάζοντας, πολλοὺς ἐπιστάτας, πολλοὺς θεατάς. ἀλλ' ἐγὼ ἤθελον ἐφ' ἡσυχίας διάγειν. οἴμωζε τοίνυν καὶ στένε ὥσπερ ἄξιος εἶ. τίς γὰρ ἄλλη μείζων ταύτης ζημία τῷ ἀπαιδεύτῳ καὶ ἀπειθοῦντι τοῖς θείοις διατάγμασιν, ἢ τὸ λυπεῖσθαι. τὸ πενθεῖν. τὸ φθονεῖν. ἁπλῶς τὸ ἀτυχεῖν καὶ δυσ-

δίχα

οὐδεὶς ἀγὼν δίχα θορύβου γίνε[ται]

...α. δίχα



τυχεῖν. τούτων οὐ θέλεις ἀπαλλάξαι σεαυτόν; καὶ πῶς ἀπαλλάξω. οὐ πολλάκις ἤκουσας ὅτι ὄρεξιν ἆραί σε δεῖ παντελῶς, τὴν ἔκκλισιν ἐπὶ μόνα τρέψαι τὰ προαιρετικά. ἀφεῖναί σε δεῖ πάντα. τὸ σῶμα. τὴν κτῆσιν. τὴν φήμην. τὰ βιβλία. θόρυβον. ἀρχάς. ἀναρχίαν. ὅπου γὰρ ἂν κλίνῃς, ἐδούλευσας. ὑπετάγης, κωλυτὸς ἐγένου. ἀναγκαστός. ὅλος ἐπ' ἄλλοις. ἀλλὰ τὸ κλεάνθους πρόχειρον. ἄγου δέ μ' ὦ ζεῦ καὶ σύ γ' ἡ πεπρωμένη. θέλετ' εἰς ῥώμην, εἰς ῥώμην. εἰς γύαρα, εἰς γύαρα. εἰς ἀθήνας, εἰς ἀθήνας. εἰς φυλακήν, εἰς φυλακήν. ἂν ἅπαξ εἴπῃς. πότε τις εἰς ἀθήνας ἀπέλθῃ; ἀπόλου. ἀνάγκη σε ταύτην τὴν ὄρεξιν ἀτελῆ μὲν οὖσαν, ἀτυχῆ σε ποιεῖν. τελειωθεῖσαν δὲ, κενήν. ἐφ' οἷς οὐ δεῖ ἐπαιρόμενον. πάλιν ἂν ἐμποδισθῇς, δυστυχῆ. περιπίπτοντα οἷς οὐ θέλεις. ἄφες οὖν ταῦτα πάντα. καλαὶ αἱ ἀθῆναι, ἀλλὰ τὸ εὐδαιμονεῖν κάλλιον πολύ. τὸ ἀπαθῆ εἶναι. ἀτάραχον. τὸ ἐπὶ μηδενὶ κεῖσθαι τὰ σά. πράγματα. θόρυβος ἐν ῥώμῃ καὶ ἀσπασμοί. ἀλλὰ τὸ εὐροεῖν ἀντὶ πάντων τῶν δυσκόλων. εἰ οὖν τούτων καιρός ἐστι, διὰ τί οὐκ αἴρει καὶ τὴν ἔκκλισιν. τίς ἀνάγκη ὡς ὄνον ξυλοκοπούμενον ἀχθοφορεῖν. εἰ δὲ μή, ὅρα τί δεῖ σε δουλεύειν ἀεὶ τῷ δυναμένῳ σοι διαπράξασθαι τὴν ἔξοδον. τῷ πᾶν ἐμποδίσαι δυναμένῳ. κἀκεῖνον θεραπεύειν, ὡς κακοδαίμονα. μία ὁδὸς ἐπὶ εὔροιαν. τοῦτο καὶ

Cleanthes

εὐροεῖν

εὔροιαν

αἴρεις

ὄρθρου καὶ μεθημέραν καὶ νύκτωρ ἔστω πρόχειρον, ἀπόστασις τῶν ἀπροαιρέτων. τὸ μηδὲν ἴδιον ἡγεῖσθαι. τὸ παραδοῦναι πάντα τῷ δαιμονίῳ. τῇ τύχῃ. ἐκείνους ἐπιτρόπους αὐτῶν ποιήσασθαι, οὓς καὶ ὁ Ζεὺς πεποίηκεν. αὐτὸν δὲ πρὸς ἐκείνῳ εἶναι μόνῳ τῷ ἰδίῳ, τῷ ἀκωλύτῳ. καὶ ἀναγινώσκειν ἐπὶ τοῦτο ἀναφέροντα τὴν ἀνάγνωσιν, καὶ γράφειν, καὶ ἀκούειν. διὰ τοῦτο οὐ δύναμαι εἰπεῖν φιλόπονον, ἂν ἀκούσω τοῦτο μόνον, ὅτι ἀναγινώσκει ἢ γράφει. κἂν προσθῇ τις ὅλας τὰς νύκτας, οὔπω λέγω, ἂν μὴ γνῶ τὴν ἀναφοράν. οὐδὲ γὰρ σὺ λέγεις φιλόπονον, τὸν διὰ παιδισκάριον ἀγρυπνοῦντα. οὐ τοίνυν οὐδ' ἐγώ. ἀλλ' ἐὰν μὲν ἕνεκα δόξης αὐτὸ ποιῇ, λέγω φιλόδοξον. ἂν δ' ἕνεκα ἀργυρίου, φιλάργυρον, οὐ φιλόπονον. ἂν δ' ἐπὶ τὸ ἴδιον ἡγεμονικὸν ἀναφέρῃ τὸν πόνον, ἵν' ἐκεῖνο κατὰ φύσιν ἔχῃ καὶ διεξάγῃ, τότε λέγω μόνον φιλόπονον. μηδέποτε γὰρ ἀπὸ τῶν κοινῶν μήτ' ἐπαινεῖτε μήτε ψέγετε ἀλλὰ ἀπὸ δογμάτων. ταῦτα γάρ ἐστι τὰ ἴδια ἑκάστου. τὰ καὶ τὰς πράξεις αἰσχρὰς ἢ καλὰς ποιοῦντα. τούτων μεμνημένος, χαῖρε τοῖς παροῦσι, καὶ ἀγάπα ταῦτα ὧν καιρός ἐστιν. εἴ τινα ὁρᾷς ὧν ἔμαθες, καὶ διεσκέψω ἀπ' αὐτῶν τά σοι εἰς τὰ ἔργα, εὐφραίνου ἐπ' αὐτοῖς. εἰ τὸ κακόηθες καὶ λοίδορον ἀποτέθεισαι, μεμείωκας. εἰ τὸ προπετές. εἰ τὸ αἰσχρολόγον. εἰ τὸ εἰκαῖον. εἰ τὸ ἐπισεσυρμένον. εἰ οὐ κινῇ ἐφ' οἷς πρότερον. εἰ οὐχ ὁμοίως

Ζ 443 11 Ec ἐπαινεῖτε ἐπισεσυρμένον



γοῦν ὡς πρότερον, ἑορτὴν ἄγειν δύνασαι καθημέραν. σήμερον. ὅτι καλῶς ἀνεστράφης ἐν τῷδε τῷ ἔργῳ. αὔριον ὅτι ἐν ἑτέρῳ. πόσῳ μείζων αἰτία θυσίας, ἢ ὑπατεία ἢ ὑπαρχία. ταῦτα ἐκ σοῦ αὐτοῦ γίνεταί σοι, καὶ ἀπὸ τῶν θεῶν. ἐκεῖνο μέμνησο τίς ὁ διδούς ἐστι. καὶ τίσι καὶ διὰ τίνα. τούτοις τοῖς διαλογισμοῖς ἐντρεφόμενος, διαφέρῃ ποῦ ὢν εὐδαιμονήσεις; ποῦ ὢν ἀρέσεις τῷ θεῷ; οὐ πανταχόθεν τὸ ἴσον ἀπέχουσι; οὐ πανταχόθεν ὁμοίως ὁρῶσι τὰ γινόμενα.

καθ' ἡμέραν 444 12 Ec

## Πρὸς τοὺς μαχίμους καὶ θηριώδεις. ε.

Ὁ καλὸς καὶ ἀγαθὸς οὔτ' αὐτὸς μάχεταί τινι, οὔτ' ἄλλον ἐᾷ κατὰ δύναμιν. παράδειγμα δὲ καὶ τούτου καθάπερ καὶ τῶν ἄλλων, ἔκκειται ἡμῖν ὁ βίος ὁ σωκράτους. ὃς οὐ μόνον αὐτὸς πανταχοῦ ἐξέφυγε μάχην, ἀλλ' οὐδ' ἄλλοις μάχεσθαι εἴα. ὅρα παρὰ ξενοφῶντι ἐν τῷ συμποσίῳ, πόσας μάχας λέλυκε. πῶς πάλιν ἠνέσχετο θρασυμάχου. πῶς πώλου. πῶς καλλικλέους. πῶς τῆς γυναικὸς ἠνείχετο. πῶς τοῦ υἱοῦ, ἐξελεγχόμενος ὑπ' αὐτοῦ, σοφιζόμενος. λίαν γὰρ ἀσφαλῶς ἐμέμνητο, ὅτι οὐδεὶς ἀλλοτρίου ἡγεμονικοῦ κυριεύει. οὐδὲν οὖν ἄλλο ἤθελεν, ἢ τὸ ἴδιον. τί δ' ἐστι τοῦτο. οὐχ ἵνα καὶ ἡ οὗτος τί κατὰ φύσιν (τοῦτο γὰρ ἀλλότριον) ἀλλ' ὅπως ἐκείνων τὰ ἴδια ποιούντων ὡς αὐτοῖς δοκεῖ, αὐτὸς

Σ Socrates Xenopho

μηδὲν ἧττον κατὰ φύσιν ἕξει. καὶ ἐξάξει. μόνον τὰ
αὐτοῦ ποιῶν πρὸς τὸ κἀκείνους ἔχειν κατὰ φύσιν.
τοῦτο γάρ ἐστιν ὃ ἀεὶ πρόκειται τῷ καλῷ καὶ ἀ-
γαθῷ. στρατηγῆσαι; ἀλλ' ἂν διδῶται, ἐπὶ ταύτης
τῆς ὕλης τὸ ἴδιον ἡγεμονικὸν τηρῆσαι. γῆμαι; οὔ.
ἀλλ' ἂν διδῶται γάμος, ἐν ταύτῃ τῇ ὕλῃ κατὰ
φύσιν ἔχοντα αὐτὸν τηρῆσαι. ἂν δὲ θέλῃ τὸν υἱὸν
μὴ ἁμαρτάνειν, ἢ τὴν γυναῖκα, θέλει τὰ ἀλλό-
τρια μὴ εἶναι ἀλλότρια. καὶ τὸ παιδεύεσθαι τοῦ-
τό ἐστι μανθάνειν τὰ ἴδια καὶ τὰ ἀλλότρια. ποῦ οὖν
ἔτι μάχης τόπος τῷ οὕτως ἔχοντι; μὴ γὰρ θαυμά-
ζει τι τῶν γινομένων; μὴ γὰρ καινὸν αὐτῷ φαίνε-
ται; μὴ γὰρ οὐ χείρονα καὶ χαλεπώτερα προσδέ-
χεται τὰ παρὰ τῶν φαύλων, ἢ ἀποβαίνει αὐτῷ;
μὴ γὰρ οὐ κέρδος λογίζεται πᾶν ὅτι ἂν ἀπολίπωσι
τοῦ ἐσχάτου; ἐλοιδόρησέ σε ὁ δεῖνα, πολλὴ χάρις
αὐτῷ ὅτι μὴ ἔπληξεν. ἀλλὰ καὶ ἔπληξε, πολλὴ
χάρις ὅτι μὴ ἔρωσεν. ἀλλὰ καὶ ἔρωσε, πολλὴ χά-
ρις ὅτι μὴ ἀπέκτεινε. πότε γὰρ ἔμαθεν ἢ παρὰ τί-
νι, ὅτι ἥμερόν ἐστι ζῶον, ὅτι φιλάλληλον, ὅτι μεγά-
λη βλάβη τῷ ἀδικοῦντι, αὐτὴ ἡ ἀδικία. ταῦτα
οὖν μὴ μεμαθηκὼς μηδὲ πεπεισμένος, διὰ τί μὴ
ἀκολουθήσει τῷ φαινομένῳ συμφέροντι; βέβλη-
κεν ὁ γείτων λίθοις, μή τι οὖν σὺ ἡμάρτηκας; ἀλ-
λὰ τὰ ἐν οἴκῳ κατεάγη. σὺ οὖν σκεῦός εἶ; οὔ.
ἀλλὰ προαίρεσις. τί οὖν σοὶ δέδοται πρὸς τοῦτο.



ὡς μὲν λύκῳ, ἀντιδάκνειν, καὶ ἄλλοις πλείονας
λίθους βάλλειν. ἀνθρώπῳ δ' ἂν ζητῇς, ἐπίσκεψαι
σου τὸ ταμιεῖον. ἴδε τίνας δυνάμεις ἔχων ἐλήλυ-
θας. μή τι τὴν θηριώδη; μή τι τὴν μνησικακητικήν;
ἵππος οὖν πότ' ἄθλιός ἐστιν. ὅταν τῶν φυσικῶν
δυνάμεων στέρηται, οὐχ ὅταν μὴ δύνηται κοκ-
κύζειν, ἀλλ' ὅταν μὴ τρέχειν. ὁ δὲ κύων, οὐχ ὅταν πέ-
τασθαι μὴ δύνηται, ἀλλ' ὅταν μὴ ἰχνεύειν. μή ποτ'
οὖν οὕτω καὶ ἄνθρωπος δυστυχής ἐστιν, οὐχ ὁ μὴ
δυνάμενος λέοντας πνίγειν, ἢ ἀνδριάντας περι-
λαμβάνειν. οὐ γὰρ πρὸς τοῦτο δυνάμεις τινὰς ἔχων
ἐλήλυθε παρὰ τῆς φύσεως. ἀλλ' ὁ ἀπολωλεκὼς
τὸ εὔγνωμον, τὸ πιστόν. τοῦτον συνελθόντας θρηνεῖν,
εἰς ὅσα κακὰ ἐλήλυθεν. οὐχὶ μὰ δία τὸν φύντα,
ἢ τὸν ἀποθανόντα. ἀλλ' ᾧ ζῶντι συμβέβηκεν ἀπο-
λέσαι τὰ ἴδια. οὐ τὰ πατρῷα. τὸ ἀγρίδιον. καὶ τὸ
οἰκίδιον. καὶ τὸ πανδοχεῖον. καὶ τὰ δουλάρια. τού-
των γὰρ οὐδὲν ἴδιον τῷ ἀνθρώπῳ ἐστίν. ἀλλὰ πάν-
τα ἀλλότρια, δοῦλα, ὑπεύθυνα, ἄλλοτε ἄλλοις
διδόμενα ὑπὸ τῶν κυρίων. ἀλλὰ τὰ ἀνθρωπικά.
τοὺς χαρακτῆρας οὓς ἔχων ἐν τῇ διανοίᾳ ἐλήλυ-
θεν, οἵους καὶ ἐπὶ τῶν νομισμάτων ζητοῦντες, ἂν
μὲν εὕρωμεν, δοκιμάζομεν. ἂν δὲ μὴ εὕρωμεν, ῥί-
πτοῦμεν. τίνα ἔχει τὸν χαρακτῆρα τοῦτο τὸ τετρά-
σσαρον. τραϊανοῦ, φέρε. νέρωνος; ῥῖψον ἔξω, ἀδόκι-
μόν ἐστι, σαπρόν. οὕτω καὶ ἐνθάδε. τίνα ἔχει χα-

ρακτῆρα τὰ δόγματα αὐτοῦ· ἥμερον· κοινωνικόν· ἀνεκτικόν· φιλάλληλον, φέρε· παραδέχομαι· ποιῶ πολίτην τοῦτον· παραδέχομαι γείτονα, σύμπλουν. ὅρα μόνον μὴ νερωνιακὸν ἔχει χαρακτῆρα. μή τι ὀργίλος ἐστί· μή τι μηνίτης· μή τι μεμψίμοιρος· αὐτῷ φανῇ, περικόπτει τὰς κεφαλὰς τῶν ἀπαντώντων. τί οὖν ἔλεγες ὅτι, ἄνθρωπός ἐστι· μὴ γὰρ ἐκ ψιλῆς μορφῆς κρίνεται τῶν ὄντων ἕκαστον; ἐπεὶ οὕτω λέγε καὶ τὸ κήρινον, μῆλον εἶναι· καὶ ὀδμὴν ἔχειν αὐτὸ δεῖ καὶ γεῦσιν· οὐκ ἀρκεῖ δὲ ἡ ἐκτὸς περιγραφή. οὐκοῦν οὐδὲ πρὸς τὸν ἄνθρωπον ἡ ῥὶς ἐξαρκεῖ καὶ οἱ ὀφθαλμοί· ἀλλ' ἂν τὰ δόγματα ἔχῃ ἀνθρωπικά. οὗτος οὐκ ἀκούει λόγου· οὐ παρακολουθεῖ ἐλεγχόμενος· ὄνος ἐστί. τούτου τὸ αἰδῆμον ἀπονενέκρωται· ἄχρηστός ἐστι· πάντα μᾶλλον, ἢ ἄνθρωπος. οὗτος ζητεῖ, τίνα ἀπαντήσας λακτίσῃ ἢ δάκῃ· ὥστε οὐδὲ πρόβατον ἢ ὄνος, ἀλλά τι ποτε ἄγριον θηρίον. τί οὖν; θέλεις με καταφρονεῖσθαι; ὑπὸ τίνων; ὑπὸ εἰδότων; καὶ πῶς καταφρονήσουσιν οἱ εἰδότες τοῦ πρᾴου· τοῦ αἰδήμονος. ἀλλ' ὑπὸ τῶν ἀγνοούντων; τί σοι μέλει· οὐ τινὶ γὰρ ἄλλῳ τεχνίτῃ τῶν ἀτέχνων. ἀλλὰ πολὺ μᾶλλον ἐπιφυήσονταί μοι. τί λέγεις τὸ ἐμοί. δύναταί τις τὴν προαίρεσιν τὴν σὴν βλάψαι, ἢ κωλῦσαι ταῖς ἐπιπιπτούσαις φαντασίαις χρῆσθαι ὡς πέφυκεν; οὐδαμῶς. τί οὖν ἔτι ταράσσῃ καὶ φοβερὸν σαυτὸν θέλεις ἐπιδεικνύειν· οὐχὶ



δὲ παρελθὼν εἰς μέσον κηρύσσεις, ὅτι εἰρήνην ἄγεις πρὸς πάντας ἀνθρώπους, ὅ,τι ἂν ἐκεῖνοι ποιῶσι· καὶ μάλιστ' ἐκείνων καταγελᾷς, ὅσοι σε βλάπτειν δοκοῦσιν. ἀνδράποδα οὐ ταῦτα οὐκ οἶδεν, οὐδὲ τίς εἰμι, οὐδὲ ποῦ μου τὸ ἀγαθόν ἐστι καὶ τὸ κακόν· ὅτι οὐ πρόσοδος αὐτοῖς πρὸς τὰ ἐμά. οὕτω καὶ ἐχυρὰν πόλιν οἰκοῦντες καταγελῶσι τῶν πολιορκούντων· νῦν οὗτοι τί πρᾶγμα ἔχουσιν ἐπὶ τῷ μηδενί· ἀσφαλές ἐστιν ἡμῶν τὸ τεῖχος· τροφὰς ἔχομεν ἐπὶ πάμπολυν χρόνον, τὴν ἄλλην ἅπασαν παρασκευήν. ταῦτά ἐστι τὰ πόλιν ἐχυρὰν καὶ ἀνάλωτον ποιοῦντα, ~~αὐτοῦ~~ τῇ ψυχῇ οὐδὲν ἄλλο, ἢ δόγματα. ποῖον γὰρ τεῖχος οὕτως ἰσχυρόν, ἢ ποῖον σῶμα οὕτως ἀδαμάντινον, ἢ ποία κτῆσις ἀναφαίρετος, ἢ ποῖον ἀξίωμα οὕτως ἀνεπιβούλευτον. πάντα πανταχοῦ θνητά, εὐάλωτα. οἷς τισι τὸ ὁπωσοῦν προσέχοντα, πᾶσα ἀνάγκη ταράσσεσθαι, κακελπιστεῖν, φοβεῖσθαι, πενθεῖν, ἀτελεῖς ἔχειν τὰς ὀρέξεις, περιπτωτικὰς ἔχειν τὰς ἐκκλίσεις. εἶτα οὐ θέλομεν τὴν μόνην ἀσφάλειαν δεδομένην ἡμῖν, ἐχυρὰν ποιεῖν; οὐδ' ἀποστάντες τῶν θνητῶν καὶ δούλων τὰ ἀθάνατα καὶ φύσει ἐλεύθερα ἐκπονεῖν; οὐδὲ μεμνήμεθα ὅτι οὔτε βλάπτει ἄλλος ἄλλον, οὔτε ὠφελεῖ, ἀλλὰ τὸ περὶ ἑκάστου τούτων δόγμα; τοῦτο ἐστι τὸ βλάπτον. τοῦτο ἐστι τὸ ἀνατρέπον. τοῦτο μάχη. τοῦτο στάσις. τοῦτο πόλεμος. ἐτεοκλέα καὶ πολυνείκη τὸ πεποιηκὸς οὐκ ἄλλο, ἢ τοῦτο τὸ δόγμα τὸ περὶ τυραννί

φύσις παντός

δος. τὸ δόγμα τὸ περὶ φυγῆς. ὅτι τὸ μὲν ἔσχατον τῶν κακῶν, τὸ δὲ μέγιστον τῶν ἀγαθῶν. φύσις δ' αὕτη παντός, τὸ διώκειν τὸ ἀγαθόν, φεύγειν τὸ κακόν. τὸν ἀφαιρούμενον θάτερον, καὶ περιβάλλοντα τῷ ἐναντίῳ, τοῦτον ἡγεῖσθαι πολέμιον, ἐπίβουλον. κἂν ἀδελφὸς ᾖ, κἂν υἱός, κἂν πατήρ. τοῦ γὰρ ἀγαθοῦ συγγενέστερον οὐδέν. λοιπὸν εἰ ταῦτα ἀγαθὰ καὶ κακά, οὔτε πατὴρ υἱοῖς φίλος, οὔτ' ἀδελφὸς ἀδελφῷ. πάντα δὲ πανταχοῦ μεστὰ πολεμίων, ἐπιβούλων, συκοφαντῶν. εἰ δ' οἵα δεῖ προαίρεσις, τοῦτο μόνον ἀγαθόν ἐστι, καὶ οἵα μὴ δεῖ, τοῦτο μόνον κακόν, ποῦ ἔτι μάχη. ποῦ λοιδορεία. περὶ τίνων. περὶ τῶν οὐδὲν πρὸς ἡμᾶς; πρὸς τίνας. πρὸς τοὺς ἀγνοοῦντας. πρὸς τοὺς δυστυχοῦντας. πρὸς τοὺς ἠπατημένους περὶ τῶν μεγίστων. τούτων Σωκράτης μεμνημένος, τὴν οἰκίαν τὴν αὐτοῦ ᾤκει, γυναικὸς ἀνεχόμενος τραχυτάτης, υἱοῦ ἀγνώμονος. τραχεῖα γὰρ πρὸς τί ἦν. ἵν' ὕδωρ καταχέῃ τῆς κεφαλῆς ὅσον καὶ θέλει. ἵνα καταπατήσῃ τὸν πλακοῦντα. καὶ τί πρὸς ἐμέ. ἂν ὑπολάβω ὅτι ταῦτα οὐκ ἔστι πρὸς ἐμέ, τοῦτο δ' ἐμὸν ἔργον ἐστί. καὶ οὔτε τύραννος κωλύσει με θέλοντα, οὔτε δεσπότης. οὔτε οἱ πολλοὶ τὸν ἕνα. οὔθ' ὁ ἰσχυρότερος τὸν ἀσθενέστερον. τοῦτο γὰρ ἀκώλυτον δέδοται ὑπὸ τοῦ θεοῦ ἑκάστῳ. ταῦτα τὰ δόγματα ἐν οἰκίᾳ φιλίαν ποιεῖ. ἐν πόλει ὁμόνοιαν. ἐν ἔθνεσιν εἰρήνην. πρὸς

Socratis patientia

θεὸν



θεὸν εὐχάριστον. πανταχοῦ θαρροῦντα, ὡς περὶ τῶν ἀλλοτρίων, ὡς περὶ οὐδενὸς ἀξίων. ἀλλ' ἡμεῖς γράψαι μὲν καὶ ἀναγνῶναι ταῦτα, καὶ ἀναγινωσκόμενα ἐπαινέσαι ἱκανοί, πεισθῆναι δ' οὐκ ἐγγύς. τοιγαροῦν τὸ περὶ τῶν Λακεδαιμονίων λεγόμενον. οἴκοι λέοντες, ἐν Ἐφέσῳ δ' ἀλώπεκες, καὶ ἐφ' ἡμῶν ἁρμόσει. ἐν σχολῇ λέοντες, ἔξω δ' ἀλώπεκες.

De Lacedaemoniis eximiu

## Πρὸς τοὺς ἐπὶ τῷ ἐλεεῖσθαι ὀδυνωμένους. ϛ'.

Ἀνιῶμαι φησὶν ἐλεούμενος. πότερον οὖν σὸν ἔργον ἐστὶ τὸ ἐλεεῖσθαί σε, ἢ τῶν ἐλεούντων. τί δ' ἐπὶ σοί ἐστι τὸ παῦσαι αὐτό; ἐπ' ἐμοί. ἂν δεικνύω αὐτοῖς μὴ ἄξιον ἐλέου ὄντα ἐμαυτόν. πότερον δ' ἤδη σοι ὑπάρχει τοῦτο τὸ μὴ εἶναι ἐλέου ἄξιον, ἢ οὐχ ὑπάρχει. δοκῶ ἔγωγε ὅτι ὑπάρχει. ἀλλ' οὗτοί γ' οὐκ ἐπὶ τούτοις ἐλεοῦσιν, ἐφ' οἷς εἴπερ ἄρα ἦν ἄξιον, ἐπὶ τοῖς ἁμαρτανομένοις. ἀλλ' ἐπὶ πενίᾳ καὶ ἀναρχίᾳ, καὶ νόσοις, καὶ θανάτοις, καὶ ἄλλοις τοιούτοις. πότερον οὖν πείθειν παρεσκεύασαι τοὺς πολλούς, ὡς ἄρα οὐδὲν τούτων κακόν ἐστιν, ἀλλ' οἷόν τε καὶ πένητι καὶ ἄρχοντι καὶ ἀτίμῳ εὐδαιμονεῖν. ἢ σαυτὸν ἐπιδεικνύειν αὐτοῖς πλουτοῦντα καὶ ἄρχοντα. τούτων γὰρ τὰ μὲν δεύτερα ἀλαζόνος καὶ ψυχροῦ καὶ οὐδενὸς ἀξίου. καὶ ἡ προσποίησις ὅρα δι' οἵων ἂν γένοιτο. δουλαρίοις σε χρήσασθαι δεήσει, καὶ ἀργυρωμάτια ὀλίγα κεκτῆσθαι, καὶ ταῦτα ἐν φανε-

ρῷ

452 / 4Ff

ῥῷ δεικνύειν εἰ οἷόν τε πάντα πολλάκις, καὶ λανθάνειν πειρᾶσθαι ὅτι ταῦτά ἐστι. καὶ ἱματίδια σιλπνά, καὶ τὴν ἄλλην πομπήν. καὶ τὴν τιμὴν μὴ ἐπὶ τῷ φαίνεσθαι ὑπὸ τῶν ὑποφαινῶν τούτων. καὶ δειπνεῖν παρὰ τισὶ παρ' αὐτοῖς, ἢ δοκεῖν γε ὅτι δειπνεῖς. καὶ περὶ τὸ σῶμα ἔστι τινὰ κακοτεχνεῖν, ὡς εὐμορφότερον φαίνεσθαι καὶ γενναιότερον τοῦ ὄντος. ταῦτά σε δεῖ μηχανᾶσθαι, εἰ τὴν δευτέραν ὁδὸν ἀπιέναι θέλεις, ὥστε μὴ ἐλεεῖσθαι. ἡ πρώτη δ' ἐστὶ καὶ ἀνήνυτος καὶ μακρά, ὃ ὁ Ζεὺς οὐκ ἠδυνήθη ποιῆσαι, τοῦτο αὐτὸ ἐπιχειρεῖν πάντας ἀνθρώπους πεῖσαι τίνα ἐστὶ ἀγαθὰ καὶ κακά. μὴ γὰρ δέδοταί σοι τοῦτο. ἐκεῖνο μόνον σοι δέδοται, σαυτὸν πεῖσαι. καὶ οὔπω πέπεικας. εἶτά μοι νῦν ἐπιχειρεῖς πείθειν τοὺς ἄλλους. καὶ τίς σοι τοσούτῳ χρόνῳ σύνεστιν, ὡς σὺ σαυτῷ. τίς δ' οὕτω πιθανός ἐστί σοι πρὸς τὸ πεῖσαι, ὡς σὺ σαυτῷ. τίς δ' εὐνούστερον καὶ οἰκειότερον ἔχων, ἢ σὺ σαυτῷ. πῶς οὖν οὔπω πέπεικας σαυτὸν μαθεῖν; νῦν οὐχὶ ἄνω κάτω. τουτέστι περὶ ὃ ἐσπούδακας καὶ μανθάνειν ὥστε ἄλυπος εἶναι, καὶ ἀτάραχος, καὶ ἀταπείνωτος, καὶ ἐλεύθερος. πρὸς ταῦτα οὖν οὐκ ἀκήκοας ὅτι μία ἐστὶν ἡ ὁδὸς ἡ φέρουσα, ἀφεῖναι τὰ ἀπροαίρετα, καὶ ἐκστῆναι αὐτῶν, καὶ ὁμολογῆσαι αὐτὰ ἀλλότρια; τὸ οὖν ἄλλον τι ὑπολαβεῖν περὶ σοῦ, ποίου ἄλλου ἐστί; τῶν ἀπροαιρέτων. οὐκοῦν οὐδὲν πρὸς σέ. οὐδέν. ἔτι οὖν δακνόμενος ἐπὶ τούτῳ, καὶ ταρασσόμενος, οἴει πεπεῖσθαι περὶ ἀγαθῶν καὶ κακῶν; οὐ θέλεις οὖν ἀφεὶς τοὺς ἄλ-

Ζ



λους, αὐτὸς σαυτῷ γενέσθαι καὶ μαθητὴς καὶ διδάσκαλος; ὄψονται οἱ ἄλλοι εἰ λυσιτελεῖ αὐτοῖς παρὰ φύσιν ἔχειν καὶ διεξάγειν. ἐμοὶ δ' οὐδείς ἐστιν ἐγγίων ἐμοῦ. τί οὖν τοῦτό ἐστιν; ὅτι τῶν μὲν λόγων ἀκήκοα τῶν φιλοσόφων, καὶ συγκατατίθεμαι αὐτοῖς. ἔργῳ δ' οὐδὲν γέγονα κουφότερος. μήτι οὕτως ἀφυής εἰμι; καὶ μὴν περὶ τὰ ἄλλα ὅσα ἠβουλήθην, οὐ λίαν ἀφυὴς εὑρέθην. ἀλλὰ καὶ γράμματα ταχέως ἔμαθον, καὶ παλαίειν, καὶ γεωμετρεῖν, καὶ συλλογισμοὺς ἀναλύειν. μήτι οὖν οὐ πέπεικέ με ὁ λόγος; καὶ μὴν οὐκ ἄλλα τινὰ οὕτως ἐξ ἀρχῆς ἐδοκίμασα, ἢ εἱλόμην. καὶ νῦν περὶ τούτων ἀναγινώσκω, ταῦτα ἀκούω, ταῦτα γράφω. ἄλλον οὐχ εὑρήκαμεν μέχρι νῦν ἰσχυρότερον τούτου λόγον. τί οὖν τὸ λεῖπόν μοι ἐστί; μὴ οὐκ ἐξήρηται τὰ ἐναντία δόγματα; μὴ αὐταὶ αἱ ὑπολήψεις ἀγύμναστοί εἰσιν, οὐδ' εἰθισμέναι ἀπαντᾶν ἐπὶ τὰ ἔργα, ἀλλ' ὡς ὅπλα ἐπικείμενα κατίωται, καὶ οὐδὲ περιαρμόσαι μοι δύναται; καίτοι οὔτ' ἐπὶ τοῦ παλαίειν, οὔτ' ἐπὶ τοῦ γράφειν, ἢ ἀναγινώσκειν, ἀρκοῦμαι τῷ μαθεῖν, ἀλλ' ἄνω κάτω στρέφω τοὺς προτεινομένους, καὶ ἄλλους πλέκω, καὶ μεταπίπτοντας ὡσαύτως. τὰ δ' ἀναγκαῖα θεωρήματα, ἀφ' ὧν ἔστιν ὁρμώμενον ἄλυπον γενέσθαι, ἄφοβον, ἀπαθῆ, ἀκώλυτον, ἐλεύθερον, ταῦτα δ' οὐ γυμνάζω, οὐδὲ μελετῶ κατὰ ταῦτα τὴν προσήκουσαν μελέτην. εἶτά μοι μέλει τί οἱ ἄλλοι περὶ ἐμοῦ ἐροῦσιν, εἰ φανοῦμαι

454 / 6Ff

Ω ii

συλλογισμοὺς ἀναλύειν

κατίωθ. hesych. ἐρρύπωθ

αὐτοῖς ἀξιόλογος. ἢ φαίνομαι δυσδαίμων. τὸ λοιπὸν πάρεστιν· εἰ θέλεις βλέπειν τί σὺ λέγεις περὶ σαυτοῦ. τίς φαίνῃ σεαυτῷ. τίς ἐν τῷ ὑπολαμβάνειν, τίς ἐν τῷ ὀρέγεσθαι, τίς ἐν τῷ ἐκκλίνειν, τίς ἐν ὁρμῇ, παρασκευῇ, ἐπιβολῇ, τοῖς ἄλλοις τοῖς ἀνθρωπικοῖς ἔργοις. ἀλλὰ μέλλει σοι εἴ σε ἐλεοῦσιν οἱ ἄλλοι; ναί. ἀλλὰ παρὰ τὴν ἀξίαν ἐλεοῦμαι. οὐκοῦν ὀδυνᾷ ἐπὶ τούτῳ; ὁ δέ γε ὀδυνώμενος ἐλεεινός ἐστι; ναί. πῶς οὖν ἔτι παραξίαν ἐλεῇ. αὐτὸς γὰρ οἷς περὶ τὸν ἔλεον πάσχεις, κατασκευάζεις σεαυτὸν ἄξιον τοῦ ἐλεεῖσθαι. τί οὖν λέγει ὁ Ἀντισθένης; οὐδέ ποτ᾽ ἤκουσας; βασιλικὸν ὦ Κῦρε, πράττειν μὲν εὖ, κακῶς δ᾽ ἀκούειν. τὴν κεφαλὴν ὑγιᾶ ἔχω, καὶ πάντες οἴονται ὅτι κεφαλαλγῶ. τί μοι μέλλει. ἀπύρετός εἰμι, καὶ ὡς πυρέσσοντί μοι συνάχθονται. τάλας ἐκ τοσούτου χρόνου οὐ διέλιπες πυρέσσων. λέγω καὶ ἐγὼ σκυθρωπάσας, ὅτι ναί. ταῖς ἀληθείαις πολὺς ἤδη χρόνος ἐξ οὗ μοι κακῶς ἐστι. τί οὖν γένηται. ὡς ἂν ὁ θεὸς θέλῃ, καὶ ἅμα ὑποκαταγελῶ τῶν οἰκτειρόντων με, τί οὖν κωλύει καὶ ἐνταῦθα ὁμοίως. πένης εἰμί. ἀλλὰ ὀρθὸν δόγμα ἔχω περὶ πενίας. τί οὖν μοι μέλλει, εἰ ἐπὶ τῇ πενίᾳ ἐλεοῦσιν. οὐκ ἄρχω, ἄλλοι δ᾽ ἄρχουσιν. ἀλλ᾽ ἃ δεῖ ὑπειληφέναι, ὑπείληφα περὶ τοῦ ἄρχειν καὶ μὴ ἄρχειν. ὄψονται οἱ ἐλεοῦντές με. ἐγὼ δ᾽ οὔτε πεινῶ, οὔτε διψῶ, οὔτε ῥιγῶ. ἀλλ᾽ ἀφ᾽ ὧν αὐτοὶ πεινῶσιν ἢ διψῶσιν,

Antisthenis dictum

7 Ff 455

Egregium



σιν, οἴονται κἀμέ. τί οὖν αὐτοῖς ποιήσω. περιερχόμενος κηρύσσω καὶ λέγω. μὴ πλανᾶσθε ἄνδρες. ἐμοὶ καλῶς ἐστιν. οὔτε πενίας ἐπιστρέφομαι, οὔτε ἀναρχίας, οὔτε ἁπλῶς ἄλλου οὐδενός, ἢ δογμάτων ὀρθῶν. ταῦτα ἔχω ἀκώλυτα. οὐδενὸς πεφρόντικα ἔτι. καὶ τίς αὕτη φλυαρία. πῶς ἔτι ὀρθὰ δόγματα ἔχω, μὴ ἀρκούμενος τῷ εἶναι ὅς εἰμι. ἀλλ᾽ ἐπτοημένος ὑπὲρ τοῦ δοκεῖν. ἀλλ᾽ ἄλλοι πλειόνων τεύξονται, καὶ προτιμηθήσονται. τί οὖν εὐλογώτερον, ἢ τοὺς περί τι ἐσπουδακότας ἐν ἐκείνῳ πλέον ἔχειν, ἐν ᾧ ἐσπουδάκασι. περὶ ἀρχὰς ἐσπουδάκασι; σὺ περὶ δόγματα, καὶ περὶ πλοῦτον; σὺ περὶ τὴν χρῆσιν τῶν φαντασιῶν. ὅρα εἰ ἐν τούτῳ σου πλέον ἔχουσι, περὶ ὃ σὺ μὲν ἐσπούδακας, ἐκεῖνοι δ᾽ ἀμελοῦσιν. εἰ συγκατατίθενται μᾶλλον περὶ τὰ φυσικὰ μέτρα. εἰ ὀρέγονταί σου ἀναποτευκτότερον. εἰ ἐκκλίνουσιν ἀπεριπτωτότερον. εἰ ἐν ἐπιβολῇ, ἐν προθέσει, εἰ ἐν ὁρμῇ μᾶλλον εὐστοχοῦσιν. εἰ τὸ πρέπον σώζουσιν ὡς ἄνδρες, ὡς υἱοί, ὡς γονεῖς. εἶθ᾽ ἑξῆς κατὰ τὰ ἄλλα τῶν σχέσεων ὀνόματα. εἰ δ᾽ ἄρχουσιν ἐκεῖνοι. σὺ δ᾽ οὐ θέλεις σαυτῷ τὰς ἀληθείας εἰπεῖν, ὅτι σὺ μὲν οὐδὲν τούτου ἕνεκα ποιεῖς, ἐκεῖνοι δὲ πάντα. ἀλογώτατον δὲ τὸν ἐπιμελούμενόν τινος, ἔλαττον φέρεσθαι σοῦ. ἢ τὸν ἀμελοῦντα. ἀλλ᾽ ἐπειδὴ φροντίζω ἐγὼ δογμάτων ὀρθῶν, εὐλογώτερόν μέ ἐστιν ἄρχειν. ἐν ᾧ φροντίζεις ἐν δόγμασιν. ἐν ᾧ

456 8Ff



ἐπτοημένος

videtur redundare

δι᾽ ἃ ἄλλοι μᾶλλόν σου πεφροντίκασιν, ἐκείνοις παραχώρει. οἷον τε διὰ τὰ δόγματα ἔχειν ὀρθὰ ἢ ἐξ ἴσης τοξεύων ἐπιτυγχάνειν μᾶλλον τῶν τοξοτῶν. ἢ χαλκεύων μᾶλλον τῶν χαλκέων. ἄφες οὖν τὴν περὶ τὰ δόγματα σπουδὴν. καὶ περὶ ἐκεῖνα ἀναστρέφου ἃ κτήσασθαι θέλεις. καὶ τότε κλαῖε ἐάν σοι μὴ προχωρῇ. κλαίειν γὰρ ἄξιος εἶ. νῦν δὲ πρὸς ἄλλοις γίνεσθαι λέγεις. ἄλλων ἐπιμελεῖσθαι. καὶ πολλοὶ δὲ τοῦτο καλῶς λέγουσιν ὅτι ἔργον ἔργῳ οὐ κοινωνεῖ. ὁ μὲν ἐξ οἴκου ἀναστὰς, ζητεῖ τίν᾽ ἂν ἐξ οἴκου ἀσπάσηται. τίνι κεχαρισμένον λόγον εἴπῃ. τίνι δῶρον πέμψῃ. πῶς τῷ ὀρχηστῇ ἀρέσῃ, πῶς κακοηθισάμενος ἄλλον, ἄλλῳ χαρίσηται. ὅταν εὔχηται περὶ τούτων εὔχηται. ὅταν θύῃ ἐπὶ τούτοις θύῃ. τὸ τοῦ Πυθαγόρου. μὴ δ᾽ ὕπνον μαλακοῖσιν ἐπ᾽ ὄμμασι προσδέξασθαι. ἐνταῦθα παρατέθεικε. πῇ παρέβην τῶν πρὸς κολακείαν. τί ἔρεξα. μήτι ὡς ἐλεύθερος. μήτι ὡς γενναῖος. κἂν εὕρῃ τι τοιοῦτον, ἐπιτιμᾷ ἑαυτῷ καὶ ἐγκαλεῖ. τί γάρ σοι καὶ τοῦτο εἰπεῖν, οὐ γὰρ ἐνῆν ψεύσασθαι. λέγουσι καὶ οἱ φιλόσοφοι, ὅτι οὐδὲν κωλύει ψεῦδος εἰπεῖν. σὺ δ᾽ εἴπερ ταῖς ἀληθείαις οὐδενὸς ἄλλου πεφρόντικας ἢ χρήσεως οἵας δεῖ φαντασιῶν, εὐθὺς ἀναστὰς ἕωθεν, ἐνθυμοῦ τίνα μοι λείπει πρὸς ἀπάθειαν. τίνα πρὸς ἀταραξίαν. τίς εἰμι. μήτι σωμάτιον. μήτι κτῆσις. μήτι φήμη. οὐδὲν τούτων. ἀλλὰ τί. λογικόν εἰμι



ζῷον. τίνα οὖν τὰ ἀπαιτήματα. ἀνάπολει τὰ πεπραγμένα. πῇ παρέβην τῶν πρὸς εὔροιαν. τί ἔρεξα ἢ ἄφιλον ἢ ἀκοινώνητον. τί μοι δέον οὐκ ἐτελέσθη πρὸς ταῦτα. τοσαύτης οὖν διαφορᾶς οὔσης, τῶν ἐπιθυμιῶν, τῶν ἔργων, τῶν εὐχῶν, ἔτι θέλεις τὸ ἴσον ἔχειν ἐκείνοις, περὶ ἃ σὺ μὲν οὐκ ἐσπούδακας, ἐκεῖνοι δ᾽ ἐσπουδάκασιν; εἶτα θαυμάζεις, εἴ σε ἐλεοῦσι, καὶ ἀγανακτεῖς; ἐκεῖνοι δ᾽ οὐκ ἀγανακτοῦσιν, ὅτι σὺ αὐτοὺς ἐλεεῖς. διατί; ὅτι ἐκεῖνοι μὲν πεπεισμένοι εἰσὶν ὅτι ἀγαθῶν τυγχάνουσι. σὺ δ᾽ οὐ πέπεισαι. διατοῦτο σὺ μὲν οὐκ ἀρκῇ τοῖς σοῖς, ἀλλ᾽ ἐφίεσαι τῶν ἐκείνων. ἐκεῖνοι δ᾽ ἀρκοῦνται τοῖς ἑαυτῶν, καὶ οὐκ ἐφίενται τῶν σῶν. ἐπεί τοι εἰ ταῖς ἀληθείαις ἐπέπεισο ὅτι περὶ τὰ ἀγαθὰ σὺ ὁ ἐπιτυγχάνων εἶ, ἐκεῖνοι δ᾽ ἀποπεπλάνηνται, οὐδ᾽ ἂν ἐνεθυμοῦ τί λέγουσι περὶ σοῦ.

## Περὶ ἀφοβίας. ζ.

ΤΙ ποιεῖ φοβερὸν τὸν τύραννον. οἱ δορυφόροι φησί, καὶ αἱ μάχαιραι αὐτῶν καὶ οἱ ἐπὶ τοῦ κοιτῶνος, καὶ οἱ ἀποκλείοντες τοὺς εἰσιόντας. διατί οὖν, ἂν παιδίον αὐτῷ προσαγάγῃς μετὰ τῶν δορυφόρων ὄντι, οὐ φοβεῖται; ἢ ὅτι οὐκ αἰσθάνεται τούτων τὸ παιδίον. ἂν οὖν τῶν δορυφόρων τις αἰσθάνηται, καὶ ὅτι μάχαιραν ἔχουσιν, ἐπ᾽ αὐτὸ δὲ τοῦτο προσέρχηται αὐτῷ, θέλων ἀποθανεῖν διά τινα περίστασιν, καὶ ζητεῖ ὑπ᾽ ἄλλου παθεῖν αὐτὸ εὐκόλως, μήτι φοβεῖται τοὺς

δορυφόρους; θέλει γὰρ τοῦτο δι' ὃ φοβερόν ἐστιν. ἂν οὖν τις μήτ' ἀποθανεῖν μήτε ζῆν θέλων ἐξ ἅπαντος, ἀλλ' ὡς ἂν διδῶται προσέρχηται αὐτῷ, τί κωλύει μὴ δεδοικότα προσέρχεσθαι αὐτόν; οὐδέν. ἂν τις οὖν καὶ πρὸς τὴν κτῆσιν ὡσαύτως ἔχῃ καθάπερ οὗτος πρὸς τὸ σῶμα, καὶ πρὸς τὰ τέκνα καὶ τὴν γυναῖκα, καὶ ἁπλῶς ὑπό τινος μανίας καὶ ἀπονοίας οὕτως ᾖ διακείμενος, ὥστ' ἐν μηδενὶ ποιεῖσθαι τὸ ἔχειν ταῦτα ἢ μὴ ἔχειν, ἀλλ' ὡς ὀστρακίοις τὰ παιδία παίζοντα, περὶ μὲν τῆς παιδιᾶς διαφέρηται, τῶν δ' ὀστρακίων οὐ πεφρόντικεν, οὕτω δὲ καὶ οὗτος τὰς μὲν ὕλας παρ' οὐδὲν ᾖ πεποιημένος, τὴν παιδιὰν δὲ τὴν περὶ αὐτὰς καὶ ἀναστροφὴν ἀσπάζηται, ποῖος ἔτι τούτῳ τύραννος φοβερός, ἢ ποῖοι δορυφόροι, ἢ ποῖαι μάχαιραι αὐτῶν; εἶτα ὑπὸ μανίας μὲν δύναταί τις οὕτω διατεθῆναι πρὸς ταῦτα, καὶ ὑπὸ ἔθους οἱ Γαλιλαῖοι, ὑπὸ λόγου δὲ καὶ ἀποδείξεως, οὐδεὶς δύναται μαθεῖν, ὅτι ὁ θεὸς πάντα πεποίηκε τὰ ἐν τῷ κόσμῳ, καὶ αὐτὸν τὸν κόσμον ὅλον μὲν ἀκώλυτον καὶ αὐτοτελῆ, τὰ ἐν μέρει δ' αὐτοῦ πρὸς χρείαν τῶν ὅλων; τὰ μὲν οὖν ἄλλα πάντα ἀπήλλακται τοῦ δύνασθαι παρακολουθεῖν τῇ διοικήσει αὐτοῦ· τὸ δὲ λογικὸν ζῷον, ἀφορμὰς ἔχει πρὸς ἀναλογισμὸν τούτων ἁπάντων, ὅτι τε μέρος ἐστί, καὶ ποῖόν τι μέρος· καὶ ὅτι τὰ μέρη τοῖς ὅλοις εἴκειν ἔχει κα-

αθὼς

12 ff

Galileos appellat Christianos ut Julian imperator

Γ

Δα

διαφέρη
ὕλας



λῶς, πρὸς τούτοις δὲ φύσει γενναῖον καὶ μεγαλόψυχον καὶ ἐλεύθερον γενόμενον ὁρᾷ, διότι τῶν περὶ αὐτό, τὰ μὲν ἀκώλυτα ἔχει καὶ ἐπ' αὐτῷ· τὰ δὲ κωλυτὰ καὶ ἐπ' ἄλλοις· ἀκώλυτα μέν, τὰ προαιρετικά· κωλυτὰ δὲ τὰ ἀπροαίρετα. καὶ διὰ τοῦτο ἐὰν μὲν ἐν τούτοις μόνοις ἡγήσηται τὸ ἀγαθὸν τὸ αὐτοῦ καὶ συμφέρον, τοῖς ἀκωλύτοις καὶ ἐφ' ἑαυτῷ, ἐλεύθερον ἔσται· εὔρουν· εὐδαίμον· ἀβλαβές· μεγαλόφρον· εὐσεβές· χάριν ἔχον ὑπὲρ πάντων τῷ θεῷ· μηδαμοῦ μεμφόμενον μηδενὶ τῶν ἐφ' αὐτῷ γενομένων, μηδὲν ἐγκαλοῦν· ἂν δ' ἐν τοῖς ἐκτὸς καὶ ἀπροαιρέτοις, ἀνάγκη κωλύεσθαι αὐτό, ἐμποδίζεσθαι, δουλεύειν τοῖς ἐκείνων ἔχουσιν ἐξουσίαν, ἃ τεθαύμακε καὶ φοβεῖται, ἀνάγκη δ' ἀσεβὲς εἶναι, ἅτε βλάπτεσθαι οἰόμενον ὑπὸ τοῦ θεοῦ, καὶ ἄνισον, ὡς ἀεὶ αὐτῷ τοῦ πλείονος περιποιητικόν· ἀνάγκη δὲ καὶ ταπεινὸν εἶναι καὶ μικροπρεπές. ταῦτα τί κωλύει διαλαβόντα ζῆν κούφως καὶ εὐηνίως· πάντα τὰ συμβαίνειν δυνάμενα, πρᾴως ἐκδεχόμενον· τὰ δ' ἤδη συμβεβηκότα φέροντα. θέλεις πενίαν; φέρε, καὶ γνώσῃ τί ἐστι πενία τυχοῦσα καλοῦ ὑποκριτοῦ. θέλεις ἀρχάς; φέρε καὶ πόνους. ἀλλ' ἐξορισμόν. ὅπου ἂν ἀπέλθω, ἐκεῖ μοι καλῶς ἔσται. καὶ γὰρ ἐνθάδε οὐ διὰ τὸν τόπον ἦν μοι καλῶς, ἀλλὰ διὰ τὰ δόγματα ἃ μέλλω μετ' ἐμαυτοῦ ἀποφέρειν. οὐδὲ γὰρ δύναταί τις ἀφε-

λέσθαι αὐτοῦ. ἀλλὰ ταῦτα μόνα ἐμά ἐστι καὶ ἀνα-
φαίρετα. καὶ ἀρκεῖ μοι παρόντα, ὅπου ἂν ὦ. καὶ ὅ,
τι ἂν ποιῶ. ἀλλ' ἤδη καιρὸς ἀποθανεῖν. μὴ τραγῳ-
δεῖ τὸ πρᾶγμα. ἀλλ' εἰπὲ ὡς ἔχει. ἤδη καιρὸς τὴν
ὕλην, ἐξ ὧν συνῆλθεν, εἰς ἐκεῖνα πάλιν ἀναλυθῆναι.
καὶ τί δεινόν. τί μέλλει ἀπόλλυσθαι τῶν ἐν τῷ κόσμῳ,
τί γενέσθαι καινόν. παράλογον. τούτων ἕνεκα ὁ τύ-
ραννος φοβερός ἐστι; διὰ ταῦτα οἱ δορυφόροι μεγά-
λας δοκοῦσιν ἔχειν τὰς μαχαίρας καὶ ὀξείας; ἄλ-
λοις ταῦτα. ἐμοὶ δ' ἔσκεπται περὶ πάντων. εἰς ἐμὲ
οὐδεὶς ἐξουσίαν ἔχει. ἠλευθέρωμαι ὑπὸ τοῦ θεοῦ. ἔγνω-
κα αὐτοῦ τὰς ἐντολάς. οὐκέτι οὐδεὶς δουλαγωγῆσαί
με δύναται. καρπιστὴν ἔχω οἷον δεῖ. δικαστὰς οἵους
δεῖ, οὐχὶ τοῦ σώματός μου κύριος εἶ; τί οὖν πρὸς
ἐμέ. οὐχὶ φυγῆς ἢ δεσμῶν; πάλιν τούτων πάντων
καὶ τοῦ σωματίου ὅλου σοὶ αὐτοῦ ἐξίσταμαι ὅταν
θέλῃς. πείρασαί σου τὴν ἀρχήν. καὶ γνώσῃ μέχρι
τίνος αὐτὴν ἔχεις. τίνα οὖν ἔτι φοβηθῆναι δύνα-
μαι. τοὺς ἐπὶ τοῦ κοιτῶνος, μή τι ποιήσωσιν, ἀποκλεί-
σωσί με; ἄν με εὕρωσιν θέλοντα εἰσελθεῖν, ἀποκλει-
σάτωσαν. τί οὖν ἔρχῃ ἐπὶ θύρας. ὅτι καθήκειν ἐμ-
αυτῷ δοκῶ μενούσης τῆς παιδιᾶς, συμπαίζειν.
πῶς οὖν οὐκ ἀποκλείῃ. ὅτι ἂν μή τίς με δέχηται,
οὐ θέλω εἰσελθεῖν. ἀλλ' ἀεὶ μᾶλλον ἐκεῖνο θέλω
τὸ γινόμενον. κρεῖττον γὰρ ἡγοῦμαι ὃ ὁ θεὸς θέλει
ἢ ἐγώ. προσκείσομαι διάκονος, καὶ ἀκόλουθος ἐκεί-



νῳ. συνορμῶ. ὀρέγομαι. ἁπλῶς συνθέλω. ἀποκλει-
σμὸς ἐμοὶ οὐ γίνεται. ἀλλὰ τοῖς βιαζομένοις. διὰ τί
οὖν οὐ βιάζομαι. οἶδα γὰρ ὅτι ἔσω ἀγαθὸν οὐδὲν
διαδίδοται τοῖς εἰσελθοῦσιν. ἀλλ' ὅταν ἀκούσω
τινὰ μακαριζόμενον, ὅτι τιμᾶται ὑπὸ τοῦ καίσα-
ρος, λέγω. τί αὐτῷ συμβαίνει. μή τι οὖν καὶ δόγ-
μα οἷον δεῖ; ἐπαρχίαν. μή τι οὖν καὶ τὸ χρῆσθαι
ἐπιτροπῇ; τί ἔτι διωθοῦμαι. ἰσχάδας καὶ κάρυά τις διαρ-
ρίπτει. τὰ παιδία ἁρπάζει, καὶ ἀλλήλοις δια-
μάχεται, οἱ ἄνδρες οὐχί. μικρὸν γὰρ αὐτὰ ἡγοῦ-
νται. ἂν δ' ὄστρακα διαρρίπτῃ τις, οὐδὲ τὰ παι-
δία ἁρπάζει. ἐπαρχίαι διαδίδονται. ὄψεται τὰ
παιδία. ἀργύριον. ὄψεται τὰ παιδία. στρατηγία.
ὑπατεία. διαρπαζέτω τὰ παιδία. ἐκκλειέσθω.
τυπτέσθω. καταφιλείτω τὰς χεῖρας τοῦ διδόν-
τος. τῶν δούλων. ἐμοὶ δὲ ἰσχάδες καὶ κάρυόν ἐστιν. ἂν
ἀποτύχῃς ῥιπτοῦντος αὐτοῦ μὴ φρόντιζε. ἂν σοῦ
ἔλθῃ εἰς τὸν κόλπον ἰσχὰς, ἄρας κατάφαγε. μέ-
χρι τοσούτου γάρ ἐστι καὶ ἰσχάδα τιμῆσαι. εἰ δὲ κρύ-
ψω καὶ ἄλλον ἀνατρέψω, ἢ ὑπ' ἄλλου ἀνατραπῶ,
καὶ κολακεύσω τοὺς εἰσιόντας, οὐκ ἀξία οὔτ' ἰσχὰς,
οὔτ' ἄλλό τι τῶν οὐκ ἀγαθῶν, ἅ με ἀναπεπεί-
κασιν οἱ φιλόσοφοι, μὴ δοκεῖν ἀγαθὰ εἶναι. δεικνύε
μοι τὰς μαχαίρας τῶν δορυφόρων. ἰδοὺ ἡλίκαι
εἰσί, καὶ πῶς ὀξεῖαι. τί οὖν ποιοῦσιν αἱ μεγάλαι
αὗται μάχαιραι καὶ ὀξεῖαι. ~~ἀποκτείνουσι~~. τι-

ρετὸς δὲ τί ποιεῖ; ἄλλο οὐδέν. κέραμις δὲ τί ποιεῖ;
ἄλλο οὐδέν. θέλεις οὖν πάντα ταῦτα θαυμάζω καὶ
προσκυνῶ, καὶ δοῦλος πάντων περιέρχωμαι; μὴ
γένοιτο. ἀλλ' ἅπαξ μαθὼν ὅτι τὸ γινόμενον, καὶ
φθαρῆναι δεῖ, ἵνα ὁ κόσμος μὴ ἵστηται μηδ' ἐμ-
ποδίζηται, οὐκέτι διαφέρομαι, πότερον πυρετὸς
αὐτὸ ποιήσει, ἢ κέραμις, ἢ στρατιώτης. ἀλλ' εἰ δεῖ
συγκρῖναι, οἶδ' ὅτι ἀπονώτερον αὐτὸ καὶ ταχύτερον
ὁ στρατιώτης ποιήσει. ὅταν οὖν μήτε φοβῶμαι τί ὧν
διαθεῖναί με δύναται, μήτ' ἐπιθυμῶ τινος ὧν πα-
ρασχεῖν, τί ἔτι θαυμάζω αὐτόν; τί ἔτι τέθηπα; τί φο-
βοῦμαι τοὺς δορυφόρους; τί χαίρω, ἂν μοι φιλαν-
θρώπως λαλήσῃ, καὶ ἀποδέξηταί με; καὶ ἄλλοις
Σ διηγοῦμαι πῶς μοι ἐλάλησε; μὴ γὰρ Σωκράτης ἐστί;
Δ μὴ γὰρ Διογένης, ἵν' ὁ ἔπαινος αὐτοῦ ἀπόδειξις ᾖ
# περὶ ἐμοῦ; μὴ γὰρ τὸ ἦθος ἐζήλωκα αὐτοῦ; ἀλλὰ τὴν
παιδιὰν σώζων ἔρχομαι πρὸς ἐμαυτόν, καὶ ὑπη-
ρετῶ μέχρις ἂν ὅτ' ἂν μηδὲν ἀβέλτερον κελεύῃ.
ἄρρυθμον μὴ δ' ἀρρύθμον. ἂν δέ μοι λέγῃ, ἄπελθε ἐπὶ Λέον- Λ
Leo Sala- Σ τα τὸν Σαλαμίνιον, λέγω αὐτῷ, ζήτει ἄλλον. ἐγὼ
minius γὰρ οὐκέτι παίζω. ἄπαγε αὐτόν. ἀκολουθῶ συμπαί-
1 C9 ζω. ἀλλ' ἀφαιρεῖταί σου ὁ τράχηλος. ἐκεῖνον δ'
465 αὐτῷ ἐπιμένει; ὑμῶν δὲ τῶν πειθομένων; ἀλλ' ἄ-
ταφος ῥιφήσῃ. εἰ ἐγὼ εἰμὶ ὁ νεκρός, ῥιφήσομαι. εἰ
δ' ἄλλος εἰμὶ τοῦ νεκροῦ, κομψότερον λέγε ὡς ἔχει
τὸ πρᾶγμα, καὶ μὴ ἐκφόβει με. τοῖς παιδίοις ταῦ-

διαφέρομαι · curo

 11-C. παρασκευάζουσι

τα φοβερά ἐστι καὶ τοῖς ἀνοήτοις. εἰ δέ τις εἰς φιλο-
σόφου σχολὴν ἅπαξ εἰσελθὼν οὐκ οἶδε τί ἐστιν, αὐ-
τὸς ἄξιός ἐστι φοβεῖσθαι καὶ κολακεύειν ὃ ὕστερον
ἐκολάκευεν. εἰ μήπω μεμάθηκεν, ὅτι οὐκ ἔστι σάρξ,
οὐδ' ὀστᾶ, οὐδὲ νεῦρα· ἀλλὰ τὸ τούτοις χρώμενον,
διοικοῦν, καὶ παρακολουθοῦν ταῖς φαντασίαις.
ναί· ἀλλ' οἱ λόγοι οὗτοι καταφρονητὰς ποιοῦσι τῶν
νόμων. καὶ ποῖοι μᾶλλον λόγοι πειθομένους παρέ-
χουσι τοῖς νόμοις τοὺς χρωμένους. νόμος δ' οὐκ
ἔστι τὸ ἐπὶ μωρῷ. καὶ ὅμως ὅρα πῶς καὶ πρὸς τού- *
τοις ὡς δεῖ ἔχοντας *παρασκευάζουσιν, οἵ γε διδά- παρασκευάζει
σκουσι μηδενὸς ἀντιποιεῖσθαι πρὸς αὐτούς, ἐν οἷς
ἂν ἡμᾶς νικῆσαι δύνωνται. περὶ τὸ σωμάτιον δι-
δάσκουσιν ἐξίστασθαι. περὶ τὰ τέκνα, γονεῖς, ἀδελ-
φούς, πάντων παραχωρεῖν, πάντα ἀφιέναι. μόνα
τὰ δόγματα ὑπεξαιροῦνται, ἃ καὶ ὁ Ζεὺς ἐξαί- Ζ
466 ρετα ἑκάστου εἶναι ἠθέλησε. ποία ἐνθάδε παρανο-
μία; ποία ἀβελτηρία; ὅπου κρείττων εἶ καὶ ἰσχυ-
C9 ρότερος, ἐκεῖ σοι ἐξίσταμαι. ὅπου πάλιν ἐγὼ κρείτ-
των, σὺ παραχώρει μοι. ἐμοὶ γὰρ μεμέληκε. σοὶ δ'
οὔ. σοὶ μέλλει πῶς ἐν λιθοστρώτοις οἰκήσεις.
πῶς παῖδές σοι καὶ πελάται διακονῶσι. πῶς ἐσ-
θῆτα περίβλεπτον φορῇς. πῶς κυνηγοὺς πολ-
λοὺς ἔχῃς. πῶς κιθαρῳδούς, τραγῳδούς. μήτι ἀν-
τιποιοῦμαι; μήτι σοὶ δογμάτων σοι μεμέληκε;
μήτι τοῦ λόγου τοῦ σεαυτοῦ; μήτι οἶδας ἐκ τίνων μο-

Lithostrota

πελάται

ἰδίαν συνέστηκε; πῶς συνάγεται; τίς ἡ διάρθρωσις αὐτῆς; τίνας ἔχει δυνάμεις, καὶ ποίας τινάς; τί οὖν ἀγανακτεῖς εἰ ἄλλος ἐν τούτοις σοῦ πλέον ἔχει ὁ μεμελετηκώς; ἀλλὰ ταῦτ' ἐστὶ τὰ μέγιστα. καὶ τίς σε κωλύει περὶ ταῦτ' ἀναστρέφεσθαι καὶ τούτων ἐπιμελεῖσθαι; τίς δὲ μᾶλλον ἔχει παρασκευὴν βιβλίων, σχολῆς, τῶν ὠφελησόντων; μόνον ἀπόνευσόν ποτε ἐπὶ ταῦτα. ἀπόνειμον κἂν ὀλίγον χρόνον τῷ σαυτοῦ ἡγεμονικῷ· σκέψαι τί ποτ' ἔχεις τοῦτο καὶ πόθεν ἐλήλυθος, τὸ πᾶσι τοῖς ἄλλοις χρώμενον, πάντα τἆλλα δοκιμάζον, ἐκλεγόμενον, ἀπεκλεγόμενον. μέχρι δ' ἀεὶ οὐ περὶ τὰ ἐκτὸς ἀναστρέφῃ, ἐκεῖνα ἕξεις οἷα οὐδείς· τοῦτο δ' οἷον αὐτὸ ἔχειν θέλεις, ῥυπαρὸν καὶ ἀτημέλητον.

467
3 Gg

## Πρὸς τοὺς ταχέως ἐπὶ τὸ σχῆμα τῶν φιλοσόφων ἐπιπηδῶντας. η.

Μηδέποτ' ἀπὸ τῶν κοινῶν τινα, μήτ' ἐπαινέσητε μήτε ψέξητε, μήτε τέχνην τινὰ ἢ ἀτεχνίαν προσμαρτυρήσητε· καὶ ἅμα μὲν προπετείας ἑαυτοὺς ἀπαλλάξετε, ἅμα δὲ κακοηθείας. οὗτος ταχέως λούεται. κακῶς οὖν ποιεῖ; οὐ πάντως. ἀλλὰ τί; ταχέως λούεται. πάντα οὖν καλῶς γίνεται; οὐδαμῶς. ἀλλὰ τὰ μὲν ἀπὸ δογμάτων ὀρθῶν, καλῶς· τὰ δ' ἀπὸ μοχθηρῶν, μοχθηρῶς. σὺ δὲ μέχρις ἂν μάθῃς τὸ δόγμα ἀφ' οὗ τις

ἀτημέλητον



ποιεῖ ἕκαστα, μήτ' ἐπαίνει τὸ ἔργον, μήτε ψέγε. δόγματα δ' ἐκ τῶν ἐκτὸς οὐ ῥᾳδίως κρίνεται. οὗτος τέκτων ἐστί. διατί; χρῆται σκεπάρνῳ. τί οὖν τοῦτο; οὗτος μουσικός. ᾄδει γὰρ. καὶ τί τοῦτο; οὗτος φιλόσοφος. διατί; τρίβωνα γὰρ ἔχει καὶ κόμην. οἱ δ' ἀγύρται τί ἔχουσι; διὰ τοῦτο ἂν ἀσχημονοῦντά τις ἴδῃ τινὰ αὐτῶν, εὐθὺς λέγει· ἰδοῦ ὁ φιλόσοφος ποιεῖ. ἔδει δ' ἀφ' ὧν ἀσχημονεῖ, μᾶλλον λέγειν αὐτὸν μὴ εἶναι φιλόσοφον. εἰ μὲν γὰρ αὕτη ἐστὶν ἡ τοῦ φιλοσόφου πρόληψις καὶ ἐπαγγελία, ἔχειν τρίβωνα καὶ κόμην, καλῶς ἔλεγον· εἰ δ' ἐκείνη μᾶλλον, ἀναμάρτητον εἶναι, διατί οὐχὶ διὰ τὸ μὴ πληροῦν τὴν ἐπαγγελίαν, ἀφαιροῦνται αὐτὸν τῆς προσηγορίας; οὕτω γὰρ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν. ὅταν ἴδῃ τις κακῶς πελεκῶντα, οὐ λέγει τί ὄφελος τεκτονικῆς; ἰδοῦ οἱ τέκτονες οἷα ποιοῦσι κακά. ἀλλὰ πᾶν τοὐναντίον λέγει· οὗτος οὐκ ἔστι τέκτων· πελεκᾷ γὰρ κακῶς. ὁμοίως κἂν ᾄδοντός τινος ἀκούσῃ κακῶς, οὐ λέγει ἰδοῦ πῶς ᾄδουσιν οἱ μουσικοί· ἀλλὰ μᾶλλον οὗτος ὅτι οὐκ ἔστι μουσικός. ἐπὶ φιλοσοφίας δὲ μόνης τοῦτο πάσχουσιν. ὅταν τινὰ ἴδωσι παρὰ τὸ ἐπάγγελμα τὸ τοῦ φιλοσόφου ποιοῦντα, οὐχὶ τῆς προσηγορίας ἀφαιροῦνται αὐτόν, ἀλλὰ θέντες εἶναι φιλόσοφον, εἶτ' ἀπ' αὐτοῦ τοῦ γινομένου λαβόντες ὅτι ἀσχημονεῖ, ἐπάγουσι μηδὲν ὄφελος εἶναι τοῦ φιλοσοφεῖν. τί οὖν τὸ αἴτιον; ὅτι τὴν μ

ἀγύρται

468
Gg

Tribonē & comā gerebat philosophi. comā dico lo gam ut patet facie sequēte

τοῦ τέκτονος πρόληψιν περισῴζομεν, καὶ τὴν τοῦ μουσικοῦ· καὶ ὡσαύτως τῶν ἄλλων τεχνιτῶν. τὴν τοῦ φιλοσόφου δ' οὔ. ἀλλ' ἅτε συγκεχυμένην καὶ ἀδιάρθρωτον ἀπὸ τῶν ἐκτὸς μόνον κρίνομεν. ἢ ποία ἄλλη τέχνη ἀπὸ σχήματος ἀναλαμβάνεται καὶ κόμης, οὐχὶ δὲ καὶ θεωρήματα ἔχει καὶ ὕλην καὶ τέλος. τίς οὖν ὕλη τοῦ φιλοσόφου. μὴ τρίβων; οὔ. ἀλλ' ὁ λόγος. τί τέλος. μή τι φορεῖν τρίβωνα; οὔ. ἀλλὰ τὸ ὀρθὸν ἔχειν τὸν λόγον. ποῖα θεωρήματα. μή τι τὰ περὶ τοῦ πῶς πώγων μέγας γίνεται, ἢ κόμη βαθεῖα; ἀλλὰ μᾶλλον ἃ Ζήνων λέγει. γνῶναι τὰ τοῦ λόγου στοιχεῖα ποῖόν τι ἕκαστον αὐτῶν ἐστι. καὶ πῶς ἁρμόττεται πρὸς ἄλληλα. καὶ ὅσα τούτοις ἀκόλουθά ἐστιν. οὐ θέλεις οὖν ἰδεῖν πρῶτον εἰ πληροῖ τὴν ἐπαγγελίαν ἀσχημονῶν, καὶ οὕτω τῷ ἐπιτηδεύματι ἐγκαλεῖν; νῦν δ' αὐτὸς ὅταν σωφρονῇς ἐξ ὧν ποιεῖν σοι δοκεῖ κακῶς, λέγεις ὅρα τὸν φιλόσοφον, ὡς πρέποντος λέγειν τὸν ταῦτα ποιοῦντα, φιλόσοφον. καὶ πάλιν τοῦτο φιλόσοφόν ἐστιν. ὅρα δὲ τὸν τέκτονα οὐ λέγεις, ὅταν μοιχεύοντά τινα γνῷς ἢ λιχνεύοντα ἴδῃς. οὐδὲ ὅρα τὸν μουσικόν. οὕτως ἐπὶ ποσὸν αἰσθάνῃ καὶ αὐτὸς τῆς ἐπαγγελίας τοῦ φιλοσόφου, ἀπολισθαίνεις δὲ καὶ συγχέῃ ὑπὸ ἀμελετησίας. ἀλλὰ καὶ αὐτοὶ οἱ καλούμενοι φιλόσοφοι, ἀπὸ τῶν κοινῶν τὸ πρᾶγμα μετίασιν, εὐθὺς ἀναλαβόντες τρίβωνα, καὶ πώγωνα καθέντες

θέντες

ὕλην ὕλη — Zeno — κόμη βαθεῖα





θέντες, φασίν· ἐγὼ φιλόσοφός εἰμι. οὐδεὶς δ' ἐρεῖ ἐγὼ μουσικός εἰμι, ἂν πλῆκτρον καὶ κιθάραν ἀγοράσῃ· οὐδ' ἐγὼ χαλκεύς εἰμι, ἂν πιλίον καὶ περίζωμα περιθῆται. ἀλλ' ἁρμόζεται μὲν τὸ σχῆμα πρὸς τὴν τέχνην· ἀπὸ τῆς τέχνης δὲ τὸ ὄνομα, οὐκ ἀπὸ τοῦ σχήματος ἀναλαμβάνουσι. διὰ τοῦτο καλῶς Εὐφράτης ἔλεγεν, ὅτι ἐπὶ πολὺ ἐπειρώμην λανθάνειν φιλοσοφῶν. καὶ ἦν μοι φησὶ τοῦτο ὠφέλιμον. πρῶτον μὲν γὰρ ᾔδειν ὅσα καλῶς ἐποίουν, ὅτι οὐ διὰ τοὺς θεατὰς ἐποίουν· ἀλλὰ δι' ἐμαυτόν. ἤσθιον ἐμαυτῷ καλῶς. κατεσταλμένον εἶχον τὸ βλέμμα. τὸ περίπατον. πάντα ἐμαυτῷ καὶ θεῷ. εἶτα ὥσπερ μόνος ἠγωνιζόμην, οὕτω καὶ μόνος ἐκινδύνευον. οὐδὲν ἐμοὶ δράσαντι τὸ αἰσχρὸν ἢ ἀπρεπές, τὸ φιλοσοφίας ἐκινδύνευε. οὐδ' ἔβλαπτον τοὺς πολλοὺς ὡς φιλόσοφος ἁμαρτάνων. διὰ τοῦτο οἱ μὴ εἰδότες μου τὴν ἐπιβολήν, ἐθαύμαζον πῶς πᾶσι φιλοσόφοις χρώμενος καὶ συζῶν, αὐτὸς οὐκ ἐφιλοσόφουν. καὶ τί κακὸν ἐν οἷς μὲν ἐποίουν ἐπιγινώσκεσθαι τὸν φιλόσοφον, ἐν δὲ τοῖς συμβόλοις μή. βλέπε πῶς ἐσθίω. πῶς πίνω. πῶς καθεύδω. πῶς ἀνέχομαι. πῶς ἀπέχομαι. πῶς συνεργῶ. πῶς ὀρέξει χρῶμαι. πῶς ἐκκλίσει. πῶς τηρῶ τὰς σχέσεις τὰς φυσικὰς ἢ ἐπιθέτους. ὡς ἀσυγχύτως καὶ ἀπαραποδίστως. ἐκεῖθέν με κρῖνε εἰ δύνασαι. εἰ δ' οὕτω κωφὸς εἶ καὶ τυφλός,

Euphrates

471 76g



πιλίον περίζωμα > χαλκεύς

H

ἵνα μὴ δὲ τὸν Ἥφαιστον ὑπολαμβάνῃς καλὸν χαλκέα, ἂν μὴ τὸ πιλίον ἴδῃς περὶ τὴν κεφαλὴν περικείμενον, τί κακὸν ὑφ' οὕτως ἠλιθίου κριτοῦ ἀγνοεῖσθαι; οὕτως ἐλάνθανε παρὰ τοῖς πλείστοις Σωκράτης, καὶ ἤρχοντο πρὸς αὐτὸν ἀξιοῦντες φιλοσόφοις συσταθῆναι. Σ

Socrates

μή τι οὖν ἠγανάκτει ὡς ἡμεῖς, καὶ ἔλεγεν, ἐγὼ δέ σοι οὐ φαίνομαι φιλόσοφος; ἀλλ' ἀπῆγε καὶ συνίστα, ἓν ἀρκούμενος τῷ εἶναι φιλόσοφος· χαίρων δὲ καὶ ὅτι μὴ δάκνων οὐκ ἐδόκει τὸ εἶναι. ἐμέμνητο γὰρ τοῦ ἰδίου ἔργου. τί ἔργον καλοῦ καὶ ἀγαθοῦ; μαθητὰς πολλοὺς ἔχειν; οὐδαμῶς. ὄψονται οἱ περὶ τοῦτο ἐσπουδακότες. ἀλλὰ θεωρήματα δύσκολα ἀκριβοῦν; ὄψονται καὶ περὶ τούτων οἱ ἄλλοι. ποῦ οὖν αὐτὸς ἦν, καὶ τίς ἦν καὶ εἶναι ἤθελεν; ὅπου βλάβη καὶ ὠφέλεια. εἴ με τίς φησι βλάψαι δύναται, ἐγὼ οὐδὲν ποιῶ. εἰ ἄλλον περιμένω ἵνα με ὠφελήσῃ, ἐγὼ οὐδέν εἰμι. θέλω τι καὶ οὐ γίνεται, ἐγὼ ἀτυχής εἰμι. εἰς τοσοῦτο σκάμμα προεκαλεῖτο πάντα ὁντιναοῦν. καὶ οὐκ ἄν μοι δοκῇ ἐκστῆναι οὐδενί. τί δοκεῖς; καταγγέλλων καὶ λέγων, ἐγὼ τοιοῦτός εἰμι; μὴ γένοιτο. ἀλλὰ ὢν τοιοῦτος. πάλιν γὰρ τοῦ μωροῦ καὶ ἀλαζόνος· ἐγὼ ἀπαθής εἰμι καὶ ἀτάραχος. μὴ ἀγνοεῖτε ὦ ~~αὐτοὶ~~ ὅτι ὑμῶν κυκωμένων καὶ θορυβουμένων περὶ τὰ μηδενὸς ἄξια, μόνος ἐγὼ ἀπήλλαγμαι πάσης ταραχῆς; οὕτως οὐκ ἀρκεῖ σοι τὸ μηδὲν ἀλγεῖν, ἂν μὴ κηρύξῃς, συνέλθετε πάντες οἱ ποδαγρῶντες, οἱ κεφαλαλγοῦντες, οἱ πυρέσσοντες, οἱ

472
869
ἄνθρωποι



χωλοί, οἱ τυφλοί, καὶ ἴδετέ με ἀπὸ παντὸς πάθους ὑγιᾶ; τοῦτο κενὸν καὶ φορτικόν. εἰ μή τις ὡς ὁ Ἀσκληπιὸς εὐθὺς ὑποδεῖξαι δύνασαι, πῶς θεραπευόμενοι κἀκεῖνοι εὐθὺς ἔσονται ἄνοσοι· καὶ εἰς τοῦτο φέρεις παράδειγμα τὴν ὑγείαν τὴν σαυτοῦ. τοιοῦτος γάρ ἐστιν ὁ κυνικὸς τοῦ σκήπτρου καὶ διαδήματος ἠξιωμένος παρὰ τοῦ Διὸς καὶ λέγων· ἵν' ἴδητε ὦ ἄνθρωποι, Α Δ ὅτι τὴν εὐδαιμονίαν καὶ ἀταραξίαν οὐχ ὅπου ἐστὶ ζητεῖτε, ἀλλ' ὅπου μή ἐστιν, ἰδοὺ ἐγὼ ὑμῖν παράδειγμα ὑπὸ τοῦ θεοῦ ἀπέσταλμαι. μήτε κτῆσιν ἔχων, μήτε οἶκον, μήτε γυναῖκα, μήτε τέκνα. ἀλλὰ μηδ' ὑπόστρωμα, μηδὲ χιτῶνα μηδὲ σκεῦος. καὶ ἴδετε πῶς ὑγιαίνω. πειράθητέ μου, κἂν ἴδητε ἀτάραχον, ἀκούσατε τὰ φάρμακα, καὶ ὑφ' ὧν ἐθεραπεύθην. τοῦτο γὰρ ἤδη καὶ φιλάνθρωπον καὶ γενναῖον. ἀλλ' ὁρᾶτε τίνος ἔργον ἐστί. τοῦ Διός, Δ ἢ ὃν ἂν ἐκεῖνος ἄξιον κρίνῃ ταύτης τῆς ὑπηρεσίας. ἵνα μηδαμοῦ μηδὲν παραγυμνώσῃ πρὸς τοὺς πολλούς, δι' οὗ τὴν μαρτυρίαν τὴν αὐτοῦ ἣν τῇ ἀρετῇ μαρτυρεῖ, καὶ τῶν ἐκτὸς καταμαρτυρεῖ, αὐτὸς ἄκυρον ποιήσῃ. οὔτ' ὠχρήσαντα χρόα κάλλιμον, οὔτε παρειῶν δάκρυ ὀμορξάμενον. καὶ οὐ μόνον τοῦτο, ἀλλ' οὐδὲ ποθοῦντά τι ἢ ἐπιζητοῦντα, ἄνθρωπον, ἢ τόπον, ἢ διαγωγήν· ὡς τὰ παιδία τὸν φύγετον ἢ τὰς ἀργίας. αὐτὸν δεῖ πανταχοῦ κεκοσμημένον, ὡς οἱ ἄλλοι τοίχοις καὶ θύραις καὶ θυρω-

ροῖς. νῦν δ' αὐτὸ μόνον κινηθέντες πρὸς φιλοσοφίαν ὡς οἱ κακοστόμαχοι πρός τι βρωμάτιον ὃ μετὰ μικρὸν σικχαίνειν μέλλουσιν. εὐθὺς ἐπὶ τὸ σκῆπτρον, ἐπὶ τὴν βασιλείαν. καθῆκε τὴν κόμην. ἀνείληφε τρίβωνα. γυμνὸν δεικνύει τὸν ὦμον. μάχεται τοῖς ἀπαντῶσι. κἂν ἐν φαινόλῃ τινὰ ἴδῃ, μάχεται αὐτῷ. ἄνθρωπε. χειμάσκησον πρῶτον. ἰδοῦ σοῦ τὴν ὁρμήν. μὴ κακοστομάχου ἢ κισσώσης γυναικός ἐστι. ἀγνοεῖσθαι μελέτησον πρῶτον τίς εἶ. σαυτῷ φιλοσόφησον ὀλίγον χρόνον. οὕτω καρπὸς γίνεται. κατορυγῆναι δεῖ. χρόνῳ τὸ σπέρμα κρυφθῆναι. κατὰ μικρὸν αὐξηθῆναι, ἵνα τελεσφορηθῇ. ἂν δὲ πρὸ τοῦ γόνυ φῦσαι, τὸν στάχυν ἐξενέγκῃ, ἀτελής ἐστιν, ἐκ κήπου ἀδωνιακοῦ. τοιοῦτον εἶ καὶ σὺ φυτάριον. θᾶττον τοῦ δέοντος ἤνθηκας. ἀποκαύσει ὁ χειμών. ἰδοὺ τί λέγουσιν οἱ γεωργοὶ περὶ τῶν σπερμάτων. ὅταν πρὸ ὥρας θερμασίαι γένωνται, ἀγωνιῶσι μὴ ἐξυβρίσῃ τὰ σπέρματα. εἶτα αὐτὰ πάγος εἷς λαβὼν ἐξελέγξῃ. ὅρα καὶ σὺ ἄνθρωπε. ἐξύβρικας. ἐπιπεπήδηκας δοξαρίῳ πρὸ ὥρας. δοκεῖς τις εἶναι. μωρὸς παρὰ μωροῖς. ἀποπαγήσῃ, μᾶλλον δ' ἀποπέπηγας ἤδη ἐν τῇ ῥίζῃ κάτω. τὰ δ' ἄνω σου μικρὸν ἔτι ἀνθεῖ. καὶ διὰ τοῦτο δοκεῖς ἔτι ζῆν καὶ θάλλειν. ἄφες ἡμᾶς γε κατὰ φύσιν πεπανθῆναι. τί ἡμᾶς ἀποδύεις. τί βιάζῃ. οὔπω δυνάμεθα ἐνεγκεῖν τὸν ἀέρα. ἔασον τὴν ῥίζαν



αὐξηθῆναι. εἶτα γόνυ λαβεῖν τὸ πρῶτον. εἶτα τὸ δεύτερον. εἶτα τὸ τρίτον. εἶθ' οὕτως ὁ καρπὸς ἐκβιάσεται τὴν φύσιν, κἂν ἐγὼ μὴ θέλω. τίς γὰρ ἐγκύμων γενόμενος καὶ πλήρης τηλικούτων δογμάτων, οὐχὶ καὶ αἰσθάνεταί τι τῆς αὐτοῦ παρασκευῆς, καὶ ἐπὶ τὰ κατάλληλα ἔργα ὁρμᾷ. ἀλλὰ ταῦρος μὲν οὐκ ἀγνοεῖ τὴν αὐτοῦ φύσιν καὶ παρασκευήν. ὅταν ἐπιφανῇ τι θηρίον. οὐδ' ἀναμένει τὸν προτρεψόμενον. οὐδὲ κύων ὅταν ἴδῃ τι τῶν ἀγρίων ζώων. ἐγὼ δ' ἂν ἔχω τὴν ἀνδρὸς ἀγαθοῦ παρασκευήν; ἐκδέξομαι ἵνα με σὺ παρασκευάσῃς ἐπὶ τὰ οἰκεῖα ἔργα; νῦν δ' οὔπω ἔχω. πίστευσόν μοι. τί οὖν με πρὸ ὥρας ἀποξηρανθῆναι θέλεις, ὡς αὐτὸς ἐξηράνθης.

## Πρὸς τὸν εἰς ἀναισχυντίαν μεταβληθέντα. θ.

Ὅταν ἄλλον ἴδῃς ἄρχοντα, ἀντίθες ὅτι σὺ ἔχεις τὸ μὴ δεῖσθαι ἀρχῆς. ὅταν ἄλλον πλουτοῦντα, ἰδοὺ τί ἀντὶ τούτου ἔχεις. εἰ μὲν γὰρ μηδὲν ἔχεις ἀντ' αὐτοῦ, ἄθλιος εἶ. εἰ δ' ἔχεις τὸ μὴ χρείαν ἔχειν πλούτου, γίνωσκε ὅτι πλεῖον ἔχεις. καὶ πολλῷ πλείονος ἄξιον. ἄλλος γυναῖκα εὔμορφον. σὺ τὸ μὴ ἐπιθυμεῖν εὐμόρφου γυναικός. μικρά σοι δοκεῖ ταῦτα; καὶ πόσου ἂν τιμήσαιντο αὐτοὶ οὗτοι οἱ πλουτοῦντες καὶ ἄρχοντες, καὶ μετ' εὐμόρφων διατώμενοι, δύνασθαι πλούτου κα-

περιφρονεῖν καὶ ἀρχῶν. καὶ αὐτῶν τούτων τῶν γυναικῶν ὧν ἐρῶσι καὶ ὧν τυγχάνουσιν; ἀγνοεῖς οἷόν ἐστι δίψος πυρέσσοντος. οὐδὲν ὅμοιον ἔχει τῷ τοῦ ὑγιαίνοντος. ἐκεῖνος πιὼν ἀποπέπαυται. ὁ δὲ πρὸς ὀλίγον ἥσθη, ναυτιᾷ, χολὴν τὸ ὕδωρ ποιεῖ, ἐμεῖ, στροφοῦται, διψῇ σφοδρότερον. τοιοῦτόν ἐστι μετ' ἐπιθυμίας πλουτεῖν. μετ' ἐπιθυμίας ἄρχειν. μετ' ἐπιθυμίας καλῇ συγκαθεύδειν. ζηλοτυπία πρόσεστι. φόβος τοῦ στερηθῆναι. αἰσχροὶ λόγοι. αἰσχρὰ ἐνθυμήματα. ἔργα ἀσχήμονα. καὶ τί φησὶν ἀπολλύω; ὑπῆρχες αἰδήμων. καὶ νῦν οὐκ ἔτι εἶ. οὐδὲν ἀπολώλεκας; ἀντὶ χρυσίππου καὶ ζήνωνος, ἀριστείδην ἀναγινώσκεις καὶ εὐηνόν. οὐδὲν ἀπολώλεκας; ἀντὶ σωκράτους καὶ διογένους τεθαύμακας τὸν πλείστας διαφθεῖραι καὶ ἀναπεῖσαι δυνάμενον. καλὸς εἶναι θέλεις καὶ πλάσσεις σεαυτὸν μὴ ὤν. καὶ ἐσθῆτα ἐπιδεικνύειν θέλεις στιλπνήν, ἵνα τὰς γυναῖκας ἐπιστρέφῃς. κἄν που μυραφίου ἐπιτύχῃς, μακάριος εἶναι δοκεῖς. πρότερον δ' οὐδὲν ἐνεθυμοῦ τούτων τι. ἀλλὰ ποῦ εὐσχήμων λόγος. ἀνὴρ ἀξιόλογος. ἐνθύμημα γενναῖον. τοιγαροῦν ἐκάθευδες ὡς ἀνήρ. προῄεις ὡς ἀνήρ. ἐσθῆτα ἐφόρεις ἀνδρικήν. λόγους ἐλάλεις πρέποντας ἀνδρὶ ἀγαθῷ. εἶτά μοι λέγεις οὐδὲν ἀπώλεσα; οὕτως οὐδὲν ἄλλο ἢ κέρμα ἀπολλύουσιν ἄνθρωποι; αἰδὼς οὐκ ἀπόλλυται; εὐσχημοσύνη οὐκ ἀπόλλυται; ἢ οὐκ ἔστι ζημιωθῆναι ταῦτα



ἀπολέσαντα; σοὶ μὲν οὖν δοκεῖ τάχα τούτων οὐδὲν οὐκέτι εἶναι ζημία. ἦν δέ ποτε χρόνος, ὅτε μόνην αὐτὴν ὑπελογίζου καὶ ζημίαν καὶ βλάβην, ὅτε ἠγωνίας μή τις ἐκσείσῃ τούτων τῶν λόγων καὶ ἔργων. ἰδοὺ ἐκσέσεισαι ὑπ' ἄλλου μὲν οὐδενός, ὑπὸ σαυτοῦ δέ. μάχεσθαι σαυτῷ. ἀφελοῦ σαυτὸν εἰς εὐσχημοσύνην. εἰς αἰδῶ. εἰς ἐλευθερίαν. εἴ ποτέ τις ἔλεγε περὶ ἐμοῦ ταῦτα, ὅτι με τις μοιχεύειν ἀναγκάζει, ὅτι ἐσθῆτα φορεῖν τοιαύτην, ὅτι μυρίζεσθαι, οὐκ ἂν ἀπελθὼν αὐτόχειρ ἐγένου τοῦ ἀνθρώπου τοῦ οὕτω μοι παραχρωμένου; νῦν οὖν οὐ θέλεις σαυτῷ βοηθῆσαι; καὶ πόσῳ ῥᾴων αὕτη ἡ βοήθεια. οὐκ ἀποκτεῖναί τινα δεῖ, οὐ δῆσαι, οὐχ ὑβρίσαι, οὐκ εἰς ἀγορὰν προελθεῖν. ἀλλ' αὐτὸν αὑτῷ λαλῆσαι ᾧ μάλιστα πεισθήσεται. πρὸς ὃν οὐδείς ἐστι σοῦ πιθανώτερος. καὶ πρῶτον μὲν κατάγνωθι τῶν γινομένων. εἶτα καταγνοὺς, μὴ ἀπογνῷς σεαυτοῦ. μὴ δὲ πάθῃς τὸ τῶν ἀγεννῶν ἀνθρώπων, οἳ ἅπαξ ἐνδόντες, εἰσάπαν ἐπέδωκαν ἑαυτούς, καὶ ὡς ὑπὸ ῥεύματος περιεσύρησαν. ἀλλὰ μάθε τὸ τῶν παιδοτριβῶν. πέπτωκε τὸ παιδίον, ἀνάστα φησὶ πάλιν πάλαιε, μέχρις ἂν ἰσχυροποιηθῇς. τοιοῦτόν τι καὶ σὺ πάθε. ἴσθι γὰρ ὅτι οὐδέν ἐστιν εὐαγωγότερον ἀνθρωπίνης ψυχῆς. θελῆσαι δεῖ, καὶ γέγονε. διώρθωται. ὡς πάλιν ἀπονυστάξαι, καὶ ἀπόλωλεν. ἔσωθεν γάρ ἐστι καὶ ἀπώλεια καὶ βοήθεια. εἶτά τί μοι ἀγαθόν. καὶ τί ζητεῖς τούτου μεῖζον. ἐξ ἀναισχύν-

που, αἰδήμων ἔσῃ· ἐξ ἀκόσμου, κόσμιος· ἐξ ἀπίστου, πιστός· ἐξ ἀκολάστου, σώφρων. εἴ τινα ἄλλα τούτων μείζονα ζητεῖς, ποίει ἃ ποιεῖς· οὐδὲ θεῶν σέ τις σῶσαι δύναται.

## Τίνων δεῖ καταφρονεῖν καὶ πρὸς τίνα διαφέρεσθαι. ι.

Ἀπορία πᾶσι τοῖς ἀνθρώποις περὶ τὰ ἐκτὸς γίνεται· ἀμηχανία περὶ τὰ ἐκτός. τί ποιήσω; πῶς γένηται; πῶς ἀποβῇ; μὴ τόδε ἀπαντήσῃ; μὴ τόδε; πᾶσαι αὗται αἱ φωναὶ περὶ τὰ ἀπροαίρετα στρεφομένων εἰσί. τίς γὰρ λέγει, πῶς μὴ συγκαταθῶμαι τῷ ψεύδει; πῶς μὴ ἀπονεύσω ἀπὸ τοῦ ἀληθοῦς; ἐὰν οὕτως ᾖ εὐφυὴς ὥστε περὶ τούτων ἀγωνιᾶν, ὑπομνήσω αὐτὸν ὅτι τί ἀγωνιᾷς; ἐπὶ σοί ἐστιν. ἀσφαλὴς ἴσθι. μὴ πρὸ τοῦ ἐπάγειν τὸν φυσικὸν κανόνα, προπίπτε ἐν τῷ συγκατατίθεσθαι. πάλιν ἂν περὶ ὀρέξεως; μὴ ἀγωνίᾳ, μὴ ἀτελὴς γένηται καὶ ἀποτευκτική· περὶ ἐκκλίσεως, μὴ περιπτωτική. πρῶτον μὲν αὐτὸν καταφιλήσω, ὅτι ἀφεὶς περὶ ἃ οἱ ἄλλοι ἐπτόηνται, καὶ τοῖς ἐκείνων φόβοις, περὶ τῶν ἰδίων ἔργων πεφρόντικεν ὅπου αὐτός ἐστιν. εἶτα ἐρῶ αὐτῷ· εἰ μὴ θέλεις ὀρέγεσθαι ἀποτευκτικῶς, μὴ δ' ἐκκλίνειν περιπτωτικῶς, μηδενὸς ὀρέγου τῶν ἀλλοτρίων· αὐτοῦ μηδὲν ἔκκλινε τῶν μὴ ἐπὶ σοί. εἰ δὲ μή, ἀποτυχεῖν καὶ περιπεσεῖν ἀνάγκη. ποία ἐνθάδ' ἀπορία; ποῦ τό-

[Margin notes: 479 | 15 Gg | ἔκκλινε]



πον ἔχει, πῶς γένηται, καὶ πῶς ἀποβῇ· καὶ μὴ ἀπαντήσῃ τόδε ἢ τόδε. νῦν οὐχὶ τὸ ἐκβησόμενον ἀπροαίρετον; ναί. ἡ δ' οὐσία τοῦ ἀγαθοῦ καὶ κακοῦ ἐστιν ἐν τοῖς προαιρετικοῖς; ναί. ἔξεστιν οὖν σοι παντὶ τῷ ἀποβάντι χρῆσθαι κατὰ φύσιν. μή τίς σε κωλῦσαι δύναται; οὐδείς. μηκέτι οὖν μοι λέγε πῶς γένηται. ὅπως γὰρ ἂν γένηται, σὺ αὐτὸ θήσεις καλῶς, καὶ ἔσται σοι τὸ ἀποβὰν εὐτύχημα. ἢ τίς ἂν ἦν ὁ Ἡρακλῆς λέγων, πῶς μοι μὴ μέγας λέων ἐπιφανῇ, μὴ δὲ μέγας σῦς, μὴ δὲ θηριώδεις ἄνθρωποι; καὶ τί σοι ~~μέλλει~~; ἂν μέγας σῦς ἐπιφανῇ, μεῖζον ἆθλον ἀθλήσεις· ἂν κακοὶ ἄνθρωποι, κακῶν ἀπαλλάξεις τὴν οἰκουμένην. ἂν οὖν οὕτως ἀποθάνω; ἀγαθὸς ὢν ἀποθανῇ, γενναίαν πρᾶξιν ἐπιτελῶν. ἐπεὶ γὰρ δεῖ πάντως ἀποθανεῖν, ἀνάγκη τί ποτε ποιοῦντα εὑρεθῆναι, ἢ γεωργοῦντα, ἢ σκάπτοντα, ἢ ἐμπορευόμενον, ἢ ὑπατεύοντα, ἢ ἀπεπτοῦντα, ἢ διαῤῥοιζόμενον. τί οὖν θέλεις ποιῶν εὑρεθῆναι ὑπὸ τοῦ θανάτου; ἐγὼ μὲν τὸ ἐμὸν μέρος, ἔργον τί ποτ' ἀνθρωπικόν, εὐεργετικόν, κοινωφελές, γενναῖον. εἰ δὲ μὴ δύναμαι τὰ τηλικαῦτα ποιῶν εὑρεθῆναι, ἐκεῖνό γε τὸ ἀκώλυτον, τὸ διδόμενον, ἐμαυτὸν ἐπανορθῶν, ἐξεργαζόμενος τὴν δύναμιν τὴν χρηστικὴν τῶν φαντασιῶν, ἀπάθειαν ἐκπονῶν, ταῖς σχέσεσι τὰ ἴδια ἀποδιδοὺς. εἰ οὕτως εὐτυχὴς εἴην, καὶ τοῦ τρίτου τόπου παραπτό-

[Margin notes: Η | 480 | μέλλει | 16 Gg]

μενος τῇ περὶ τὴν τῶν κειμένων ἀσφάλειαν. ἂν μετὰ τούτων με ὁ θάνατος καταλάβῃ, ἀρκεῖ μοι ἂν δύνωμαι πρὸς τὸν θεὸν ἀνατεῖναι τὰς χεῖρας καὶ εἰπεῖν· ὅτι ἃς ἔλαβον ἀφορμὰς παρὰ σοῦ, πρὸς τὸ αἰσθέσθαι σου τῆς διοικήσεως καὶ ἀκολουθῆσαι αὐτῇ, τούτων οὐκ ἠμέλησα. οὐ κατῄσχυνά σε τὸ ἐμὸν μέρος. ἰδοὺ πῶς κέχρημαι ταῖς αἰσθήσεσιν. ἰδοὺ πῶς ταῖς προλήψεσι. μή ποτέ σε ἐμεμψάμην; μή τι τῶν γινομένων τινὶ δυσηρέστησα; ἢ ἄλλως γενέσθαι ἠθέλησα; μή τι τὰς σχέσεις παρέβην; ὅτι με σὺ ἐγέννησας; χάριν ἔχω ὧν ἔδωκας. ἐφόσον ἐχρησάμην τοῖς σοῖς, ἀρκεῖ μοι. πάλιν αὐτὰ ἀπόλαβε. καὶ κατάταξον εἰς ἣν θέλεις χώραν. σὰ γὰρ ἦν πάντα. σύ μοι αὐτὰ δέδωκας. οὐκ ἀρκεῖ οὕτως ἔχοντα ἐξελθεῖν. καὶ τίς βίων κρείττων καὶ εὐσχημονέστερος τοῦ οὕτως ἔχοντος. ποία δὲ καταστροφὴ εὐδαιμονεστέρα; ἵνα δὲ ταῦτα γένηται, οὐ μικρὰ δέξασθαι, οὐδὲ μικρῶν ἐστὶν ἀποτυχεῖν. οὐ δύνασαι καὶ ὑπατεῦσαι θέλειν; καὶ ταῦτα. καὶ ἀγροὺς ἔχειν ἐσπουδακέναι; καὶ ταῦτα, καὶ τῶν δουλαρίων φροντίζειν; καὶ σεαυτοῦ. ἀλλ' ἄν τι τῶν ἀλλοτρίων θέλῃς, τὰ σὰ ἀπόλλυται. αὕτη τοῦ πράγματος ἡ φύσις, προῖκα οὐδὲν γίνεται. καὶ τί θαυμαστόν. ἂν ὑπατεῦσαι θέλῃς, ἀγρυπνῆσαί σε δεῖ. περιδραμεῖν, τὰς χεῖρας καταφιλῆσαι. πρὸς ταῖς ἀλλοτρίαις θύραις κατασαπῆναι. πολλὰ μὲν εἰπεῖν. πολλὰ δὲ πρᾶξαι ἀνε-

προῖκα οὐδὲν γίνεται



λευθέρως. δῶρα πέμψαι πολλοῖς. ξένια καθημέραν ἐνίοις. καὶ τί τὸ γινόμενόν ἐστι. δώδεκα δέσμαι ῥάβδων. καὶ τρὶς ἢ τετράκις ἐπὶ βῆμα καθίσαι. καὶ κιρκήσια δοῦναι. καὶ ἐν σπυρίσι δειπνίσαι. ἢ δειξάτω μοί τις τί ἐστι παρὰ ταῦτα. ὑπὲρ ἀπαθείας οὖν, ὑπὲρ ἀταραξίας, ὑπὲρ τοῦ καθεύδοντα καθεύδειν, ἐγρηγορότα ἐγρηγορέναι, μὴ φοβεῖσθαι μηδέν, μὴ ἀγωνιᾶν ὑπὲρ μηδενός, οὐδὲν ἀναλῶσαι θέλεις; οὐδὲν πονῆσαι; ἀλλ' ἄν τι ἀπόλλυταί σου περὶ ταῦτα γινομένου ἢ ἀναλωθῇ κακῶς, ἢ ἄλλος τύχῃ ὧν ἔδει σε τυχεῖν, εὐθὺς μὴ δηχθῆναι ἐπὶ τῷ γινομένῳ; οὐκ ἀντιθήσεις τί ἀντὶ τίνος λαμβάνεις; πόσον, ἀντὶ πόσου; ἀλλὰ προῖκα θέλεις τὰ τηλικαῦτα λαβεῖν; καὶ πῶς δύνασαι. ἔργον ἔργῳ οὐ κοινωνεῖ. οὐ δύνασαι καὶ τὰ ἐκτὸς ἔχειν ἐπιμεμελημένως, καὶ τὸ σαυτοῦ ἡγεμονικόν. εἰ δ' ἐκεῖνα θέλεις, τοῦτο ἄφες. εἰ δὲ μή, οὔτε τοῦτο ἕξεις, οὔτ' ἐκεῖνα, περισπώμενος ἐπ' ἀμφότερα. εἰ τοῦτο θέλεις, ἐκεῖνά σε ἀφεῖναι δεῖ. ἐκχυθήσεται τὸ ἔλαιον. ἀπολεῖται τὰ σκευάρια. ἀλλ' ἐγὼ ἀπαθὴς ἔσομαι. ἐμπρησμὸς ἔσται ἐμοῦ μὴ παρόντος, καὶ ἀπολεῖται τὰ βιβλία. ἀλλ' ἐγὼ χρήσομαι ταῖς φαντασίαις κατὰ φύσιν. ἀλλ' οὐχ ἕξω φαγεῖν. εἰ οὕτω τάλας εἰμί, λιμὴν τὸ ἀποθανεῖν. οὗτος δέ ἐστιν ὁ λιμὴν πάντων, ὁ θάνατος. αὕτη ἡ καταφυγή. διὰ τοῦτο οὐδὲν τῶν ἐν τῷ βίῳ χαλεπόν ἐστιν. ὅταν θέλῃς ἐξῆλθες καὶ οὐ κα-

πνίζῃ. τί οὖν ἀγωνιᾷς, τί ἀγρυπνεῖς; οὐχὶ δὲ εὐθὺς ἀναλογισάμενος ποῦ σοι τὸ ἀγαθόν ἐστι καὶ τὸ κακόν, λέγεις ὅτι ἐπ' ἐμοὶ ἀμφότερα. οὔτε τοῦτόν τις ἀφελέσθαι με δύναται, οὔτ' ἐκεῖνα ἄκοντα περιβαλεῖν. τί οὖν οὐ ῥέγκω βαλών; τὰ ἐμὰ ἀσφαλῶς ἔχει. τὰ ἀλλότρια ὄψεται αὐτὰ ὃς ἂν φέρῃ, ὡς ἂν διδῶται παρὰ τοῦ ἔχοντος ἐξουσίαν. τίς εἰμι ὁ θέλων αὐτὰ οὕτως ἔχειν, ἢ οὕτως; μὴ γάρ μοι δέδοται ἐκλογὴ αὐτῶν; μὴ γάρ ἐμέ τις αὐτῶν διοικητὴν πεποίηκεν; ἀρκεῖ μοι ὧν ἔχω ἐξουσίαν. ταῦτά με δεῖ καὶ μάλιστα περισκευάσασθαι. τὰ δ' ἄλλα ὡς ἂν θέλῃ ὁ ἐκείνων κύριος. ταῦτά τις ἔχων πρὸ ὀφθαλμῶν, ἀγρυπνεῖ καὶ στρέφεται ἔνθα καὶ ἔνθα; τί θέλων, ἢ τί ποθῶν, Πάτροκλον, ἢ Ἀντίλοχον, ἢ Μενέλαον; πότε γάρ ἡγήσατο ἀθάνατόν τινα τῶν φίλων; πότε γάρ οὐκ εἶχε πρὸ ὀφθαλμῶν, ὅτι αὔριον ἢ εἰς τὴν τρίτην δεῖ ἢ αὐτὸν ἀποθανεῖν, ἢ ἐκεῖνον; ναί, φησιν· ἀλλ' ᾤμην ὅτι ἐκεῖνος ἐπιβιώσεταί μοι, καὶ αὐξήσει μου τὸν υἱόν. μωρὸς γάρ ἦς, καὶ τὰ ἄδηλα ᾤου. τί οὖν οὐκ ἐγκαλεῖς σαυτῷ, ἀλλὰ κλαίων κάθησαι ὡς τὰ κοράσια; ἀλλ' ἐκεῖνός μοι φαγεῖν παρετίθει. ἔζη γάρ, μωρέ. νῦν δ' οὐ δύναται. ἀλλ' Αὐτομέδων σοι παραθήσει. ἂν δὲ καὶ Αὐτομέδων ἀποθάνῃ, ἄλλον εὑρήσεις. ἂν δ' ἡ χύτρα ἐν ᾗ ἥψετό σοι τὸ κρέας κατεαγῇ, λιμῷ σε δεῖ ἀποθανεῖν, ὅτι μὴ ἔχεις τὴν συνήθη χύτραν; οὐ πέμπεις καὶ ἄλ-

Π Α Μ

484

~~444~~

κοράσια

Αὐ Αὐ



λην καινὴν ἀγοράζεις; οὐ μὴν γάρ, τί φησι, καὶ κύντερον ἄλλο πάθοιμι. τοῦτο γάρ σοι κακόν ἐστιν. εἶτ' ἀφεὶς τοῦτο ἐξελεῖν, αἰτιᾷ τὴν μητέρα ὅτι σοι οὐ προεῖπεν, ἵν' ὀδυνώμενος ἐξ ἐκείνου διατελῇς. τί δοκεῖτε, μὴ ἐπίτηδες ταῦτα συνθεῖναι Ὅμηρον, ἵν' ἴδωμεν ὅτι οἱ εὐγενέστατοι, οἱ ἰσχυρότατοι, οἱ πλουσιώτατοι, οἱ εὐμορφότατοι, ὅταν ἃ δεῖ δόγματα μὴ ἔχωσιν, οὐδὲν κωλύονται ἀθλιώτατοι εἶναι καὶ δυστυχέστατοι.

Homer?

π. καθαριότητος

## Περὶ καθαριότητος. ια.

Ἀμφισβητοῦσί τινες, εἰ ἐν τῇ φύσει τοῦ ~~αὐτοῦ~~ ἀνθρώπου περιέχεται τὸ κοινωνικόν, ὅμως δ' αὐτοί οὗτοι οὐκ ἄν μοι δοκοῦσιν ἀμφισβητῆσαι ὅτι τό γε καθάριον πάντως περιέχεται. καὶ εἴ τινι ἄλλῳ καὶ τούτῳ τῶν ζῴων χωρίζεται. ὅταν οὖν ἄλλο τι ζῷον ἴδωμεν ἀποκαθαῖρον ἑαυτό, εἰώθαμεν λέγειν θαυμάζοντες, ὅτι ὡς ἄνθρωπος. καὶ πάλιν ἄν τις ἐγκαλῇ τινι ζῴῳ, εὐθὺς εἰώθαμεν ὥσπερ ἀπολογούμενοι λέγειν, ὅτι οὐ δήπου ἄνθρωπός ἐστιν. οὕτως ἐξαίρετόν τι περὶ τὸν ἄνθρωπον εἶναι οἰόμεθα, ἀπὸ τῶν θεῶν αὐτὸ πρῶτον λαμβάνοντες. ἐπεὶ γάρ ἐκεῖνοι φύσει καθαροὶ καὶ ἀκήρατοι, ἐφ' ὅσον ἠγγίκασιν αὐτοῖς οἱ ἄνθρωποι κατὰ τὸν λόγον, ἐπὶ τοσοῦτον καὶ τοῦ καθαροῦ καὶ τοῦ καθαρείου εἰσὶν ἀνθεκτικοί. ἐπεὶ δ' ἀμήχανον τὴν οὐσίαν αὐτῶν παντάπασιν εἶναι καθαράν, ἐκ τοιού-

ἐξαίρετος

τῆς ὕλης κεκραμένην, ὁ λόγος παραληφθεὶς εἰς τὸ ἐνδεχόμενον ταύτην καθάριον ἀποτελεῖν πειρᾶται. πρώτη οὖν καὶ ἀνωτάτω καθαρότης, ἡ ἐν ψυχῇ γινομένη. καὶ ὁμοίως ἀκαθαρσία. ψυχῆς δ' ὡς σώματος μὲν ἀκαθαρσίαν οὐκ ἂν εὕροις. ὡς ψυχῆς δὲ τί ἂν ἄλλο εὕροις, ἢ τὸ παρέχον αὐτὴν ῥυπαρὰν πρὸς τὰ ἔργα αὐτῆς. ἔργα δὲ ψυχῆς, ὁρμᾶν. ἀφορμᾶν. ὀρέγεσθαι. ἐκκλίνειν. παρασκευάζεσθαι. ἐπιβάλλεσθαι. συγκατατίθεσθαι. τί ποτ' οὖν ἐστι τὸ ἐν τούτοις τοῖς ἔργοις ῥυπαρὰν παρέχον αὐτὴν καὶ ἀκάθαρτον. οὐδὲν ἄλλο, ἢ τὰ μοχθηρὰ κρίματα αὐτῆς. ὥστε ψυχῆς μὲν ἀκαθαρσία, δόγματα πονηρά. κάθαρσις δ' ἐμποίησις οἵων δεῖ δογμάτων. καθαρὰ δ' ἡ ἔχουσα οἷα δεῖ δόγματα, μόνη γὰρ αὕτη ἐν τοῖς ἔργοις τοῖς αὐτῆς, ἀσύγχυτος καὶ ἀμόλυντος. δεῖ δὲ τὸ ἐοικὸς τούτῳ καὶ ἐπὶ σώματος φιλοτεχνεῖν κατὰ τὸ ἐνδεχόμενον. ἀμήχανον ἦν μύξας μὴ ῥεῖν τοῦ ~~ἀνθ~~ ἀνθρώπου τοιοῦτον ἔχοντος τὸ σύγκραμα. διὰ τοῦτο χεῖρας ἐποίησεν ἡ φύσις, καὶ αὐτὰς τὰς ῥῖνας ὡς σωλῆνας πρὸς τὸ ἐκδιδόναι τὰ ὑγρά. ἂν οὖν ἀναρροφῇ τις αὐτάς, λέγω ὅτι οὐ ποιεῖ ἔργον ἀνθρωπικόν. ἀμήχανον ἦν μὴ πηλοῦσθαι τοὺς πόδας μηδὲ ὅλως μολύνεσθαι, διὰ τοιούτων τινῶν πορευομένοις. διὰ τοῦτο ὕδωρ παρεσκεύασε, διὰ τοῦτο χεῖρας. ἀμήχανον ἦν ἀπὸ τοῦ τρώγειν, μὴ ῥυπαρόν τι προσμένειν τοῖς ὀδοῦσι. διὰ τοῦτο πλῦνόν φησι τοὺς ὀδόντας. διὰ τί; ἵν' ἄνθρωπος ᾖς καὶ μὴ θηρίον, μηδὲ συίδιον. ἀμήχανον μὴ ἀπὸ τοῦ ἱδρῶτος καὶ τῆς πρὸς τὴν ἐσθῆτα συνοχῆς, ὑπολείπεσθαί τι περὶ τὸ σῶμα ῥυπαρὸν καὶ δεόμενον ἀποκαθάρσεως. διὰ τοῦτο ὕδωρ ἔλαιον, χεῖρες, ὀθόνιον, ξύστρα, νίτρον, ἔσθ' ὅτε ἡ ἄλλη πᾶσα παρασκευὴ πρὸς τὸ καθῆραι αὐτό. οὔ. ἀλλ' ὁ μὲν χαλκεὺς ὡς χαλκεὺς ἐξιώσει τὸ σιδήριον. καὶ ὄργανα πρὸς τοῦτο ἕξει κατεσκευασμένα. καὶ τὸ πινάκιον αὐτὸς σὺ πλυνεῖς ὅταν μέλλῃς ἐσθίειν, ἐὰν μὴ ᾖ παντελῶς ἀκάθαρτος καὶ ῥυπαρός. τὸ σωμάτιον δ' οὐ πλυνεῖς, οὐδὲ καθαρὸν ποιήσεις; διὰ τί φησι. πάλιν ἐρῶ σοι. πρῶτον μὲν ἵνα τὰ ἀνθρώπου ποιῇς. εἶτα μὴ ἀνιᾷς τοὺς ἐντυγχάνοντας. τοιοῦτόν τι καὶ ἐνθάδε ποιεῖς καὶ οὐκ αἰσθάνῃ, σαυτὸν ἄξιον ἡγῇ τοῦ ὄζειν. ἔστω. ἴσθι ἄξιος. μήτι καὶ τοὺς παρακαθίζοντας; μήτι καὶ τοὺς συγκατακλινομένους; μήτι καὶ τοὺς καταφιλοῦντας; ἢ ἄπελθ' εἰς ἐρημίαν ὅπου ποτὲ εἶ ἄξιος, ἢ καὶ μόνος δίαγε κατόζων σεαυτοῦ. δίκαιον γάρ ἐστι τῆς σῆς ἀκαθαρσίας σὲ μόνον ἀπολαύειν. ἐν πόλει δ' ὄντα οὕτως ἀπερισκέπτως καὶ ἀγνωμόνως ἀναστρέφεσθαι, τίνος σοι φαίνεται; εἰ δ' ἵππον σοι ἐπίστευκεν ἡ φύσις, περιεώρας αὐτὸν καὶ ἀτημέλητον; καὶ νῦν οἴου σου τὸ σῶμα ὡς ἵππον ἐγκεχειρίσθαι. πλῦνον αὐτό. ἀπόσμηξον, ποίησον ἵνα μηδεὶς ἀποστρέφηται. μηδεὶς ἐκτρέπηται. τίς δ' οὐκ ἐκτρέπεται ῥυπαρὸν



ἔργα τῆς ψυχῆς

480 | 6 Hh

μύξας

σωλῆνας

487 | 7 Hh

ἀναστρέφεσθαι · versari

4.. 8 Hh

ἄνθρωπον, ὄζοντα, καὶ κακόχρουν μᾶλλον, ἢ τὸν κε-
κροτημένον. ἐκείνη ἡ ὀσμὴ ἔξωθέν ἐστιν ἐπίθε-
τος, ἡ δὲ ἐκ ἀθεραπευσίας ἔσωθεν καὶ οἱονεὶ διασε-
Socrates σηπότος. ἀλλὰ σωκράτης ὀλιγάκις ἐλούετο. ἀλλὰ Σ
ἔστι μὲν αὐτοῦ τὸ σῶμα. ἀλλ' ἦν οὕτως ἐπίχαρι
καὶ ἡδὺ, ὥστ' ἤρων αὐτοῦ οἱ ὡραιότατοι καὶ εὐγε-
νέστατοι, καὶ ἐπεθύμουν ἐκείνῳ παρακατακλίνε-
σθαι μᾶλλον, ἢ τοῖς εὐμορφοτάτοις. ἐξῆν ἐκείνῳ
μήτε λούεσθαι, μήτε πλύνεσθαι, εἰ ἤθελε. καί τοι
τὸ ὀλιγάκις ἰσχὺν εἶχε. κἂν θερμῷ μὴ θέλῃς, ψυ-
Aristophanes χρῷ. ἀλλὰ λέγει ἀριστοφάνης, τοὺς ὠχριῶντας, τοὺς Α
ἀνυποδήτους λέγω. λέγει γὰρ καὶ ἀεροβατεῖν αὐ-
τὸν, καὶ ἐκ τῆς παλαίστρας κλέπτειν τὰ ἱμάτια.
ἐπεί τοι πάντες οἱ γεγραφότες περὶ σωκράτους, Σ
πάντα τἀναντία αὐτῷ προσμαρτυροῦσιν. ὅτι ἡδὺς
οὐ μόνον ἀκοῦσαι, ἀλλὰ καὶ ἰδεῖν ἦν. πάλιν περὶ
Diogenes διογένους ταὐτὰ γράφουσι. δεῖ γὰρ μηδὲ κατὰ τὴν Δ
ἀπὸ τοῦ σώματος ἔμφασιν ἀπὸ φιλοσοφίας ἀπο-
σοβεῖν τοὺς πολλούς. ἀλλ' ὥσπερ τὰ ἄλλα εὔ-
θυμον καὶ ἀτάραχον ἐπιδεικνύειν αὑτὸν, οὕτω καὶ
ἀπὸ τοῦ σώματος. ἴδετε ὦ ἄνθρωποι ὅτι οὐδὲν ἔ-
χω. ὅτι οὐδενὸς δέομαι. ἴδετε πῶς ἄοικος ὢν καὶ
ἄπολις, καὶ φυγὰς, ἂν οὕτω τύχῃ, καὶ ἀνέστιος,
πάντων τῶν εὐπατριδῶν καὶ πλουσίων ἀταρα-
χώτερον διάγω καὶ εὐρούστερον. ἀλλὰ καὶ τὸ ἱμά-
τιον ὁρᾶτε, ὅτι οὐ κακοῦται ὑπὸ τῆς αὐστηρᾶς

διαίτης.

ἀκαίτοι .ff



διαίτης. ἂν δέ μοι ταῦτα λέγῃ τις, ἀνθρώπου σχῆ-
μα καταδίκου ἔχων καὶ πρόσωπον, τίς με πείσει καταδί-
θεῶν προσελθεῖν φιλοσοφίᾳ, ὥστε τοιούτοις ποιεῖ; κον
μὴ γένοιτο. οὐδ' ἂν σοφὸς ἔμελλον εἶναι ἤθελον.
ἐγὼ μὲν νὴ τοὺς θεοὺς τὸν νέον τὸν πρώτως κινού-
μενον, θέλω μᾶλλον ἐλθεῖν πρός με πεπλασμέ-
νον, ἢ τὴν κόμην κατεφθινηκότα καὶ ῥυπαρόν.
βλέπεται γάρ τις ἐν ἐκείνῳ τοῦ καλοῦ φαντα-
σία. ἔφεσις δὲ τοῦ εὐσχήμονος. ὅπου δ' αὐτὸν εἶναι
φαντάζεται, ἐκεῖ καὶ φιλοτεχνεῖ. λοιπὸν ὑποδεῖ-
ξαι μόνον αὐτῷ δεῖ καὶ εἰπεῖν. νεανίσκε τὸ καλὸν
ζητεῖς, καὶ εὖ ποιεῖς. ἴσθι οὖν ὅτι ἐκεῖ φύεται,
ὅπου τὸν λόγον ἔχεις. ἐκεῖ αὐτὸ ζήτει, ὅπου τὰς ὁρ-
μὰς καὶ τὰς ἀφορμάς. ὅπου τὰς ὀρέξεις. τὰς ἐκ-
κλίσεις. τοῦτο γὰρ ἔχεις ἐν σεαυτῷ ἐξαίρετον. τὸ σω-
μάτιον δὲ φύσει πηλός ἐστι. τί ποιεῖς ἀκηὶ περὶ αὐ-
τό. εἰ μηδὲν ἕτερον, τῷ χρόνῳ γνώσῃ ὅτι οὐδέν ἐστιν.
490 10 Hh ἂν δέ μοι ἔλθῃ κεκοπρωμένος, ῥυπαρὸς, μύστακα
ἔχων μέχρι τῶν γονάτων, τί αὐτῷ εἰπεῖν ἔχω.
ἀπὸ ποίας αὐτὸν ὁμοιότητος ἐπαγαγεῖν. περὶ τί
γὰρ ἐσπούδακεν ὅμοιον τῷ καλῷ, ἵν' αὐτὸν μετα-
θῶ καὶ εἴπω, οὐκ ἔστιν ἐνθάδε τὸ καλὸν, ἀλλ' ἐνθά-
δε. θέλεις αὐτῷ λέγω, οὐκ ἔστιν ἐν τῷ κεκοπρῶσθαι
τὸ καλὸν ἀλλ' ἐν τῷ λόγῳ; ἐφίεται γὰρ τοῦ κα-
λοῦ. ἔμφασιν γάρ τινα αὐτοῦ ἔχει. ἄπελθε καὶ χοί-
ρῳ διαλέγου ἵν' ἐν βορβόρῳ μὴ κυλίηται. δια-



κατεφθινηκότα

κεκοπρωμένος. ἢ κεκοπρῶσθαι

Polemon Xenocrates

τοῦτο καὶ Πολέμωνος ἥψαντο οἱ Ξενοκράτους λόγοι, ὡς φιλοκάλου νεανίσκου. εἰσῆλθε γὰρ ἔχων ἐναύσματα τῆς περὶ τὸ καλὸν σπουδῆς. ἀλλαχοῦ δ' αὐτὸ ζητῶν, ἐπεί τοι οὐδὲ τὰ ζῶα τὰ ἀνθρώποις σύντροφα ῥυπαρὰ ἐποίησεν ἡ φύσις. μή τι ἵππος λίεται ἐν βορβόρῳ; μή τι κύων γενναῖος; ἀλλ' ὁ ὗς. καὶ τὰ σαπρὰ χηνίδια, καὶ σκώληκες, καὶ ἀράχναι, τὰ μακροτάτω τῆς ἀνθρωπίνης συντροφῆς ἀπεληλαμένα. σὺ οὖν ἄνθρωπος ὤν, οὐδὲ ζῶον εἶναι θέλεις τῶν ἀνθρώποις συντρόφων, ἀλλὰ σκώληξ μᾶλλον ἢ ἀράχνιον; οὐ λούσῃ ποτὲ ὡς θέλεις; οὐκ ἀποπλυνεῖς σεαυτόν; οὐχ ἥξεις καθαρὸς ἵνα σοι χαίρωσιν οἱ συνόντες; ἀλλὰ καὶ εἰς τὰ ἱερὰ ἡμῖν συνέρχῃ τοιοῦτος, ὅπου πτύσαι οὐ νενόμισται οὐδ' ἀπομύξασθαι, ὅλος ὢν πτύσμα καὶ μύξα; τί οὖν καλλωπίζεσθαί τις ἀξιοῖ; μὴ γένοιτο. εἰ μὴ ἐκεῖνο ὃ πεφύκαμεν. τὸν λόγον. τὰ δόγματα. τὰς ἐνεργείας. τὸ δὲ σῶμα μέχρι τοῦ καθαρείου. μέχρι τοῦ μὴ προσκόπτειν. ἀλλ' ἂν ἀκούσῃς ὅτι οὐ δεῖ φορεῖν κόκκινα, ἀπελθὼν κόπρωσόν σου τὸν τρίβωνα, ἢ κατάρρηξον. ἀλλὰ πόθεν ἔχω καλὸν τρίβωνα; ἄνθρωπε. ὕδωρ ἔχεις. πλῦνον αὐτόν. ἰδοὺ νέος ἀξιέραστος. ἰδοὺ πρεσβύτης ἄξιος τοῦ ἐρᾶν καὶ ἀντερᾶσθαι. ᾧ τις υἱὸν αὐτοῦ παραδῷ μαθησόμενον. ᾧ θυγατέρες, ᾧ νέοι προσελεύσονται.

491 11 Hh

ἐναύσματα, εὑρέματα, φαντάσματα



ἂν οὕτω τύχῃ, ἵνα σὺ κομψῶν ἢ λέγῃ τὰς σχολάς. μὴ γένοιτο. πᾶσα ἐκτροπὴ ἀπό τινος ἀνθρωπικοῦ γίνεται. αὕτη δ' ἐγγύς ἐστι τοῦ μὴ ἀνθρωπικὴ εἶναι.

## Περὶ προσοχῆς. ιβ'.

Ὅταν ἀφῇς πρὸς ὀλίγον τὴν προσοχήν, μὴ τοῦτο φαντάζου, ὅτι ὁπόταν θέλῃς, ἀναλήψῃ αὐτήν, ἀλλ' ἐκεῖνο πρόχειρον ἔστω σοι, ὅτι παρὰ τὸ σήμερον ἁμαρτηθὲν, εἰς τἆλλα χεῖρον ἀνάγκη σοι τὰ πράγματα ἔχειν. πρῶτον μὲν τὸ χαλεπώτατον, ἔθος τοῦ μὴ προσέχειν ἐγγίνεται. εἶτα ἔθος τοῦ ἀναβάλλεσθαι τὴν προσοχήν. ἀεὶ δ' εἰς ἄλλον καὶ ἄλλον χρόνον εἴωθα ὑπερτιθέμενον τὸ εὐροεῖν, τὸ εὐσχημονεῖν, τὸ κατὰ φύσιν ἔχειν καὶ διεξάγειν. εἰ μὲν οὖν λυσιτελής ἡ ὑπέρθεσίς ἐστιν, ἡ παντελὴς ἀπόστασις αὐτῆς ἐστι λυσιτελεστέρα. εἰ δ' οὐ λυσιτελεῖ, τί οὐχὶ διηνεκῆ τὴν προσοχὴν φυλάσσεις; σήμερον παῖξαι θέλω. τί οὖν οὐ δεῖ προσέχοντα; ᾆσαι. τί οὖν κωλύει προσέχοντα. μὴ γὰρ ἐξαιρεῖταί τι μέρος τοῦ βίου, ἐφ' ὃ οὐ διατείνει τὸ προσέχειν; χεῖρον γὰρ αὐτὸ προσέχων ποιήσεις, βέλτιον δὲ μὴ προσέχων, καὶ τί ἄλλο τῶν ἐν τῷ βίῳ κρεῖσσον ὑπὸ τῶν μὴ προσεχόντων γίνεται. ὁ τέκτων

492 12 Hh

εὐροεῖν

μὴ προσέχων κυβερνᾷ ἀσφαλέστερον; ἄλλο δέ τι τῶν μικροτέρων ἔργων, ὑπὸ ἀπροσεξίας ἐπιτελεῖται κρεῖσσον; οὐκ αἰσθάνῃ ὅτι ἐπειδὰν ἀφῇς τὴν γνώμην, οὐκέτι ἐπὶ σοί ἐστιν ἀνακαλέσασθαι αὐτήν; οὐκ ἐπὶ τὸ εὔσχημον. οὐκ ἐπὶ τὸ αἰδῆμον. οὐκ ἐπὶ τὸ κατεσταλμένον. ἀλλὰ πᾶν τὸ ἐπελθὸν ποιεῖς. ταῖς προθυμίαις ἐπακολουθεῖς. τίσιν οὖν δεῖ με προσέχειν; πρῶτον μὲν ἐκείνοις τοῖς καθολικοῖς. καὶ ἐκεῖνα πρόχειρα ἔχειν. καὶ χωρὶς ἐκείνων μὴ καθεύδειν, μὴ ἀνίστασθαι, μὴ πίνειν. μὴ ἐσθίειν. μὴ συμβάλλειν ἀνθρώποις. ὅτι προαιρέσεως ἀλλοτρίας κύριος οὐδείς. ἐν ταύτῃ δὲ μόνῃ τὸ ἀγαθὸν καὶ τὸ κακόν. οὐδεὶς οὖν κύριος οὔτ' ἀγαθόν μοι περιποιῆσαι, οὔτε κακῷ με περιβαλεῖν. ἀλλ' ἐγὼ αὐτὸς ἐμαυτοῦ κατὰ ταῦτα ἐξουσίαν ἔχω μόνος. ὅταν οὖν ταῦτα ἀσφαλῆ μοι ᾖ, τί ἔχω περὶ τὰ ἐκτὸς ταράσσεσθαι. ποῖος τύραννος φοβερός. ποία νόσος. ποία πενία. ποῖον πρόσκρουσμα. ἀλλ' οὐκ ἤρεσα τῷ δεῖνι. μὴ οὖν ἐκεῖνος ἐμόν ἐστιν ἔργον; μή τι ἐμὸν κρίμα; οὔ. τί οὖν ἔτι μοι μέλει. ἀλλὰ δοκεῖ τις εἶναι. ὄψεται αὐτὸς καὶ οἷς δοκεῖ. ἐγὼ δ' ἔχω τίνι με δεῖ ἀρέσκειν. τίνι ὑποτετάχθαι. τίνι πείθεσθαι. τῷ θεῷ καὶ τοῖς μετ' ἐκεῖνον. ἐμὲ ἐκεῖνος συνέστησεν ἐμαυτῷ. καὶ τὴν ἐμὴν προαίρεσιν ὑπέταξεν ἐμοὶ μόνῳ, δοὺς κανόνας εἰς χρῆσιν αὐτῆς τὴν ὀρθήν, οἷς ὅταν κα-

πρόσκρου σμα



τακολουθήσω ἐν συλλογισμοῖς, οὐκ ἐπιστρέφομαι οὐδενὸς τῶν ἄλλο τι λεγόντων. ἐν μεταπίπτουσιν οὐ φροντίζω οὐδενός. διατί οὖν ἐν τοῖς μείζοσιν ἀνιῶσί με οἱ ψέγοντες. τί τὸ αἴτιον ταύτης τῆς ταραχῆς. οὐδὲν ἄλλο ἢ ὅτι ἐν τούτῳ τῷ τόπῳ ἀγύμναστός εἰμι. ἐπεί τοι πᾶσα ἐπιστήμη καταφρονητική ἐστι τῆς ἀγνοίας καὶ τῶν ἀγνοούντων. καὶ οὐ μόνον αἱ ἐπιστῆμαι, ἀλλὰ καὶ αἱ τέχναι. φέρε ὃν θέλεις σκυτέα. καὶ τῶν πολλῶν καταγελᾷ περὶ τὸ αὑτοῦ ἔργον. φέρε ὃν θέλεις τέκτονα. πρῶτον μὲν οὖν ταῦτα ἔχειν πρόχειρα, καὶ μηδὲν δίχα τούτων ποιεῖν. ἀλλὰ τετάσθαι τὴν ψυχὴν ἐπὶ τοῦτον τὸν σκοπόν. μηδὲ τῶν ἔξω διώκειν μηδὲν τῶν ἀλλοτρίων. ἀλλ' ὡς διέταξεν ὁ δυνάμενος, τὰ προαιρετικὰ ἐξ ἅπαντος, τὰ δ' ἄλλα ὡς ἂν διδῶται. ἐπὶ τούτοις δὲ μεμνῆσθαι, τίνες ἐσμὲν καὶ τί ἡμῖν ὄνομα. καὶ πρὸς τὰς δυνάμεις τῶν σχέσεων πειρᾶσθαι τὰ καθήκοντα ἀπευθύνειν. τίς καιρὸς ᾠδῆς. τίς καιρὸς παιδείας. τίνων παρόντων. τί ἔσται ἀπὸ τοῦ πράγματος. μή τι καταφρονήσωσιν ἡμῶν οἱ συνόντες. μή τι ἡμεῖς αὐτῶν. πότε σκῶψαι. καὶ τίνας ποτὲ καταγελάσαι. καὶ ἐπὶ τίνι συμπεριενεχθῆναί ποτε, καὶ τίνι, καὶ λοιπὸν ἐν τῇ συμπεριφορᾷ, πῶς χρὴ τηρῆσαι τὸ αὑτοῦ. ὅπου δ' ἂν ἀπονεύσῃς ἀπό τινος τούτων, εὐθὺς ζημία. οὐκ ἔξωθέν ποθεν, ἀλλ' ἐξ αὐτῆς τῆς



ἀπονεύσης

συμπεριφορᾷ

ἐνεργείας. τί οὖν; δυνατὸν ἀναμάρτητον ἤδη εἶναι; ἀμήχανον. ἀλλ' ἐκεῖνο δυνατόν, πρὸς τὸ μὴ ἁμαρτάνειν τετάσθαι διηνεκῶς. ἀγαπητὸν γὰρ εἰ μηδέποτ' ἀνιέντες ταύτην τὴν προσοχήν, ὀλίγων γε ἁμαρτημάτων ἐκτὸς ἐσόμεθα. νῦν δ' ὅταν εἴπῃς αὔριον προσέξω, ἴσθι ὅτι τοῦτο λέγεις. σήμερον ἔσομαι ἀναίσχυντος. ἄκαιρος. ταπεινός. ἐπ' ἄλλοις ἔσται τὸ λυπεῖν με. ὀργισθήσομαι σήμερον. φθονήσω. βλέπε ὅσα κακὰ σεαυτῷ ἐπιτρέπεις. ἀλλ' εἰς αὔριον καλῶς ἔχει. πόσῳ κρεῖττον σήμερον. εἰ αὔριον συμφέρει, πολὺ μᾶλλον σήμερον. ἵνα καὶ αὔριον δυνηθῇς, καὶ μὴ πάλιν ἀναβάλῃ εἰς τὴν τρίτην.

## Πρὸς τοὺς εὐκόλως ἐκφέροντας τὰ αὑτῶν. ιγ'.

Ὅταν τις ἡμῖν ἁπλῶς δόξῃ διαλέγεσθαι περὶ τῶν ἑαυτοῦ πραγμάτων, πώσποτε ἐξαγόμεθα καὶ αὐτοὶ πρὸς τὸ ἐκφέρειν πρὸς αὐτὸν τὰ ἑαυτῶν ἀπόρρητα, καὶ τοῦτο ἁπλοῦν οἰόμεθα εἶναι. πρῶτον μὲν ἄνισον εἶναι δοκεῖ, αὐτὸν μὲν ἀκηκοέναι τὰ τοῦ πλησίον, μὴ μέντοι μεταδιδόναι κἀκείνῳ ἐν τῷ μέρει τῶν ἡμετέρων. εἶθ' ὅτι οἰόμεθα οὐχ ἁπλῶν ἀνθρώπων παρέξειν αὑτοῖς φαντασίαν, σιωπῶντες τὰ ἴδια. ἀμέλει πολλάκις εἰώθασι λέγειν. ἐγώ σοι πάντα τὰ ἐμαυτοῦ εἴρηκα, σύ μοι οὐδὲν τῶν σῶν εἰπεῖν θέλεις. ποῦ γίνεται τοῦτο. προσέτι δὲ καὶ τὸ οἴεσθαι ἀσφαλῶς πιστεύειν τῷ ἤδη τὰ αὐτοῦ πεπιστευκότι. ὑπέρχεται γὰρ ἡμᾶς, ὅτι οὐκ ἄν ποτε οὗτος ἐξείποι τὰ ἡμέτερα, εὐλαβούμενος μήποτε καὶ ἡμεῖς ἐξείπωμεν τὰ ἐκείνου. οὕτω καὶ ὑπὸ τῶν στρατιωτῶν ἐν ῥώμῃ οἱ προπετεῖς λαμβάνονται. παρακεκάθικέ σοι στρατιώτης ἐν σχήματι ἰδιωτικῷ, καὶ ἀρξάμενος κακῶς λέγειν τὸν καίσαρα, εἶτα σὺ ὥσπερ ἐνέχυρον παρ' αὐτοῦ λαβὼν τῆς πίστεως τὸ αὐτὸν τῆς λοιδορείας κατῆρχθαι, λέγεις καὶ αὐτὸς ὅσα φρονεῖς. εἶτα δεθεὶς, ἀπάγῃ. τοιοῦτόν τι καὶ ἐν τῷ καθόλου πάσχομεν. αὐτὰρ ὡς ἐμοὶ ἐκεῖνος ἀσφαλῶς πεπίστευκε τὰ ἑαυτοῦ, οὕτως κἀγὼ τῷ ἐντυχόντι. ἀλλ' ἐγὼ μὲν ἀκούσας σιωπῶ, ἄν γε ὦ τοιοῦτος. ὁ δ' ἐξελθὼν, ἐκφέρει πρὸς πάντας. εἶτ' ἂν γνῶ τὸ γενόμενον, ἂν μὲν ὦ καὶ αὐτὸς ἐκείνῳ ὅμοιος, ἀμύνεσθαι θέλων, ἐκφέρω τὰ ἐκείνου. καὶ φύρω καὶ φύρομαι. ἂν δὲ μνημονεύω ὅτι ἄλλος ἄλλον οὐ βλάπτει, ἀλλὰ τὰ αὐτοῦ ἔργα ἕκαστον καὶ βλάπτει καὶ ὠφελεῖ, τούτου μὲν κρατῶ τοῦ μὴ ὅμοιόν τι ποιῆσαι ἐκείνῳ, ὅμως δ' ὑπὸ φλυαρίας τῆς ἐμαυτοῦ, πέπονθα. ναί. ἀλλ' ἄνισον ἐστὶν ἀκούσαντα τὰ τοῦ πλησίον ἀπόρρητα, αὐτὸν ἐν τῷ μέρει μηδενὸς μεταδιδό-

ναι αὐτῷ. μὴ γάρ σε περιέκλειον ἄνθρωπε; μὴ γὰρ ἐπὶ συνθήκαις τισὶν ἐξήνεγκας τὰ σαυτοῦ, ἵν' ἀκούσῃς σὺ τὰ μέρη καὶ τὰ ἐμά; εἰ σὺ φλύαρος εἶ, καὶ πάντας τοὺς ἀπαντῶντας φίλους εἶναι δοκεῖς, θέλεις καὶ ἐμὲ ὅμοιόν σοι γενέσθαι; τί δ' εἰ σὺ καλῶς μοι πεπίστευκας τὰ σαυτοῦ, σοὶ δ' οὐκ ἔστι καλῶς πιστεῦσαι, θέλεις με προπεσεῖν; οἷον εἰ πίθον εἶχον ἐγὼ μὲν στεγνόν, σὺ δὲ τετρυπημένον, καὶ ἐλθὼν παρακατέθου μοι σαυτοῦ οἶνον ἵνα βάλω εἰς τὸν ἐμὸν πίθον. εἶτ' ἠγανάκτεις ὅτι μὴ κἀγώ σοι πιστεύω τὸν ἐμαυτοῦ οἶνον. σὺ γὰρ τετρυπημένον ἔχεις τὸν πίθον. πῶς οὖν ἔτι ἴσον γίνεται; σὺ πιστῷ παρακατέθου, σὺ αἰδήμονι, τὰς ἑαυτοῦ ἐνεργείας μόνας βλαβερὰς ἡγουμένῳ καὶ ὠφελίμους. τῶν δ' ἐκτὸς οὐδέν. ἐγώ σοι θέλεις παρακαταθῶμαι, ἀνθρώπῳ τὴν ἑαυτοῦ προαίρεσιν ἠτιμακότι, θέλοντι δὲ κερματίου τυχεῖν ἢ ἀρχῆς τινος ἢ προαγωγῆς ἐν τῇ αὐλῇ, κἂν μέλλῃς τὰ τέκνα σου κατασφάζειν ὡς ἡ Μήδεια; ποῦ τοῦτο ἴσον ἐστίν; ἀλλὰ δεῖξόν μοι σαυτὸν πιστὸν, αἰδήμονα, βέβαιον. δεῖξον ὅτι δόγματα ἔχεις φιλικά. δεῖξόν σου τὸ ἀγγεῖον ὅτι οὐ τέτρηται. καὶ ὄψει πῶς οὐκ ἀναμενῶ, ἵνα μοι σὺ πιστεύσῃς τὰ σαυτοῦ. ἀλλ' αὐτὸς ἐλθὼν σὲ παρακαλῶ ἀκοῦσαι τῶν ἐμῶν. τίς γὰρ οὐ θέλει χρήσασθαι ἀγγείῳ καλῷ. τίς ἀτιμάζει σύμβουλον εὔνουν καὶ πιστόν. τίς οὐκ ἀσμένως δέξεται τὸν



ὥσπερ φορτίου μεταληψόμενον τῶν αὐτοῦ περιστάσεων, καὶ αὐτῷ τούτῳ κουφιοῦντα αὐτὸν, τῷ μεταλαβεῖν; ναί. ἀλλ' ἐγώ σοι πιστεύω, σὺ ἐμοὶ οὐ πιστεύεις. πρῶτον μὲν οὐδὲ σὺ ἐμοὶ πιστεύεις, ἀλλὰ φλύαρος εἶ. καὶ διὰ τοῦτο οὐδὲν δύνασαι κατασχεῖν. ἐπεί τοι εἰ τοῦτό ἐστιν, ἐμοὶ μόνῳ αὐτὰ πίστευσον. νῦν δ' ὃν ἂν εὐσχολοῦντα ἴδῃς, παρακαθίσας αὐτῷ λέγεις. ἀδελφέ, οὐδένα σου ἔχω εὐνούστερον οὐδὲ φίλτερον. παρακαλῶ σε ἀκοῦσαι τὰ ἐμά, καὶ τοῦτο πρὸς τοὺς οὐδὲ ἐπ' ὀλίγον ἐγνωσμένους ποιεῖς. εἰ δὲ καὶ πιστεύεις ἐμοί, δῆλον ὅτι ὡς πιστῷ καὶ αἰδήμονι, οὐχ ὅτι σοι τὰ ἐμαυτοῦ ἐξεῖπον. ἄφες οὖν ἵνα κἀγὼ ταὐτὰ ὑπολάβω. δεῖξόν μοι ὅτι εἴ τίς τινι τὰ αὐτοῦ ἐξεῖπεν, ἐκεῖνος πιστός ἐστι καὶ αἰδήμων. εἰ γὰρ τοῦτο ἦν, ἐγὼ περιερχόμενος πᾶσιν ἀνθρώποις τὰ ἐμαυτοῦ ἂν ἔλεγον. εἰ τούτου ἕνεκα ἔμελλον πιστὸς καὶ αἰδήμων ἔσεσθαι. τὸ δ' ἔστιν οὐ τοιοῦτον. ἀλλὰ δογμάτων δεῖ, οὐχ ὧν ἔτυχεν. ἂν γοῦν τινα ἴδῃς περὶ τὰ ἀπροαίρετα ἐσπουδακότα, καὶ τούτοις ὑποτεταχότα τὴν αὑτοῦ προαίρεσιν, ἴσθι ὅτι ὁ ἄνθρωπος οὗτος μυρίους ἔχει τοὺς ἀναγκάζοντας, τοὺς κωλύοντας. οὐκ ἔστιν αὐτῷ χρεία πίσσης ἢ τροχοῦ, πρὸς τὸ ἐξειπεῖν ἃ οἶδεν. ἀλλὰ παιδισκαρίου νεῦμα, ἂν οὕτω τύχῃ, ἐκσείσει αὐτόν. καισαριανοῦ φιλοφροσύνη, ἀρχῆς ἐπιθυμία, κληρονομίας. ἄλλα τούτοις ὅμοια τρισμύρια. μεμνῆ

σθαι οὐδὲν τοῖς καθόλου ὅτι αἱ ἀπόῤῥητοι λόγοι, πίστεως χρείαν ἔχουσι καὶ δογμάτων τοιούτων. ταῦτα δὲ τοῦ νῦν εὑρεῖν ῥαδίως ἢ διδαξάτω μοι τίς τὸν οὕτως ἔχοντα, ὥστε λέγειν, ἐμοὶ μόνων μέλει τῶν ἐμῶν. τῶν ἀκωλύτων. τῶν φύσει ἐλευθέρων. ταύτην οὐσίαν ἔχω τοῦ ἀγαθοῦ. τὰ δὲ ἄλλα γινέσθω ὡς ἂν διδῶται. οὐ διαφέρομαι.

ΤΕΛΟΣ.

Registrum.

✱ Α Β Γ Δ Ε Ζ Η Θ Ι Κ Λ Μ Ν
Ξ Ο Π Ρ Σ Τ Υ Φ Χ Ψ Ω ΑΑ ΒΒ
Quaterniones omnes, præter ✱ duernionem.

Venetiis in ædibus Bartholomæi Zanetti
Casterzagensis, ære uero, & diligentia
Ioannis Francisci Trincaueli.
Anno a partu virginis.
M D XXXV.
Mense Septembri.

σὺν Θεῷ

Οὐ μετὰ πολὺ



καὶ ἀφθόνως.

Ἀρχὴ τὸ ἥμισυ παντός.

Aor. epleten, fp pietesome, paulo pepietesome
opt. A pieteich, fp pietesomen, paulo pepietomen

Dn Pedro Nuñez flo

plu. etetipein, Aor. etipamen, f etisomen

Santiago colle[gia]l Sue[s]pede

fp tipsome etipmen ea ine

la Orden de es tanni. de

o tetipmen

las Ticoerzella ... Por la pre

tipemen to ... te

Pragazia mujer de Die go al

dora en la calle de los libreros

a aquella, q[ue] quien i muxxir

a tener y serbir estudiantes de

ente masa de seis ... noben

Aor. tripmen

no tenga en su casa mu

en dha ... en

Aor. epeamen. De ...

tes armas algunas de las

ser castigada conforme a est

... Dadus ... hallam[os]

[illegible]